ANECDOTA GRÆCA

E CODD. MANUSCRIPTIS

BIBLIOTHECÆ REGIÆ PARISIENSIS.

EDIDIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

ACADEMIÆ ORATOR PUBLICUS.

VOL. IV.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.XLI.

EXCERPTA PHILOLOGICA.

PARS II.

ETYMOLOGICI GRÆCI PARISIENSES ET EX IIS VARIA EXCERPTA.

GRAMMATICORUM GRÆCORUM INEDITORUM SPECIMINA.

APPENDIX AD EXCERPTA POETICA ET PHILOSOPHICA.

ETYMOLOGICI GRÆCI PARISIENSES

ET EX IIS

VARIA SPECIMINA.

QUAM plurima Glossaria et Lexica Græca possidet Bibliotheca Regia Parisiensis, quæ fere omnia inspexi, et plus minusve excussi. Sed si præstantissima illa Seguierana excipias, a Bekkero et Bachmanno edita, omnibusque philologis nota, nulla mihi visa sunt, quæ per se atque integra vulgare operæ pretium esset; ut quæ majori ex parte cum editis Lexicis conveniant. Mihi potius esse visum fuit, quæ in his libris nova et notatu digna reperi excerpere et typis committere. Præsertim autem in eos Codices operam insumpsi qui Etymologica Lexica continerent. Hæc in classes quantum fieri potuit distribui, et eorum specimina satis ampla, (quam rationem video exemplo virorum doctorum commendatam [a]) exhibui, ut indoles eorum et varietas ex comparatione cum vulgatis libris dignosci possent.

Classes autem sic constitutæ quatuor sunt. 1. Etymologicon Magnum. 2. Etymologicon Gudianum. 3. Lexicon Zonaræ. 4. Lexicon Cyrilli. De quibus nobis agendum erit eodem ordine quo nunc recensentur.

ETYMOLOGICON MAGNUM.

Hujusce Lexici omnium ejusdem generis præstantissimi, at cujus rarissimi sunt Codices, unum tantum exemplar habet Bibliotheca Parisiensis cui in Catalogo assignatur numerus 2654. Hic codex formæ in 4°. bombycinus est et parum eleganter scriptus, decimo quarto sæculo ut refert Catalogus. De ejus autem præstantia et utilitate ad emendandum Etymologicon cujus est apographus, nobis pleniorem certioremque notitiam dabit proculdubio, Gaisfordius noster,

a " Operæ omnino pretium foret," ait Titmannus in Prol. ad Zonar. Lex. p. xliii. Lexicorum omnium, quæ adhuc in Bibliothecis latent, Catalogum conscribere, singula plurium virorum doctorum opera conferre, et idonea, ubi opus fuerit, specimina edere.

magnum Græcarum literarum lumen, et quem huic lexico edendo post Suidam paratum esse, omnes illarum amantes, credo, cum audiverint, id grato animo accipient, et magnum opus cupide expectabunt. Præter hunc Codicem, unum autem fragmentum deprehendi in Bibliotheca Parisiensi, quod ad Etymologicon Magnum referendum esse mihi potius visum est, licet in quibusdam non parum discrepet ab editis libris, Codicibusque qui adhuc nobis innotuerint. Desumptum autem est hoc fragmentum e Cod. 2720. fol. 42. Qui liber est Chart. form. in 4°. eadem ut opinor manu scriptus, vergente Sæc. XV. Hic Codex, teste quodam anonymo auctore Angeli Politiani olim fuit. Illum autem adhibuisse cel. Ruhnkenium patet ex Critica ejus Epistola, cujus verba infra citabimus.

Ἀλδήμιος: Ἢ Ἄλδιος ὁ Ζεὺς ἐν Γάζῃ τῆς Συρίας τιμᾶται παρὰ τὸ ἀλδαίνω τὸ αὐξάνω, ἐπὶ τῆς ἀλδήσεως τῶν καρπῶν Ὅμηρος,

λήϊον ἀλδήσαντες.

Ἀλέξω: Ἀπὸ τοῦ ἀλκῶ ἀλξῶ πλεονασμῷ τοῦ ε (Cod. om. ε) γίνεται ἀλεξῶ, ὅπερ ἀνάγεται εἰς ἐνεστῶτα καὶ βαρύνεται.

Ἀληθὲς: Τὸ μὴ λήθην ὑποπίπτων τοῦ δικαίου· οὕτως Ὠρίων.

Ἁλήπεδον: Τὸ ὁμαλὸν πεδίον, κυρίως τὸ παραθαλάσσιον χωρίον τὸ ἁλὸς πέδον, ἢ τὸ ὁμαλὸν καὶ τετριμμένον καὶ οἷον ἀληλεσμένον πεδίον· γράφεται καὶ διὰ τοῦ ι.

Ἀλίηατα: Τὰ ἄλευρα τὰ ἐκ πυροῦ ἀληλεσμένα, καὶ ἄλητα κατὰ συγκοπήν.

Ἄλθετο: Τὸ ὑγιασθῆναι· παρὰ τὸ ἄλδω τὸ αὐξάνω, τὸ γὰρ ὑγιὲς αὔξάνεται.

Ἀλίαστος: Σημαίνει δὲ τὸν ἀκατάπαυστον.

οἱδ' ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι.

καὶ

ὅμαδος ἀλίαστος ἐτύχθη.

παρὰ τὸ λιάζω τὸ σημαῖνον τὸ ἐκκλίνω.

ἀμφὶ δ' ἄρα σφι λιάζετο κῦμα θαλάσσης.

ὁ μέλλων λιάσω· γέγονε ὄνομα ῥηματικὸν λιαστὸς, καὶ τοῦ στερητικοῦ ἀλίαστος· ὃν οὐν ἄν τις ἐκκλίνοι· ἢ παρὰ τοῦ ἀλῶ ῥήματος, ἀφ' οὗ καὶ

ἀλεύατο νίφα πολλήν.

γέγονεν ἀλίζω, ὡς φοιτῶ, φοιτίζω. ἀλίζω οὖν καθ' ὑπέρθεσιν λιάζω λιαστὸς καὶ ἀλίαστος.

Ἀλκυόνην: Φερώνυμον τῆς Μαρπίσσης γυναικὸς τοῦ Μελεάγρου οἷον

τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
Ἀλκυόνην καλέεσκον.

Κῆυξ ὁ φωσφόρου τοῦ ἀστέρος γήμας Ἀλκυόνην τὴν Αἰόλου μέγα φρονήσας ἐφ' ἑαυτῷ θεὸς ἐβούλετο νομίζεσθαι· διόπερ ἥτε γαμετὴ διὰ παντὸς ἐκάλει αὐτὸν Δία, κἀκεῖνος αὐτὴν Ἥραν. Ζεὺς δὲ ἀγανακτήσας μετέβαλεν αὐτοὺς εἰς ὄρνεα χωρὶς ἀλλήλων βιοῦντα· ἐκλήθη δὲ ἡ μὲν Ἀλκυόνη, ὁ δὲ Κῆυξ. παρὰ δὲ τοῖς αἰγιαλοῖς Ἀλκυόνης τικτούσης, τὰ ἔκγονα αὐτῆς τὰ κύματα διέφθειραν. Ζεὺς δὲ θεασάμενος ἐπικλαίουσαν[b] κατελεήσας ἐπέταξεν τοῖς ἀνέμοις καθ' ὃν Ἀλκυόνη καιρὸν τίκτῃ, μὴ πνέειν μέχρι ιδ' ἡμέρας. ὥσπερ οὖν Ἀλκυόνη τὸν αὑτῆς ἄνδρα ἐζήτει τὸν Κήϋκα, οὕτω καὶ ἡ Μάρπισσα τὸν ἑαυτῆς ἄνδρα τὸν Ἴδαν.

Ἁλιεύς: Ὥσπερ ἀπὸ τοῦ Αἰακίδης γίνεται Αἰακιδεύς, καὶ ἀπὸ ναύτης ναυτεύς, οὕτω καὶ ἀπὸ τοῦ ἁλιὴς ἁλιεύς.

Ἀλκυδών: Ἀλκυών, καὶ πλεονασμῷ τοῦ δ ἀλκυδών· καί ἐστι μονῆρες· οὐδὲν γὰρ εἰς δων καθαρὸν λήγει, ἀλλὰ τοῦτο μόνον.

Ἀλλοπρόσαλλος: Δίγνωμος, διπρόσωπος, ἄλλοτε ἄλλον φιλῶν.

Ἄλληξ: Κατὰ Θετταλοὺς σημαίνει τὴν χλαμύδα. Καλλίμαχος

ἄλληκα χρυσείην ἐπεργομένην ἐνέησεν.

Ἄλλεται: Εἰς ἵππους ἄλλεται· ψιλοῦται εἴτε ἐπὶ τοῦ ἐκκλίνειν τάσσεται, ὡς φησὶν Ἀσκαλωνίτης, εἴτε ἐπὶ τοῦ συστραφῆναι ἔστιν. ἀλῶ τὸ πλανῶ, ὅπερ ψιλοῦται, ὁ δεύτερος ἀόριστος ἦλον, ἦλες, ἦλε, ὁ παθητικὸς ἥλην· ἡ μετοχὴ ἀλεὶς ἀλέντος, ὡς φανείς· τὸ ὑποτακτικὸν ἐὰν ἀλῶμαι, ἀλῇ, ἀλῆται. συστολὴ οὖν ἐγένετο καὶ μεταβολὴ τοῦ τόνου ἄλλεται.

Ἄλος: Ἄλος πόλις Θεσσαλίας, ἀπὸ Ἀθάμαντος ἄλης περὶ τοὺς τόπους γενομένης ἐκείνους, καὶ ὑπ' αὐτοῦ κτισθεῖσα· λέγεται δὲ καὶ ἀρσενικῶς.

Ἁλὸς ἄχνη: τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα, ὅπερ καὶ φύκιον λέγεται.

b ἐπικλέουσαν Cod.

Ἄλπεια: Ὄρος τῆς Κελτικῆς, καὶ πληθυντικῶς λέγεται ἀπό τινος Ἀλπίδος κατὰ τοὺς τόπους ἀνῃρημένου, ἢ διὰ τὸ πλῆθος τῆς λευκῆς χιόνος Ἄλπις ἐκλήθη τὰ ὄρη· ἢ παρὰ τὸ ἄλτον, ὅ ἐστιν ὑψηλὸν, Ἄλτις κεκλῆσθαι λέγεται, καὶ πληθυντικῶς Ἄλπεια.

Ἀλτὴρ καὶ Ἀλτῆρες: Κατασκεύασμά τι ἀπὸ μολίβδου, ᾧ κέχρηνται οἱ σῶμα ἀσκοῦντες ἐν τοῖς γυμνασίοις, παρὰ τὸ ἄλλομαι· βαστάζοντες γὰρ αὐτοὺς καὶ περιφέροντες ἥλλοντο ἐν τῷ γυμνάζεσθαι.

Ἀλυκρόν: Ἀντὶ τοῦ θαλυκρόν· οἷον·

ἀπάντη πάντα θαλυκρὸς ἐγώ

εἶτα

γέντο δ' ἀλυκρά.

ἔνδεια· καὶ διὰ θ, καὶ χωρὶς τοῦ θ.

Ἀλύω: Ἰστέον ὅτι τῶν, ἀλύω, ὀπύω, καὶ τῶν παραπλησίων ἐκλελοίπασιν οἱ χρόνοι οἱ διὰ συμφώνου γινόμενοι· οὐδέποτε γὰρ μετὰ τὴν υι δίφθογγον σύμφωνον ἐπιφέρεται, οἷον αἴθυια, ἅρπυια· μυῖα.

Ἀλύσσοντες: Παρὰ τὸ λυσσάω, ῶ, λυσσάοντες, καὶ ἐν ὑπερθέσει ἀλύσσοντες.

Ἀλυτάρχης: Ὁ ἐν τῷ Ὀλυμπικῷ ἀγῶνι εὐκοσμίας ἄρχων. Ἠλεῖοι (Cod. ἥλιοι) γὰρ τοὺς ῥαβδοφόρους ἢ μαστιγοφόρους παρὰ τοῖς ἄλλοις καλουμένους ἀλύτας καλοῦσι, καὶ τὸν τούτων ἄρχοντα ἀλυτάρχην. Ἥδυλλος δὲ εἰς τὰ ἐπιγράμματα Καλλιμάχου διὰ τῶν δύο λάμβδα ὀνομάζει τοὺς ἀλύτας ἀλλύτας.

Ἀλυσκάζειν: Τὸ φεύγειν, παρὰ τὸ ἄλην τὴν πλάνην. οἱ γὰρ φεύγοντες πλανῶνται.

Ἀλφησταί: Σώφρων εἰς ἀνδρείους μίμους.

καταπυγοτέραν ἀλφηστᾶν

Ἀπολλόδωρος δέ φησιν, ἰχθῦς τινὲς οἱ ἀλφησταὶ, τὸ μὲν ὅλον κηροειδεῖς, πορφυρίζοντες κατά τινα μέρη· φασὶ δὲ αὐτοὺς ἁλίσκεσθαι σύνδυο, καὶ φαίνεσθαι τὸν ἕτερον ἐπὶ τοῦ ἑτέρου κατ' οὐρὰν ἑπόμενον. ἀπὸ γοῦν τοῦ κατὰ πυγὴν ἑτέρῳ ἕτερον ἐπακολουθεῖν, τῶν ἀρχαίων τινὲς τοὺς ἀκρατεῖς καὶ καταφθείροντες οὕτως ἔλεγον.

Ἀλφίτου Ἀκτὴν εἰρῆσθαι, ὅτι ἄκρον ἐκάλουν τὸν κάρπον,

ἔνθεν καὶ ἀκρόδρυα· ἢ ὅτι ὥσπερ ὁ εἰς θάλασσαν καθήκων τόπος ἔσχατος ὢν τῆς ἠπείρου ἀκτὴ λέγεται, οὕτω καὶ τὸ ἔσχατον τοῦ ἀλεύρου εἶναι προπονηθέντος εἰς τὸν καρπόν.

Ἀλωπεκόνησος: Ὄνομα νήσου, ὅτι Ἀθηναίοις ἀποικίαν στελλομένοις ὁ θεὸς ἔχρησεν ἐκεῖ κατοικῆσαι, ἔνθα ἂν ἀλώπηξ φανῇ· καὶ ἐν τῇ νήσῳ φανείσης τῆς ἀλώπεκος, ἐκεῖ ᾤκησαν.

Ἅλωα: Ἰστέον ὅτι τὰ εἰς ως βαρύτονα, τὰ βραχείᾳ παραληγόμενα, διὰ τος κλίνονται, ἔρωτος, νέπωτος, ὅ ἐστιν ὄνομα ὄφεος· τὰ δὲ μακρᾷ παραληγόμενα, διὰ καθαροῦ τοῦ ος, Μίνως Μίνωος, ἥρως ἥρωος· σεσημείωται τὸ Εἵλως Εἵλωτος· περὶ οὗ ἔστιν εἰπεῖν, ὅτι Ἕλως ἐστὶ, καὶ ἐκλίθη Ἕλωτος, ᾧ περ βραχεῖα ἡ παραλήγουσα. Εἵλωτες δέ εἰσι οἱ τὴν Μεσήνην οἰκοῦντες Πελοπονήσου· λοιπὸν ἐπλεόνασε· καὶ παρὰ τὸ κάλως, ὃ σημαίνει τὸ σχοινίον, βαρύτονον ὂν καὶ βραχείᾳ παρεληγόμενον, οὐ κλίνεται διὰ τοῦ τος, ἀλλὰ διὰ καθαροῦ τοῦ ος, ὡς μαρτυρεῖ Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικὰ, εἰπὼν κάλωες ὡς ἥρωες· οὐ γὰρ δυνάμεθα εἰπεῖν ὅτι Ἀττική ἐστιν ἡ κλίσις· οἱ γὰρ Ἀθηναῖοι κατὰ ἀποβολὴν τοῦ σ κλίνουσιν· οἷον, ὁ κάλως, τοῦ κάλω· ἐπέκτασίς ἐστι τῆς ος συλλαβῆς κάλωος, ὥσπερ ἡ ἅλως τῆς ἅλω καὶ ἅλωος· ἐξ οὗ ἡ αἰτιατικὴ τὴν ἅλωα, ὥσπερ Καλλίμαχος ἐν τῇ Ἑκάλῃ.

δινωμένην περὶ βουσὶν, ἐμὴν ἐφυλάσσατ' ἅλωα.

Ἅμα: Ἐπίρρημα παρὰ τὸ θαμὰ συνεχῶς, καὶ κατ' ἀποβολὴν τοῦ θ, ἅμα, τὸ γὰρ πυκνῶς γινόμενον κατὰ τὸν αὐτὸν ἀποτελεῖται χρόνον· τὸ δὲ θαμὰ γέγονεν οὕτως· ἔστι θαμὸς, ἐξ οὗ τὸ θαμειὸς, ὡς ἀδελφὸς ἀδελφειὸς, καὶ τὸ θηλυκὸν θαμειὰ, καὶ τὸ οὐδέτερον θαμὸν, ἡ εὐθεῖα τῶν πληθυντικῶν καὶ τὸ ἐπίρρημα θαμὰ, οὐ γὰρ ἀπὸ τοῦ θάμος θαμειός.

Ἁμάδιος: Ἐπιρρηματικῶς, ἅμα τῷ προελθεῖν, ἀπὸ τοῦ ἅμα παράγωγον διὰ τοῦ διος· πολὺς ὁ τοιοῦτος χαρακτήρ.

Ἄμαθος ἡ ψάμμος·

πλέον ἀμάθοιο βαθείης,

παρὰ τὸ ψάμαθος, καὶ ἀποβολῇ τοῦ ψ ἄμαθος, ἢ ἄμυθός τις οὖσα, τούτεστιν ἀνεπίγνωστος, ἣν οὐκ ἔστιν ἀριθμήσασθαι καὶ καταμαθεῖν.

Ἀμαιμάκετος: Ὁ μακρὸς,

οἶστον ἀμαιμάκετον,

παρὰ τὸ μῆκος μάκετος, καὶ πλεονασμῷ τοῦ ι, καὶ μετὰ στερητικοῦ α ἀμαιμάκετος, κατ' ἀναδιπλασιασμὸν ὁ μακρὸς καὶ ὑπερφυής· τὸ δὲ

πνείουσαν ἀμαιμάκετον πῦρ,

παρὰ τὸ μαιμῶ μαίμακα, ὃ καὶ μαιμάω φησὶν Ὅμηρος

ὡς δ' ἀναμαιμάει.

Χίμαιραν ἀμαιμακέτην,

ἄμαχον, ἀκαταγώνιστον, φοβερὰν, ἀνυπόστατον· ἢ ἀπροσμάχητον καὶ μεγάλην· παρὰ τὸ μαιμάω, μαιμάκετον, ἐξ οὗ τὸ θηλυκὸν ἀμαιμακέτην, μετὰ τοῦ στερητικοῦ α, πρὸς ἣν οὐδεὶς προθυμεῖται μάχεσθαι· ἢ παρὰ τὸ μάχην, ἀμαιμάχητος καὶ ἀμαιμάκετος καὶ ἀμαιμακέτην. οἷον

πρῶτον μέν ῥα Χίμαιραν.

Ἀμάνδαλον: Τὸ ἀφανὲς παρὰ Ἀλκαίῳ· ἀμαλάνω[b] τὸ ἀφανίζω, ἀμάλδανον τὸ ἀφανὲς καὶ ἀφανιζόμενον, καὶ καθ' ὑπέρθεσιν ἀμάνδαλον.

Ἀμβλῶσαι: Ἐκ τοῦ ἀμβλῆσαι, ὅ ἐστιν τὴν γονὴν ἀφανίσαι, κατὰ τροπὴν τοῦ η εἰς ω, ἀμβλῶσαι.

Ἀμβωμοῖσι:

ἅρματα δ' ἀμβωμοῖσι,

ἀντὶ τοῦ παρὰ τοῖς βωμοῖς. Χρύσιππος ὑφ' ἓν προφέρεται· ὁ μέντοι Ἀρίσταρχος β' μέρη λόγου παραλαμβάνει, καὶ προπερισπᾷ· λέγει οὖν καὶ ἀλλαχοῦ,

χρύσειοι δ' ἄρα κοῦροι ἐΰδμητον ἐπὶ βωμόν.

χρὴ γινώσκειν ὅτι διὰ τοῦ μ γράφεται, κἂν παράθεσις ᾖ, οἷον

ἀμφόνον ἀμ' νεκύας.

Συρακόσσιος διὰ δύο σσ γράφει Ἡρωδιανός.

Ἰστέον ὅτι τὸ ἦεν οὐδέποτε εὑρίσκεται χωρὶς τοῦ ν· ὅτι δὲ β' ἀόριστός ἐστιν, δηλοῖ καὶ ἡ μετοχὴ, ἐὼν, οὖσα, ὡς λαβὼν καὶ φαγών. Δεῖ δὲ γινώσκειν ὅτι τὸ ἦν ἐγὼ, καὶ ἦν ἐκεῖνος, οὐχ ὁμοφωνοῦσι. τὸ μὲν γὰρ ἦν ἐγὼ Ἀττικόν ἐστι, καὶ ἀπὸ τῶν εἰς μι, τὸ δὲ ἦν ἐκεῖνος κοινὸν, καὶ τοῦ β ἀορίστου ἀπὸ τοῦ εἰς ω.

Ἁμαρτῆι: Σημαίνει τὸ ὁμοῦ, καὶ κατὰ τὸ αὐτὸ ὅπη καὶ τὸ

b Leg. ἀμαλδύνω.

πῆ. Δεῖ γινώσκειν ὅτι σὺν τῷ ι γράφεται· τὰ γὰρ εἰς η λήγοντα ἐπιρρήματα ἔχουσι τὸ ι προσγεγραμμένον· οἷον ἄλλῃ, αὔτῃ, κρυφῇ, ἡσυχῇ, ἁμαρτῇ, κομιδῇ, σημαίνει δὲ τὸ πάνυ καὶ μετ' ἐπιμελείας, σπουδῇ, εἰκῇ, ὅπῃ, πῇ, ᾗ, ἐξ οὗ τὸ ᾗχι κατ' ἐπέκτασιν, οἷον,

ᾗχι ἑκάστῳ δώματα.

σημαίνει δὲ καὶ τὸ καθάπερ, ὡς παρ' Εὐριπίδῃ,

οὗτος γὰρ ἀνὴρ ᾗ μάλιστ' ἐκάμνομεν.

ἀντὶ τοῦ καθάπερ· εἰσὶ δέ τινα εἰς η λήγοντα μὴ ἔχοντα τὸ ι προσγεγραμμένον· εἰσὶ δὲ ταῦτα ἢ θέμις, σημαίνει δὲ ὡς θέμις, φῆ, οἷον

φῆ νέος οὐκ ἀπάλαμνος.

σημαίνει δὲ τὸ ὡς νέος· μὴ, οἷον, μὴ τύψῃς· νὴ, οἷον, νὴ τὴν Ἀθηνᾶν· ἰὴ, ἔστι δὲ σχετλιαστικὸν ἐπίρρημα καὶ θαυμαστικόν· ἔστι δὲ καὶ τὸ ἤδη χρόνου ἐπίρρημα· οἷον, ἤδη ἔγραψα· ἔστι δὲ καὶ τὸ νῦν δὴ, σημαίνει δὲ τὸ ἀρτίως· τοῦτο δὲ τὸ νῦν δὴ οὐκ ἀνέχεται τὰς συντάξεις τοῦ νῦν· τὸ μὲν γὰρ νῦν συντάσσεται ἐπὶ γ' χρόνους· οἷον, νῦν γράφω, νῦν ἔγραψα, νῦν γράψω· τὸ δὲ νῦν δὴ παρωχημένῳ χρόνῳ συντάσσεται· ὡς παρὰ τῷ ποιητῇ·

νῦν δή τοι ξυμβλήμενος ἐγγὺς ὁδίτης.

ἔστι δὲ καὶ τὸ δηλαδὴ, καὶ τὸ βῆ, ὃ περισπᾶται, τῶν ἄλλων μὴ ἐχόντων τὸ ι μὴ περισπωμένων, ἔστι δὲ μίμημα φωνῆς προβάτων· ἔστι δὲ παρὰ Κρατίνῳ[b] ἡ λέξις· ἔστι δὲ καὶ τὸ ἀκαρῆ· σημαίνει δὲ τὸ ἐν ὀλίγῳ χρόνῳ· λέγει δὲ ὁ τεχνικὸς τὸ ἡσυχῇ καὶ ἄλλῃ καὶ πάντῃ καὶ τὰ τοιαῦτα διὰ τοῦτο σὺν τῷ ι γράφεσθαι, ἐπειδὴ ἀπὸ δοτικῆς γεγόνασιν· ὅτι γὰρ ἀπὸ δοτικῆς γεγόνασιν δηλοῖ τὸ ταύτῃ· ἔστι γὰρ αὕτη, ἡ εὐθεῖα· ἡ γενικὴ ταύτης, καὶ ἡ δοτικὴ ταύτῃ ἀπέλθωμεν, καὶ οὐ λέγομεν αὕτῃ ἀπέλθωμεν, δῆλον ὅτι ἀπὸ δοτικῆς γέγονεν. εἰ δὲ τοῦτο ἀπὸ δοτικῆς γέγονε, δῆλον ὅτι καὶ τὰ λοιπὰ τὰ ἔχοντα τὸ ι, ἀπὸ δοτικῆς γεγόνασιν. οὕτως ὁ Χοιροβοσκός.

Ἁμαρτοεπής: Ἡ μεταφορὰ ἀπὸ τῶν ἁμαρτανόντων τῆς ὁδοῦ.

Ἀμάζων: Ἡ μὴ μάζαις χρωμένη ἀλλὰ κρέασι· ἢ ὅτι τὴν μίαν θήλην ἔκαιον τὴν δεξιὰν, ἵνα μὴ ἐμποδίζωνται τοξεύουσαι.

[b] Cf. Etym. M. p. 196, 8.

Ἄμαυρος : Ἀπὸ τοῦ μαίρω μαρῶ, καὶ πλεονασμῷ τοῦ υ μαυρῶ, ὡς καίω καύσω, κλαίω κλαύσω, οὕτως Ὠρίων[b].

Ἀμενηνῶ : Τὸ ἀσθενῆ ποιῶ.

Ἀμορεύοντο : (sic) Σημαίνει δὲ τὸ διεκόμιζον. Νίκανδρος

ναθοὶ γὰρ κάμνοντες ἀμοργεύοντο λοπάργων.

Ἀμ' πόνον : Σημαίνει ἐπὶ τὸν πόλεμον

ὁ μὲν αὖτις ἔβη θεὸς ἀμ' πόνον ἀνδρῶν.

Ἀμπρὸν : Σχοινίον τι, καὶ ἀμπρεύειν δὲ τὸ ἕλκειν, οἷον ἀμπρευόν τι ὂν τὸ διαμπερὲς τῷ ζυγῷ δεδεμένον.

Ἀμήρυτον : Τὸ ἀτελὲς, καὶ τέλος μὴ ἔχον, ἀπὸ τῆς μεταφορᾶς τῶν ἀπὸ τῶν ἐριῶν μηρυομένων.

Ἀμυχρὸς : Ὁ καθαρὸς, καὶ ἀμυσχρὰ (sic), ὁ μὴ μύσει χρανθεὶς, ἢ παρὰ τὸ μύσω μυσαχρὸς ὁ μυσαρὸς, καὶ μυσχρὸς, καὶ ἀμυσχρὸς ὁ ἀμίαντος.

Ἀμφεπονεῖτο : Διέτριβε.

Ἀμφεποτᾶτο : Περὶ τῶν τεκνῶν αὐτῆς λυπουμένη ἐπέτατο.

Ἀμφικάρη : Ἀμφικεφάλη.

Ἀμφιβέβηκας : Ὑπερμαχεῖς.

Ἀμφιελίσσας : Αἱ νῆες ταῖς κώπαις ἐλαυνόμεναι, ἢ ἑκάτερα τὰ πλευρὰ στρεφόμεναι.

Ἀμφίπολις : Πόλις Ἀθηναίων ἢ Θρακῶν, ἥτις ἐκαλεῖτο πρότερον ἔναυδοι[c] (sic), διὰ τὸ περιέχεσθαι καὶ περιοδεύεσθαι ὑπὸ τοῦ Στρύμονος ποταμοῦ.

Ἀμφίβασις : Λέγεται ἡ περὶ τῶν νεκρῶν μάχη· περιβάντες γὰρ τὸν νεκρὸν ἀγωνίζονται ὑπὲρ τοῦ σωθῆναι.

Ἀμφιφορίτης : Ὅτι ἐν Αἰγίνῃ ἔδραμον περὶ τὴν Ἀσωπίδα κρήνην ὑδρεύσασαι· ὅθεν καὶ ἀγὼν ἄγεται ἀμφιφορίτης λεγόμενος παρὰ τοῖς Αἰγινήταις· ἐν ᾧ ἐκεῖσε ἀγωνιζόμενοι τοὺς κεράμους ὕδατος πεπληρωμένους κατὰ τῶν ὤμων παραλαμβάνοντες τρέχουσι, περὶ τῆς νίκης φιλονεικοῦντες κατὰ μίμησιν τῶν ἡρώων.

Ἀμφίων : Ἀπὸ τοῦ ἀμφὶ καὶ ἰὼν, βαρυτόνως δὲ γέγονεν ἐπειδὴ

[b] Vel Ὦρος nam Cod. ὧς.   [c] Leg. ἐννέα ὁδοί.

αἱ μετοχαὶ συντιθέμεναι, ἐὰν μὲν φυλάξωσι τὸ αὐτὸ μέρος τοῦ λόγου, καὶ τὸν αὐτὸν τόνον φυλάττουσι, οἷον βὰς, ἀναβάς· στὰς, ἀναστάς· ἐὰν δὲ ἐναλλάξωσι τὸ αὐτὸ μέρος τοῦ λόγου, καὶ τὸν τόνον ἐναλλάσσουσι, οἷον βὰς Ἄβας, φὰς Περίφας.

Ἀνεκυμβαλίαζον: Ἀνεκρότουν ἢ ἀνετρέποντο.

δίφροι ἀνεκυμβαλίαζον.

Δρυμα οὐ δρυμὰ: Οὐ γὰρ σώζεται τῶν γ προσώπων συζυγία· σοφὸς μὲν γὰρ σοφὴ σοφὰ ὀξυτόνως, δρυμὸς δὲ δρυμὴ, οὐκ ἔτι δρυμὰ, ἀλλὰ δρύμα ὡς λύχνα.

Ἰστέον ὅτι πᾶν οὐδέτερον εἰς ν λῆγον ἀπαθὲς βραχυκαταληκτεῖν θέλει, χωρὶς τοῦ πᾶν· τοῦτο γὰρ μακροκαταληκτεῖ· καὶ χωρὶς τῶν παρὰ τὸ ποῦς, οἷον διποῦν, τρίπουν· προσκεῖται ἀπαθὲς διὰ τὸ ποιοῦν, ὀστοῦν καὶ χαλκοῦν· ταῦτα γὰρ ἀπὸ κράσεως γέγονεν, καὶ τὸ διπλοῦν ἀπὸ τοῦ διπλόον· καὶ τὸ εὐγήρων ἀπὸ τοῦ εὐγήραον· τὸ καρχαροδοῦν καὶ τιμήειν ἀπὸ τοῦ καχαρόδον καὶ τιμῆεν γέγονεν· τὸ μὲν τοῦ ι πλεονασμῷ, τὸ δὲ τοῦ υ. Τὸ ἀξιόχρεων καὶ ἀνάπλεων Ἀττικῶς ἔκτασιν ἔπαθον ἀπὸ τοῦ ἀξιόχρεος καὶ ἀνάπλεος διὰ τοῦ ο μικροῦ· οὕτως ὁ Χοιρόβοσκος.

Μάγις: Ἡ τράπεζα, ἔνθα τὰ μεμαγευμένα.

Μαινόλης: Μανιοποιὸς ἢ μαινόμενος.

Μανὸν: Ἀραιὸν, χαῦνον, ἢ ἀνωφερὲς ὡς φλὸξ, καὶ ὁ μαινόμενος, καὶ ὁ μὴ ἰσχυρὸς ταῖς φρεσίν.

Μαργίτης: Ὁ ἀνόητος, ἀπὸ τοῦ μάργος, μαργίτης, ὡς μεσίτης.

Μέγαρον: Ὁ οἶκος, μέγα, μεγαίρω, μέγαρον· ἐγκώμιον γὰρ οἴκου τὸ μέγα καὶ ἄξιον φθόνου.

Μέγας: Μήγας, ὁ μὴ ὢν ἐν τῇ γῇ, ἀλλ' ὑπερέχων αὐτῆς.

Μεγακήτεα: Τὸν μεγάλα κήτεα ἔχοντα· ἢ ἁπλῶς μέγαν παρὰ τὸ κῆτος.

Μεγαλεῖον: Ἔστι δὲ μύρον ἀπὸ Μεγάλου Σικελιώτου πρώτου εὑρόντος.

Μεγάλως: Ἡσίοδος

ὡς δ' ἐθέλει μεγάλως παραγίνεται·

ἀντὶ τοῦ λιπαρῶς.

Μέγεθος: Παρὰ τὸ μέγα μέγαθος, καὶ μέγεθος κατὰ τροπήν.

Μεγήρατα: Μέγα ἐπέραστα, ἢ ὑπερήφανα διὰ τὸ κάλλος, ἢ μέγα ἐρίζοντα περὶ κάλλους, ἢ πρὸς οὓς οὐδεὶς δύναται ἐρίσαι, ἀλλὰ μετ᾽ ἀλλήλων ἐρίζειν.

Τάριχος λέγεται πᾶν σῶμα τεθνεῶτος ζώου ἁλσὶ περιτριβὲν διὰ τὸ μὴ ὑπὸ σκωλήκων βιβρώσκεσθαι, καὶ ἄσηπτον διαμένειν.

Τὸ χειροτονεῖν λέγεται ἀπὸ ἔθους (Cod. ἤθους) παλαιοῦ· οἱ γὰρ παλαιοὶ θέλοντες ποιῆσαί τινα ἢ στρατηγὸν ἢ ἄλλό τι, ἠρώτων πρῶτον τὸν δῆμον, τὸν δεῖνα θέλετε εἶναι στρατηγόν; οἱ βουλόμενοι ἔτεινον τὰς χεῖρας καὶ λαλοῦντες δεῖγμα ὅτι ναί· οἱ δὲ μὴ θέλοντες οὐκ ἔτεινον τὰς χεῖρας, καὶ οὕτως ἐλέχθη τὸ χειροτονεῖν.

Μήδομαι: Παρὰ τὸ μήδω τὸ βουλεύομαι, οὕτως Ἀπολλώνιος.

Ἀμὶς, σταμνίον ᾧ ἐνουροῦσι. Σοφοκλῆς δὲ ἐν Πανδώρᾳ ἐνουρήθρον καλεῖ, Αἰσχύλος δὲ οὐρανήν.

Μίστυλλον τ᾽ ἄρα τ᾽ ἄλλα: Τινὲς κατὰ συναλοιφὴν τἄλλα ὡς τἄργα· ὁ δὲ Ἡρωδιανὸς τὸ τὰ παραπληρωματικῶς ἀποδέχεται· καὶ λείπειν τὸ ἄρθρον Ὁμηρικῷ ἔθει.

Ὀρίγανον: Ὤφειλεν διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἐπειδὴ ἓν ἁπλοῦν σύμφωνον ἐπιφέρεται· καὶ γὰρ ἀπὸ τοῦ ὄρει δοτικῆς καὶ τὸ γᾶνος τὸ σημαῖνον χαρὰν, γέγονε ὀρείγανον, οἱονεὶ τὸ λαμπρῦνον τὴν ὅρασιν, ὁρᾶν γὰρ καλῶς ποιεῖ τὸ ὀρίγανον. ὁ δὲ γραμματικὸς Θεοδόσιος λέγει ὅτι διὰ ι γράφεται, ἐπειδὴ παρὰ τὸ ῥιγῶ γέγονε ῥίγανον, καὶ πλεονασμῷ τοῦ ο, ὀρίγανον, οἱονεὶ τὸ ψῦχον τινὰ, κατὰ ἀντίφρασιν· θερμαίνει γάρ· ἢ ἐπειδὴ, ὥς φησιν Ὠριγένης, εὕρηται ἐν συστολῇ συλλαβὴ ὡς παρὰ τῷ Τιμοθέῳ τῷ κιθαρῳδῷ· οἷον[c],

τεταμένα ὀρίγανα δμοελοτρειφῆ.

σύγκειται δὲ οὗτος ὁ στίχος ἀπὸ προκελευσματικῶν· ὁ δὲ τελευταῖος ποὺς ἀνάπαιστος, τῶν δύο βραχέων εἰς μίαν μακρὰν συναιρεθεισῶν. Λέγεται δὲ καὶ ὁ ὀρίγανος καὶ ἡ ὀρίγανος καὶ τὸ ὀρίγανον. καὶ θηλυκῶς μὲν εὕρηται παρὰ Ἀριστοφάνει ἐν Ἐκκλησιαζούσαις· ἀρσενικῶς δὲ, παρὰ Ἀναξανδρίδῃ ἐν Φαρμακομάντει· καὶ οὐδετέρως ἐν Ἠλείοις[d], καὶ Ἐπιχάρμῳ ἐν Ἀταλάντῃ. Χοιροβοσκός.

Ὀρείχαλκος: Εἶδος ὕλης οὕτω καλουμένης, ἥτις νῦν οὐκ

c οἱ Cod. d ἐλείοις Cod.

εὑρίσκεται. ἄλλοι δὲ λέγουσιν, ὅτι χείμυσίς ἐστι τοῦ νῦν εὑρισκομένου χαλκοῦ λευκοῦ, οὗτος γὰρ σκευασίᾳ τινὶ γίνεται, λευκὸς φύσει· Ἡσίοδος ἐν Ἀσπίδι

ὡς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινοῦ.

Οὐρῆας τοὺς ἡμιόνους· παρὰ τὸ ἐν ὄρεσι μᾶλλον δύνασθαι ἐργάζεσθαι, ὄρος, οὐρεὺς, ἡ γενικὴ οὐρῆος.

Οὑτοσὶ: Τοῦτο παράγωγον ἀντωνυμίας καὶ οὐ πλεονασμός.

Οὕτω: Ἀπὸ τοῦ οὕτως γέγονε κατ' ἀποβολὴν τοῦ σ, Ἡρωδιανός.

Ὀφείλω τὸ αὔξω, ὅθεν καὶ ὀφείλημα τὸ αὐξανόμενον ἐν τόκῳ.

Ὄχνη: Ἡ ἀχλὰς[e] (sic) ἔστιν εἶδος φυτοῦ, οἷον ἀχόη τις οὖσα διὰ τὸ μὴ ποτίζεσθαι· ἄχη καὶ ὄχνη κατὰ πλεονασμὸν τοῦ ν· ἢ παρὰ τὸ ἄγχειν ὄχνη, ὡς τραχεῖά τις οὖσα· ἔστι δὲ καὶ ἄλλη ἑτέρα, ἥτις καὶ ἄπιος καλεῖται· οἱονεὶ ἡ ἥκιστα πίνουσα.

Οὐδὲ γὰρ οὐδέ κεν αὐτός. ἡ μία περιττὴ ἀπόφασις, καὶ ἔστι μία μὲν ἐπὶ τοῦ πράγματος, θατέρα δὲ ἐπὶ τοῦ προσώπου.

Οὐσία καὶ περιουσία: Οὐσία ἡ σύμμετρος. περιουσία ἡ περιττὴ οὐσία.

Οἰσπώτη: Ὁπλὴ προβάτων, ἐκ τοῦ ὄϊς καὶ τοῦ πατῶ, οἰσπάτη τροπῇ τοῦ α εἰς ω.

Οὐτιδανὸς: Οὐδενὸς λόγου ἄξιος· ἐκ τοῦ οὐ ἀρνήσεως, καὶ τοῦ τις, ὃ σημαίνει πολλά. τὸ οὐδεὶς γίνεται οὔ τινος, οὐτιανὸς καὶ οὐτιδανός.

Παιδεύω: Παιδεία σημαίνει πολλά· τὴν παίδευσιν καὶ τὴν παιδικὴν ἡλικίαν, καὶ τὴν ἀνατροφὴν καὶ τὴν μίξιν. τὸ γὰρ σημαῖνον τὸ παίγνιον διὰ τοῦ ι γράφεται· καὶ παρ' ἡμῖν μὲν ὀξύνεται, παρὰ δὲ τοῖς Ἀθηναίοις βαρύνεται.

Παραβλήδην: Σημαίνει μὲν παρ' Ἀπολλωνίῳ ἀντὶ τοῦ περιβάλλω καὶ παρηγορῶ τῷ λόγῳ. παρὰ δὲ Ὁμήρῳ τὸ κατ' ἀπάτην λέγειν·

κερτομεῶν ἐπέεσσι παραβλήδην.

Ἰστέον ὅτι τὰ εἰς δην ἐπιρρήματα, εἰ μὲν ἀπὸ ὀνομάτων παράγονται, τῷ α παραλήγουσι· λόγος λογάδην· εἰ δὲ ἀπὸ τῶν ῥημάτων τῷ β, οἷον γράφω γράβδην· λείβω λείβδην, τῆς πρώτης συζυγίας τῶν βαρυτόνων· εἰ δὲ ἀπὸ τῶν τῆς β, τῷ γ παραλήγουσι,

[e] Leg. ἀχρὰς.

οἷον, μίγδην, αἴγδην· εἰ δὲ ἀπὸ τῶν περισπωμένων, τῷ η· οἷον διαρρήδην, ἀπὸ τοῦ ῥέω καὶ διαρρέω. εἰ δὲ ἀπὸ τῶν εἰς μι, εἰ μὲν ἀπὸ τῆς πρώτης συζυγίας, τῷ ε, ἀνίημι, ἀνέδην· εἰ δὲ ἀπὸ τῆς β, τῷ α· βίβημι βάδην· ἵστημι στάδην· ὅθεν καὶ ὀρθοστάδην παρ' Αἰσχύλῳ ἐν Προμηθεῖ.

Παρείατο: Πλεονασμῷ τοῦ α· εἵατο καὶ παρείατο· ἕω τὸ καθέζομαι· εἰμὶ, ἕμην ὁ μέσος ἀόριστος, ἕσο, ἕτο, καὶ εἷτο, καὶ πλεονασμῷ τοῦ α, εἵατο καὶ παρείατο. οἱ δὲ πληθυντικὸν ἀντὶ ἑνικοῦ· τὰ γὰρ εἰς το λήγοντα, πληθυντικά εἰσι, εἰ ἔχοι τὸ α μὴ ἐκ συναιρέσεως,

τάδε πάντα πυθοίατο,
μέγα κεν κεχαροίατο θυμῷ.

Πάρθενος: Παρὰ τὸ παραθέειν τὴν παιδικὴν ἡλικίαν, ἢ παρὰ τὸ παραθέειν τῇ μητρί· ἢ παρὰ τὸ θήσω μέλλοντος

γυναῖκά τε θήσατο μαζόν.

γίνεται ὄνομα ῥηματικὸν θηνὴ, καὶ μετὰ τῆς παρὰ παραθήνη, καὶ κατὰ συγκοπὴν παρθένος, ἡ παρὰ ταύτην τὴν ἡλικίαν οὖσα καθ' ἣν ὥραν ἔχει ἐκθρέψαι καὶ ἐκτεῖσαι μάζους. τὰς οὖν μικρὰς παῖδας οὐ προσαγορεύομεν παρθένους, ἀλλὰ τὰς ἤδη ἐπὶ τὸ γυναῖκας μέλλειν ἰούσας. ὁ δὲ Ἡρακλείδης, ἡ παρ' οὐδενὸς οὐδὲν λαβοῦσα εἰς ἕδνα.

Παρείας ὄνομα ὄφεως. Παρίας δὲ κύριον.

Δελφύνης ἐκαλεῖτο ὁ φυλάσσων τὸ ἐν Δελφοῖς χρηστήριον· τοῦτον ἐφόνευσεν ὁ Ἀπόλλων, ἐθελήσαντα ἐπελθεῖν καὶ ἐπιχειρῆσαι ἀθλητῶν.

Παροινία: Ἡ νῦν ἀταξία.

Ὡς ἀπὸ τοῦ εὔχω εὐχωλὴ, οὕτως ἀπὸ τοῦ παύσω παυσωλή.

Ἀπαφίσκειν τὸ ἀπατᾶν· ἔνθεν τὸ

ἀπ' ἐμ' ἤπαφε δαίμων.

ἀντὶ τοῦ ἐξηπάτησεν· καὶ τὸ παρήπαφεν.

Πένοντο: Πένω τὸ ἐνεργῶ καὶ κάμνω, ἀφ' οὗ καὶ πόνος.

Πεπαλαγμένον: Μεμολυσμένον, κατεστιγμένον.

Πεπάλασθε: Κληρώθητε, λάχετε, πάλος γὰρ ὁ κλῆρος παρὰ τὸ παλῶ παλάσω.

Περίστωιον: Ἔχει τὸ ι προσγεγραμμένον, ἢ ὅτι τὰ διὰ τοῦ ῳον οὐδέτερα μονογενῆ, πάντως τὸ ι θέλει ἔχειν, οἷον, πτῷον, ζῷον,

οὕτως καὶ περίστῳον προπαροξύνεται εὐλόγως, τὸ δὲ προστῷον προπερισπᾶται. καὶ ὤφειλεν ἢ τὰ δύο προπερισπᾶσθαι, ἢ τὰ δύο προπαροξύνεσθαι, ἐπειδὴ ἀπὸ τοῦ στοὰ ἀμφότερα γέγονε. ἀλλ᾽ ἡ παράδοσις τὸ μὲν ἓν οἶδεν προπερισπᾶσθαι, τὸ δὲ ἕτερον προπαροξύνεσθαι.

Πέρραμος: Αἰολέων διάλεκτος· τὸ γὰρ Πρίαμος Πέρραμος λέγεται, καὶ τὸ κοπρία κόπερρα.

Περσεύς:

Περσῆα μετέκλησαν Ἀχαιοὶ
οὕνεκ᾽ ἄστεα πέρθαι ἀπειρεσίων ἀνθρώπων.

Πῖλος: Ἢ παρὰ τὸ πιλνῶ, ὃ σημαίνει τὸ προσεγγίζω, καὶ γὰρ πιλνᾶται φασὶ καὶ συνάπτεται ἵνα κατασκευασθῇ· οἱ δὲ παρὰ τὸ πελάσαι ἐτυμολογοῦσι, ἐπεὶ συμπελάζεται ἀλλήλοις τὰ ἔρια. μάχεται δὲ αὐτῷ ἡ διὰ τοῦ ι γραφή· ὁ δὲ Χοιρόβοσκος διὰ τοῦ ι γράφει, λέγων οὕτως. τὰ διὰ τοῦ ιλος βαρύτονα, μὴ ὄντα οὐδέτερα, μήτε σύνθετα ἀπὸ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον, διὰ τοῦ ι γράφονται, χωρὶς τοῦ Νεῖλος, οἷον, ὅμιλος, Πάμφιλος, Τρωΐλος, Ζωΐλος, ναυτίλος, Καδμίλος, κτῖλος, οὕτως οὖν καὶ πῖλος. πρόσκειται βαρύτονα, διὰ τὸ δειλὸς, πρόσκειται οὐδέτερα, διὰ τὸ χεῖλος, πρόσκειται μὴ ὄντα σύνθετα ἀπὸ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον, διὰ τὸ χεῖλος, τρίχειλος, ἀγκυλόχειλος, καὶ κροκόδειλος.

Πίπτω: Γράφεται διὰ τοῦ ι, ὅτι τὰ διὰ τοῦ πτω ῥήματα οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγειν, χωρὶς τοῦ φιλαλείπτω καὶ ἀναρείπτω, ἐξ οὗ καὶ τὸ ἀνηρείψαντο. ὥσπερ δὲ παρὰ τὸ ὄπτω γίνεται Αἰολικῶς ὄσσω, οὕτως καὶ πίπτω πίσσω.

Πεῖσμα: Τὸ σχοινίον Ἀπολλώνιος διὰ τοῦ ι, ὁ δὲ Ὠρίων[c] διὰ τῆς ει διφθόγγου.

Πίσω: Μέλλων ἀπὸ τοῦ πίω λέγει μὴ εἰρῆσθαι ὁ τεχνικὸς, καίτοι εὕρηται παρὰ Πινδάρῳ, οἷον

πίσω γε Δίρκης[d]

καὶ παρ᾽ Εὐπολίδι[e]

τῷ δ᾽ ἄρ᾽ οἶνος εἴη πίσει.

ἔστι δὲ εἰπεῖν ὅτι μὴ εἰρῆσθαι εἶπεν ἐν πλάτει.

[c] ὦ Cod. [d] δήρης Cod. [e] εὐπολίδη.

Πληγάδες:[f]

οὐδ' ἵπποι ὀρθριναὶ κατὰ κλισίας χρεμέθεσκον,
ἀλλὰ βόες πλήρεσσι κατηυνάζουσαι κάποισι.
νηυσὶ δὲ πρηκτὰ κέλευθα Χελιδονίης ἀπὸ πέτρης
Πλήγαδας ἀξείνους καὶ ὅ[g] φινήϊαδα δόρπα
ἅρπυιαι ἄτλητον ἐπὶ ψῶον ἀμπνεύεσκον.

Πλωτὴ ἐγένετο ἡ θάλασσα ἀπὸ Χελιδονίων, ὅ ἐστιν ἀκρωτήριον τῆς Λυκίας, μέχρι τοῦ στόματος τοῦ Ἀξείνου πόντου. αἱ γὰρ Συμπλήγαδες ἐκεῖ εἰσιν ἃς πλήγαδας εἴρηκεν. δοκεῖ δὲ Φινεὺς τυφλωθεὶς ἐπ' ἐκείνου τοῦ τόπου διατρίβειν, καὶ στερεῖσθαι τῆς τροφῆς, τῶν ἁρπυιῶν αὐτὰ τὰ δεῖπνα ἁρπαζουσῶν, καὶ τοσοῦτον ἀπολειπόντων ὀδμὴν ἀνυπόστατον διὰ τὴν δυσωδίαν.

Πλωάδας: Ὀρνίθων (sic) οἷον

πλωάδας ὄρνιθας Στυφαλίδας ἔστενε λίμνης.

Πλωάδας ὄρνιθας τὰς Στυφαλίδας λέγει. Στυφαλίδες δὲ λέγονται ἐπεὶ Στυφαλὶς τῶν Ἀρκάδων. πλησίον δὲ αὐτῆς λίμνη, ἔνθα διέτριβον ὄρνιθες. ἐξεδίωξε δὲ αὐτὰς ὁ Ἡρακλῆς πλαταγῇ, μὴ δυνάμενος αὐτὰς τοξεῦσαι διὰ τὸ πλῆθος.

Ποδαλείριος: Οἱ μὲν παρὰ τὸ ἔχειν τὸν πόδα λείριον, ἤγουν ἁπαλόν· ἄτοπον δέ ἐστιν ἥρωος πόδα λέγειν ἁπαλόν· οἱ δὲ ὅτι παρὰ τὸ λείριον τὸ ἁπαλὸν γίνεται ἀλείριος κατὰ στέρησιν, καὶ ἐκεῖθεν ποδαλείριος, οἷον, ὁ τοὺς πόδας μὴ ἁπαλοὺς ἔχων ἀλλὰ σκληρούς.

Ῥαΐδιον: Ἔχει τὸ ι, ἐπειδὴ εὕρηται κατὰ διάστασιν ῥηΐδιον, καὶ ὅτι ἀπὸ τοῦ ῥέα γέγονε ῥεΐδιον, καὶ τροπῇ τοῦ ε καὶ η, καὶ συναιρέσει ῥήδιον. οὐκ ἐγένετο ῥάδιος ἀπὸ τοῦ ῥᾶος ῥᾶον, ἐπειδὴ εἰσὶ παράγωγα καὶ διὰ τοῦ ιδιον. καὶ ἡνίκα μὲν ἡ τελευταῖα συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ συμφώνου ἄρχεται, τότε διὰ τοῦ ιδιον γίνεται ἡ παραγωγὴ, καὶ φύσει αἱ γ συλλαβαὶ αἱ τελευταῖαι βραχεῖαι, οἷον γνώμη, γνώμης, γνωμίδιον· ψυχὴ, ψυχῆς, ψυχίδιον· παῦρος, παύρου παυρίδιον. ἡνίκα δὲ ἡ τελευταία συλλαβὴ τοῦ πρωτοτύπου τῆς γενικῆς ἀπὸ φωνήεντος ἄρχεται, τότε διὰ τοῦ διον γίνεται ἡ παραγωγὴ, καὶ ἐκτείνεται ἡ συλλαβὴ, οἷον γραφεῖον, γραφείου, γραφείδιον· ἀγγεῖον, ἀγγείου, ἀγγείδιον. καὶ εἰ μὲν παραλήγει τὸ ο ἢ τὸ ε, προσλαμβάνει τὸ ι.

[f] Hos versus citavit Ruhnken. in Epist. Crit. II. p. 279. proculdubio e nostr. Cod. et Apollonio Rh. attribuit. [g] Ruhn. leg. ὅπου.

οἷον, φύσεως, φυσείδιον, λέξεως λειξίδιον· βοῦς, βοὸς, βοΐδιον· νοῦς, νοὸς, νοΐδιον, καὶ φάδιον καὶ προσκεφαλάδιον· σπήλαιον, σπηλαίου, σπηλάδιον· ἔλαιον, ἐλαίου, ἐλάδιον. εἰ δὲ ἄλλο φωνῆεν παραλήγει, εἰς ἑαυτὸ μεγαθύνεται τὸ φωνῆεν· οἷον, βότρυς βότρυος βοτρύδιον, μῦς μυὸς μύδιον. εἰ οὖν ἀπὸ τοῦ ῥᾶος ῥάου ἐγένετο, οὐκ ὄφειλεν ἔχειν τὸ ι[g], ἐπειδὴ ἡ τελευταῖα συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου τῇ αι διφθόγγῳ παραλήγει· καὶ πάλιν εἰ ἦν ἀπὸ τοῦ ῥαῖος, οὐκ ὤφειλεν τρέψειν τὸ α εἰς η καὶ γενέσθαι ῥήϊδιον. τὰ γὰρ διὰ τοῦ διον ἔχοντα ἀπὸ πρωτοτύπου φωνῆεν τὸ α, οὐδέποτε τρέπουσιν αὐτὸ εἰς η. οἷον κεφαλιαίου κεφαλιάδιον, σπηλάδιον, ἐλάδιον, καὶ οὐ λέγεται σπηλήδιον καὶ ἐλήδιον.

Ἴπτω διὰ τοῦ ι γράφεται, ἐπειδὴ τὰ εἰς πτω λήγοντα ῥήματα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγειν, οἷον ἴπτω, ῥίπτω, λίπτω, σημαίνει δὲ τὸ ἐπιθυμῶ. οὕτως οὖν καὶ ἴπτω, χωρὶς τοῦ φιλαλείπτω καὶ ἀναρείπτω, τὸ σημαῖνον τὸ ἁρπάζω.

Πολυκληῗδι: Προπερισπᾶται ὡς τὸ ἁπλοῦν

ἐνὶ κληῖδι καθέζον.

οὐκ ἔχει δὲ οὕτως ἡ ἀνάγνωσις. λέγομεν γὰρ ὅτι τὰ εἰς ις λήγοντα θηλυκὰ ὀξυνόμενα, εἰ μὲν ἐν τῇ συνθέσει ἐφυλάττον μόνον τὸ θηλυκὸν γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσουσι. εἰ δὲ μεταληπτικὸν γένοιτο, καὶ ἀρσενικοῦ γένους, μεθίσταται εἰς βαρεῖαν τάσιν. παραδείγματα τοῦ μὲν προτέρου, περισκελὶς, τοῦ δὲ δευτέρου δύσελπις· ταύτῃ τοι καὶ τὸ μὲν καταιγὶς ὀξύνεται, τὸ δὲ μελαναίγις βαρύνεται· οὕτω καὶ τὸ εὐκλήϊς γὰρ ἐπὶ Ἀμάζονος ταγείη ἂν, καὶ τὸ εὐκνήμις ἀμελίει[h] ἐπὶ τῆς Ἀθηνᾶς τέτακται.

Χρῶς: Ἐστὶ χροῦς, ὅθεν τὸ

χροῦς ἄμεναι ἄνδρα,

καὶ μεταβολῇ τῆς ου χρῶς, ὡς βοῦς βῶς παρὰ Δωριεῦσιν.

Πόρκος: Οἱ μὲν δίκτυον ἀπέδοσαν οὐκ εὖ. ἔστι δὲ σχοινίῳ πλέγμα· οἱ δὲ κύρτον. οὐ δὲ οὗτοι ὑγιῶς. ὁ γὰρ Πλάτων ἕτερόν φησιν εἶναι τὸν πόρκον τοῦ κύρτου ἐν Σοφιστῇ λέγων οὕτως, “ κύρτους δὴ καὶ δίκτυα καὶ βρόχους καὶ πόρκους καὶ τὰ τοιαῦτα

[g] ι om. Cod. [h] Sic Cod. Leg. vid. ἀμέλει.

"οὐκ ἄλλό τι πλὴν ἕρκη δεῖ προσαγορεύειν." καὶ Δίφιλος ἐν Σχεδίᾳ μνημονεύει τοῦ πόρκου,

θᾶττον πλέκειν κέλευε τῶν πόρκων πυκνοτέρους

καὶ Ἀντιφάνης Κιθαρῳδῷ.

εἰσδυόμενος εἰς πόρκον, ὅθεν ἔξω πάλιν
οὐ ῥᾳδίως ἔξειμι τὴν αὐτὴν ὁδόν.

Ποσειδῶν: Διὰ τοῦ ι καὶ διὰ τῆς ει διφθόγγου γράφεται. διὰ μὲν τῆς ει διφθόγγου, ὅτι παρὰ τὸ πέδον σείειν. ἀπὸ γὰρ τοῦ πέδον καὶ τοῦ σείω γίνεται πεδοσείων, καὶ ἐν ὑπερβιβασμῷ Ποσειδῶν. εἰ δὲ διὰ τοῦ ι, παρὰ τὸ τοὺς πόδας δεσμεῖν. ἐκεῖσε γὰρ ἀφικόμενοι, βαδίζειν οὐ δυνάμεθα. ἢ ποσειδῶν λέγεται παρὰ τὸ πόσιν τῷ δάει, ἤγουν τῷ ἡλίῳ, ἀναπέμπειν. ἐκ τῆς θαλάσσης γὰρ ὁ ἥλιος ἀνιμᾶται τὴν ὑγρότητα. τὸ δὲ Ποσιδῶν τὸ διὰ τοῦ ι γραφόμενον λέγεται καὶ Ποσιδάων καὶ διαιρούμενον Ποσιδάωνος. φυλάττει τὸ ω. τὸ σι μακρὸν, τὸ δὲ Τυφάονος λεγόμενον ἐνδιατρέπει τὸ ω εἰς τὸ ο. τὸ δὲ Ποσίδειον ἔστιν ἄκρον τῆς Μυσίας. οἷον, Ποσίδειον ἄκρη.

Ὠκὺς παρὰ τὸ ἀκὴ, ὃ σημαίνει τὴν ὀξύτητα, ἀκὺς καὶ ὠκὺς, ὡς τέκμαρ τέκμωρ, καὶ ὡς παρὰ τὸ φάρη φαριαμὸς καὶ φωριαμός.

Ὠμήρησε: Ἀντὶ τοῦ συναντιλαβεῖν καὶ συμβαλεῖν, ἐξ οὗ ὅμηροι οἱ ἐπὶ καταλλαγῇ στελλόμενοι δι' ὁμόνοιαν. οἱ δέ φασι τοὺς ἀρχαιοὺς ὁμηρεῖν λέγειν τὸ συνακολουθεῖν. τοὺς οὖν ἐπὶ ἀκολουθίᾳ τῶν ὁμολογουμένων ὁμήρους ἔλεγον.

Ὤμοι, εἰ χωρὶς λέγεται, γίνεται ἀπὸ τοῦ οἲ σχετλιαστικοῦ ἐπιρρήματος, τροπῇ τοῦ ο εἰς ω, κατ' ἐπέκτασιν τῆς μοι συλλαβῆς. ὡς παρὰ τοῦ οἴσω μέλλοντος γίνεται οἶμος καὶ ὦμος τροπῇ τοῦ οι εἰς ω· οὕτως παρὰ τὸ ἄγκων γίνεται ἀγκοίνη καὶ ἀγκώνη, καὶ παρὰ τὸ θῶ δὲ οὗ ὁ μέλλων θώσω, θώνη καὶ θοίνη.

Τεθνᾶσιν: Οἱ μὲν λέγουσιν ὅτι τεθνήκασιν κατὰ συγκοπὴν τεθνᾶσιν. ἀλλ' εἰ ἦν οὕτως, οὐκ ὤφειλε περισπᾶσθαι. οὐδέποτε γὰρ συγκοπὴ περισπᾶται· ἀλλ' ἐστὶ τέθνημι τὸ πληθυντικὸν τέθναμεν, τέθνατε, τεθνᾶσι· ὁ παρατατικὸς ἐτέθναμεν, ἐτέθνατε, ἐτέθνασαν, τὸ ἀπαρέμφατον τεθνᾶναι. τὸ προστακτικὸν τέθναθι, τὸ γ τεθνάτω, τὸ εὐκτικὸν τεθναίην. ἢ ἀπὸ τοῦ τεθνήκασιν, ἀφαι-

ρέσει τοῦ κ καὶ συστολῇ τοῦ η εἰς τὸ α, τεθνάασι, καὶ κατὰ συναλοιφὴν τεθνᾶσι· τὸ δὲ τεθναίης ἀπὸ τοῦ τέθνημι.

Στομφάζειν παρὰ τὸ στόμα καὶ τὸ ὄμφαξ, ὀμφάζω καὶ στομομφάζω, καὶ ἐν συγκοπῇ στομφάζω. ἄλλοι τὸ στομφάζειν οἷον κομπάζειν, ἀλαζονεύεσθαι, στομοβάζειν. ἢ στομφῶδες καὶ σκληρὸν βάζειν καὶ αἱμωδιᾶν, ἀπὸ τοῦ στόματος καὶ τοῦ ὄμφακος στομομφακίζειν καὶ στομφάζειν.

Ὑπόξυλα κυρίως ἀγάλματα ἀκρολίθινα ὄντα, ἅτινα ἔμφασιν παρέχει τοῖς πόρρωθεν ὁρῶσι λίθινα εἶναι. ἔστι δὲ πλὴν τῶν ἄνω ξύλινα.

Ἐτετύφεσαν: Κατὰ Ἴωνας καὶ Ἀττικοὺς, οὐχὶ κατὰ κανόνα, ἐτετύφεισαν γάρ.

Εἵατο: Ἐκάθητο· ἥμην ὁ παρατατικὸς ἦν· τὸ Ἰωνικὸν ἕατο. ποιητικῶς εἵατο. ἄλλως ἑῶ ἕημι, ἕεμαι ἧμαι, κάθημαι ἧνται· ἕαται Ἰωνικῶς, καὶ πλεονασμῷ εἵαται, ὡς μέμνηται μεμνέαται.

Εἰδείην: Ἀττικῶς ἀντὶ τοῦ γνοίην· ἔστιν εἰδὼς εἰδότος, καὶ τὸ εὐκτικὸν ὤφειλεν εἶναι εἴδοιμι, ἀλλ' οὐκ εἰδείην. ἐπεὶ καὶ τὰ ἔχοντα μετοχὴν εἰς σ ὀξύτονα διὰ τοῦ ντ κλινόμενα, εἰς ην ἔχουσι τὸ εὐκτικόν· οἷον τυφθεὶς τυφθείην. αὐτὸ δὲ οὐ κλίνεται διὰ τοῦ ντ· καὶ οὐκ ὤφειλεν εἶναι εἰδείην· ἀλλ' ὥσπερ τροπῇ τῆς μι καὶ τοῦ ο εἰς ε, εἰδείην. καὶ ἐπειδὴ εἰς ην καθαρόν ἐστι τὸ εὐκτικὸν, ἡνίκα ὦσι μετὰ περισπωμένου ἐνεστῶτος, οἷον, ποιῶ, ἐὰν ποιῶ. ἢ ἐὰν ἔχουσι τὴν μετοχὴν εἰς σ μετ' ὀξείας διὰ τοῦ ντ κλινομένην, δαρεὶς, δαρῶ· ἐν οἷς οὖν τοῦτο, οὔτε μετὰ περισπωμένου τόνου ἐστὶ τοῦ ἐνεστῶτος, οὔτε ἔχει τὴν μετοχὴν εἰς σ ὀξύτονον διὰ τοῦ ντ κλινομένην. εἰδὼς γὰρ εἰδότος, οὐκ ὤφειλε περισπᾶσθαι· ἀλλὰ περιεσπάσθη ὡς εἴρηται, ἐπειδὴ ἐγένετο τὸ εὐκτικὸν εἰς ην καθαρόν. Εἴδω τὸ κτίζω, εἴσω ὁ μέλλων.

LEXICON GUDIANUM.

Inter Etymologos Græcos, post illum qui Magni nomine insignitur, secundum locum, sed longo satis intervallo, obtinet Lexicon quod vulgo Gudianum appellatur. Vix autem ullus exstat liber qui pluribus aut fœdioribus deformatur vitiis; quibus qui mederi vellet, is profecto non parum proficeret e Codicibus Parisiensibus quos Gudiano cognatos esse agnovi. Hi autem numero sunt quatuor, in Catalogo sic numerati 2630, 2631, 2636, 2638[a]. Quamvis autem hi Codices ejusdem sint familiæ, neque tamen prorsus cum Gudiano libro congruunt, neque sibi invicem omni ex parte respondent. Fere autem similes sunt 2630 et 2631; ut et altera ex parte, magis inter se congruunt 2636 et 2638; quos et cum Etymologo Ultrajectino omnino convenire valde suspicor. De quibus omnibus ut studiosi viri melius judicium ferant, horum Codicum collationem cum Gudiano libro oculis subjicere institui in littera K, ut quæ cæteris plenior sit, et auctorum citationibus magis abundet.

Jam autem monendum erit Codicem 2630 cujus specimina prius edita sunt a Frid. Gul. Sturzio ad calcem Orionis Thebani p. 186. et a Bekkero in notis ad Etym. M. esse membranaceum, et sæculo decimo tertio vergente forsan scriptum satis eleganti manu, sed parum docti librarii. Initio autem est mutilus, et in litera K lacuna satis ampla laborat.

Codicis autem 2631 nullam apud doctos viros mentionem esse factam reperi; et quod in Catalogo notatum est, fere nullos in eo Auctores laudatos esse, plane falsum est. Est autem Codex membranaceus et alicubi rescriptus, latentibus subter novam scripturam, Epistolarum Sancti Pauli vestigiis; recentior autem manus, plane inelegans et rudis, decimi quarti sæculi esse videtur.

Desunt multa initio, incipit

Ἀσκίον: Παρὰ τὸ ὑ ∽ ας̎ καὶ ἀνώδυνον οὕτως Ἡρωδιανός. quæ ad Ἀσκληπιος referenda esse docet Lex. Gudian. p. 83.

Ἀσκαλαβώτης—ἢ ὅτι ἀσχάλλουσα ἡ Δημήτηρ ἐπεβόησεν ἡ μερ αὐτοῦ.

[a] His etiam addendum forsan Lexicon olim Sorbonnicum, quod nunc Regiæ Bibliothecæ adnumeratur in Supplemento num. 172. hoc obiter tantum mihi inspicere licuit, sed cum 2630 plerumque consentire credo; de hoc vero nos plenius docebit Gaisfordius noster, qui ejus apographum possidet.

Ἀφίγμεθα—ἀπὸ τοῦ ἥκω—καὶ ἀφίγμεθα τὸ πληθυντικόν. Εὐλογίου σχόλια (Cod. εὐλογία). ἀφίγμεθα ἀπὸ ποίου θέματος; καὶ λέγομεν ἀπὸ τοῦ εἴκω.

CODEX 2631.

Καβαλλάριος: Ἔφιππος οἱονεὶ ἵππων καθήμενος.

Καγχαλόωσι: Ῥῆμα ἐνεστῶτος, συζυγίας δευτέρας τῶν περισπωμένων, τρίτου προσώπου τῶν πληθυντικῶν· ἔστι γὰρ καγχαλόωμεν καγχαλῶμεν, τὸ τρίτον καγχαλόωσι, καγχαλῶσι, καὶ πλεονασμῷ τοῦ ο ποιητικῶς καγχαλόωσι. γίνεται δὲ ἐκ τοῦ χαίρω, ὁ μέλλων χαρῶ, καὶ κατὰ μετάθεσιν τοῦ ρ εἰς τὸ λ χαλῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν χαχαλῶ καὶ τροπῇ τοῦ χ εἰς κ, καὶ πλεονασμῷ τοῦ ν, καγχαλῶ, τραπέντος τοῦ ν εἰς γ διὰ τὴν ἐπιφορὰν τοῦ χ.

Κάγκελλον: Ἀντὶ τοῦ δικτυΐσκου, ὑποκοριστικοῦ[a]· ὅτι κάσσης Ῥωμαῖοι τὰ δίκτυα λέγουσι, καὶ ὑποκοριστικὸν[b] κάγκελλον, ἔνθεν καγκελλάριοι οἱ ἐν αὐτῷ ἑστηκότες, δύο δὲ οὗτοι μόνοι.

Κάβηροι: Ὁ Ἀλεξίων διὰ τοῦ ι, ὡσαύτως δὲ καὶ Φιλόξενος καὶ Ἡρωδιανὸς λέγει. τὴν παράδοσιν ἡ ει δίφθογγος ἔχει, καὶ ἴσως συνέδραμε τῷ μάγειρος, αἴγειρος, πέπειρος, ὄνειρος. Κάβειροι δέ εἰσι δαίμονες. περὶ τὴν ῥίαν οἰκήσαντες τὴν Σαμοθράκην, ὧν τι μεμνημένος τὰ μυστικὰ ἐν καιρῷ[c] ἀνάγκης εἰσακούονται, ὡς δηλοῖ Ἀριστοφάνης ἐν Εἰρήνῃ λέγων, ἀλλ᾽ εἴτις ὑμῶν ἐν Σαμοθράκῃ τυγχάνει μεμνημένος νῦν δέξασθαι.

Κάδμιλος λέγεται ὁ Ἑρμῆς παρὰ τοῖς Τυρσινοῖς διὰ τοῦ ι.

P. 291, 5. Σημαίνει τὸ καθέζομαι. τὸ παράγωγον ἕημι, ἕης, ἕησιν, τὸ δυϊκὸν ἕετον, ἕετον, τὸ πληθυντικὸν ἕεμεν, καὶ εἰς η γίνεται ἧμαι[d]· ὁ παρατατικὸς ἥμην, τὸ πληθυντικὸν ἥμεθα, τὸ δεύτερον ἧσθε καὶ καθῆσθε.

Καθῆσθαι, καθέζεσθαι: Ἔστιν ἧμαι, ἧσαι, ἧται, καὶ τὸ ἀπαρέμφατον ἧσθαι, καὶ μετὰ τῆς κατα προθέσεως καθῆσθαι.

[a] -κῶς C. 2630. [b] -κῶς 2630. [c] In marg. Ὅμηρος.
[d] τὸ παθητικὸν ἕεμαι, καὶ κράσει ἧμαι.

291, 17. Τὸ θέμα εἵημι τὸ καθέζομαι.

Καθῆστο : Ἐκάθησο, ἀπὸ τοῦ ἧσμαι Δωρικοῦ, ἥσμην, ἧσο, ἧστο, καὶ ἐν συνθέσει καθῆστο. οἱ δὲ τοιοῦτοι περισπώμενοι, καὶ ὑπερσυντελικοὶ, ἐὰν ἔχωσι δύο σύμφωνα, ἐν τῇ συνθέσει φυλάσσει τὸν τόνον, οἷον ἧργμαι, καθῆργμαι· ἧγμαι, συνῆγμαι. εἰ δὲ ἀπὸ τοῦ ἕημι ἦν ἧτο ἂν ἦν, καὶ ἀνεδίδου τὸν τόνον.

Κάθου : Ἔστιν ἕημι, τὸ παθητικὸν ἕεμαι, ἧμαι ὁ παρακείμενος, ἑέμην ἥμην, ἕεσο ἧσο, ἐξ οὗ καὶ τὸ

ἧσο παρ' αὐτὸν ἰοῦσα,

καὶ μετὰ τῆς κατα προθέσεως καθίσω, καὶ τροπῇ τοῦ ι εἰς ε κάθες, κατὰ ἀποβολὴν τοῦ σ, καὶ κράσει τοῦ εο εἰς τὴν ου δίφθογγον, κάθου.

Κάθου : Παρὰ τὸ ἕω τὸ καθέζομαι, ὁ μέλλων ἕσω, ὁ δεύτερος ἀόριστος ἕον, καὶ ὁ μέσος δεύτερος ἀόριστος ἑοίμην. ἕου, καὶ κράσει ο, καὶ τὸ προστακτικὸν ου καὶ μετὰ τῆς κατα προθέσεως κάθου, καὶ τὰ λοιπὰ δῆλα.

Καὶ : Σύνδεσμος συμπλεκτικὸς, ἰσοδυναμῶν τοῦ τε, διαφέρει δὲ ἀντὶ κατὰ τάξιν, ὁ μὲν γὰρ τὰ ὄπισθεν συμπλέκει, ὁ δὲ τὰ ἐπιφερόμενα. πᾶς σύνδεσμος συμπλεκτικὸς ὀξύνεται, πλὴν τοῦ ἤτοι, οὗτος γὰρ βαρύνεται, ἐπεὶ σύνθετος ἐστίν.

Καὶ κλησιάων : Εἰς τὸ ἀπὸ καὶ κλησιάων.

P. 291. v. Καινίσας : l. 2. Τοῦτο παρὰ τὸ καινὸν, ὃ σημαίνει τὸ καινούργιον.

Καισάρειος : Ὁ ἀπὸ τῆς Καισαρείας, τὸ δὲ κύριον ἐκ τοῦ Καίσαρ.

οὔνυτο

Καίνω : Εἰς τὸ σύνυτο καὶ κονίῃ.

291. v. Καίριον : l. 4. Σημαίνει δὲ καὶ τὸ ἐπιτήδειον. 9. Βωμὸς βωμαῖος καὶ ἐπιβώμιον.

Καιριώτερον : Σημαίνει τὸ ἀναγκαιότερον, ἐκ τοῦ καίριος, τοῦτο ἐκ τοῦ Κὴρ, ὃ σημαίνει τὴν θανατηφόρον μοῖραν· κλίνεται δὲ κὴρ, κηρὸς, καὶ συστολῇ καρὸς, Τίω δέμεινε[c] καρὸς ἔση[d]. κατὰ παραγωγὴν κάριος, καὶ πλεονασμῷ τοῦ ι καίριος. ὁ ἐπικίνδυνος ὤν.

294. C. 1. v. Καιρός : l. 2. Μεμετρημένον. 3. Πολλῶν καιρῶν περιοχή.

c Leg. δέ μιν. d Leg. αἴσῃ.

294. C. 2. Καίω: l. 1. Ἐλλείψει τοῦ σ.

Καθοσιωμένος: Ἐγγεγραμμένος, ἐγκείμενος.

294. C. 1. Κακκείοντες: Εἰς τὸ κιγχάνω. Ὅμηρος. κακοσσόμενος.

294. 10. C. 1. Κάκιστος, καὶ ἐκεῖθεν.

Κάκιστος: Ἐκ τοῦ κακίζειν.

294. 42. C. 1. Κακόσχολος, χρόνου διατιθέμενον, ἐπὶ τὸ χεῖρον.

Κακχασμένος: Ὁ ἐγκεχυμένος γέλως, τοῦτο γὰρ δεῖ προσυπακούεσθαι, Ὅμηρος, γέλω ἐκθανών.

294, 33. C. 2. Κάλαθος, κόφινος.

Κακία: Παρὰ τὸ κάτω κεκρατηκέναι.

294, 36. Καλαύροψ, καλαύροπος, καλαύροπα.

C. 2. 29. Καὶ κέραμος καλλάϊνος. αἰσχύνη[e] ἐν τῷ Ἀγαμέμνονι·

ἐν ποικίλλοις δὲ θνητὸν ὄντα κάλλεσιν.

295. C. 1. l. 9. Ἕκαστον τῷ θεῷ φίλον θυμάτων. 13. ὅταν δαίμονι τινὶ θύσαντες, ἐπιτύχωσι τινὸς σημείου ἐν τῷ ἥπατι τοῦ ἱερείου, καὶ τοῦτο καλοῦσι καλλιέρημα, ὅταν τῷ δαίμονι φιλικὸν τὸ θῦμα διὰ τῶν φαινομένων ἀ. ὀ. σημεῖον.

Καλλιέρημα: Ἐκ τοῦ κάλλος, καὶ τοῦ ῥῆν, ὃ σημαίνει τὸ πρόβατον, ὅπερ ὁ ποιητὴς περιφέρει. σημαίνει γὰρ τὸ ἱερεῖον, καὶ τὴν θυσίαν, ἐκ τοῦ καλλιερῶ, καλλιερώσω, καλλιέρωμα, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, καλλιέρημα, τὸ ρη η.

C. 2. 9. Ἄνα Δαρδωναῖε.

Κάλον εἰς τὸ κλῆρος. Καλὸς ἐκ τοῦ κάλλους, ἢ παρὰ τὸ καλεῖν.

295. C. 1. l. 23. Κάλον γὰρ τὸ ξύλον.

295, 32. Ἐκ Καλύδων. 33. Περὶ Καλύδνας. 34. Καλύδνας ὡς καλύβνας.

297, 1. Κάμνειν ὅ ἐστι κοπᾷν ἐν τῷ.

295, 21. Καὶ χορτώδη οἰκίαν, καλύβη, μεταβολῇ τοῦ φ εἰς β, καλύφη τίς οὖσα.

Κάλτε: Εἰς τὸ κελύφη.

296, 35. Δὲ τὸ διανοούμενον. 37. Δολόεσσα Καλυψώ. καὶ

αἰεὶ δ' ἐν μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
θέλγειν, ὅπως Ἰθάκης ἐπιλήσεται.

[e] Leg. Αἰσχύλος.

Καλωὸς: Εἰς τὸ Ἀθῷος.

Κάλχας: Ἐκ τοῦ καλχαίνω. Κανών· Τὰ εἰς ας ἔχοντα ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, διὰ τοῦ ντ κλίνεται, γίγας, γίγαντος, Κάλχας, Κάλχαντος, τροπῇ τοῦ δασέος εἰς ψιλὸν, ἔστι δὲ ὄνομα κύριον.

295, 29. Καλλωπάρηος. 32. Καλλωπάρηος. 38. Τὸ ρη η διατί; ὤφειλεν εἶναι διὰ τῆς ει διφθ., ἀλλὰ ποιητικῶς ἐγένετο, τροπῇ τοῦ ε εἰς η. 43. Ἢ παρὰ τὸ κάμνειν καλῶς. 44. Κάμηλος, χάμηλος. 45. Τινὲς κάμηρος, ἀπὸ τοῦ κάμπτειν. 46. Συγγένειαν (πρὸ om.) 47. Ἀπὸ τοῦ τοὺς μηρούς. 48. Οὕτως Ἡρακλείδης.

Καμήσιον: Ὁ ἐπὶ καμάτων χιτών.

Κάμηνος: Παρὰ τὸ ὑπομένειν καιομένη, ἢ παρὰ τὸ ὑπομίμνειν.

295, 49. Ἐργάζεσθαι (καὶ ἐπὶ τοῦ πονεῖν om.) 57. Τὸ καμεῖν τριχῶς. 58. Καὶ ἐπὶ τῶν κοπτομένων.

Καπτὴρ: Λουτὴρ, ξυστὴρ, παρὰ τὸ κέκαμπται, καὶ λέλουται, καὶ ἔξυσται.

297, 12. Συγκοπῇ γάπτω.

Καψάκις: Ὕδατος σταμνίον, ἔστι ιβ ξέστων τῷ μέτρῳ· τὸ δὲ τῷ Ἠλίᾳ ἑτοιμασθὲν τεσσάρων ξεστῶν.

297, 56. Ἢ παρὰ τὸ κάπος, ὅ ἐστι πνεῖν, ὡς ἐν τῷ

ἀπὸ δὲ ψυχὴν ἐκάπυσεν.

297, 45. Κανοῦν, τὸ ἐνέχον κείμενον, ὅ ἐστι κτεῖνον. λέγω δὴ τὴν μάχαιραν, κυρίως ἀπὸ τοῦ γενομένου ἐν ταῖς θυσίαις.

297, 22. Κάνδηλος. — Κατασκευαζόμενον, ὡς καὶ ἀβυτάκην ἔροικον βρῶμα.

Κανδιδεῖτοι: Τοὺς λευχήμονας Ῥωμαίοις ἔθος καλεῖν.

Κανόνια: Διὰ τὸ ἐνίζεσθαι ἀλλήλοις, ἤγουν ἓν εἶναι.

Καπηλεῖον: Διὰ τὸ καθεζομένους πίνειν.

298, 8. Ἔλεγον. ἔστι γὰρ καὶ παρὰ Σώφρονι ἐν ταῖς Ἀκεστρίαις· ὁ δὲ Αἰσχύλος. 10. προσφέρων.

Κάπηλος: Παρὰ τὸ τὸν πηλὸν κακίζειν ἐξ αὐτοῦ καὶ ἀνάπηλος καὶ ἄμπελος.

298, 12. Λέγουσιν οἱ Ἴωνες, τὸν πάλλοντα. 13. Τὰ διὰ τοῦ ηλος. 15. Ῥερυπωμένος. Καὶ εἰς τὸ κύπελλον.

298, 34. Τοῦτο παρὰ τὸ καίω, τοῦτο παρὰ τὸ κάπτω τὸ ἐκπνέω.

Κάπος: Εἰς τὸ ἡμῖν.

Καπὸς: Εἰς τὸ καπνός.

Καππάδοξ: Εἰς τὸ λάας ἐθνικόν.

298, 30. Δράξονται. — Ἀπηνεῖς δηρατότις· ὁρᾷ φαῦλοι ἐπὶ φαυλοτέρους.

298. 16. Καππάτιον. 17. Ἐκ τοῦ κατωτάτου τῆς γλώττης ἔχουσι τὴν προφοράν.

Κάρα: Ἡ κεφαλὴ παρὰ τὸ κέρας, ὃ σημαίνει τὴν τρίχα, ἡ οὖσα τετριχωμένη· τοῦτο δὲ παρὰ τὸ κείρω τὸ κόπτω. καὶ εἰς τὸ καραδοκῶ, καὶ ἀποκαραδοκία.

298, 49. βαίνειν. ἐξ αὐτοῦ καὶ τὸ ἐπὶ πλοίου λεγόμενον.

Καραδοκεῖν: Τὸ τῇ κεφαλῇ προβλέπειν[f] καὶ ἐλπίζειν[g], ἐκδεχόμενον μήποτε τὸ κέαρ ἔγκειται. τὸ μὲν γὰρ καρηβαρεῖν, ἀντὶ τοῦ καταβαρεῖσθαι[h] τὴν κεφαλὴν, ἢ παρὰ τὸ βάλλειν αὐτὴν ἀπὸ μέθης. Τιμαχίδης δὲ ἐν τῷ τοῦ κόλεικος[i] ὑπομνήματι λέγει, ὅτι σύνθετόν ἐστι τὸ κάτω κάρα ἐπιφέρει[k] τὸ καραδοκεῖν· παρατίθεται δὲ ἐν ἄλλαις Δίφιλον λέγοντα ἐν Ἐμπόρῳ,

τὴν νύκτα ἐκείνην δι' ἐκείνην διεκαρανόμηνεν[l].

Καραίνω: Εἰς τὸ κρήηνον.

299, 9. Καρδαμύττειν. — Τὰ βλέφαρα. 13. Καρδία, ὡς ἐκ τοῦ καραδ. 15. Καρδία, τινὲς παρά. — ἔστι γὰρ ἡγ.

Κασσάλβας: Πόρνη, ἀπὸ τοῦ καλεῖν καὶ σοβεῖν.

299, 19. Ἡ κεφαλή.

299, 24. Ἐστὶ τὸ κάρη, καὶ οὐχ ὑγιὲς δῆλον. — λήγοντα οὐδέτερα οὐδέποτε.

Κάρη: Ὄνομα οὐδέτερον, αἰτιατικὴ τῶν πληθυντικῶν, ἡ εὐθεία τῶν ἑνικῶν τὸ κάρα. τὸ ρα μακρὸν, ὥσπερ τὸ ἡμέρα. ἢ ὅτι τὰ εἰς α λήγοντα οὐδέτερα συστέλλουσι τὸ α, βῆμα, δῶμα· πλὴν τοῦ κάρα. γίνεται παρὰ τὸ κάρηνον, τὸ πληθυντικὸν κάρηνα, καὶ κατὰ

[f] προσβλέπειν 2636. [g] Om. 2636. [h] ἤτοι καρηβαρεῖσθαι 2636. [i] Sic. An κόλλικος aut κύλικος? omittit operis tit. Etym. M. in v. Cf. Anecd. Oxon. II. p. 455. not. [k] ἐπιφέρειν 2636. [l] Cf. Anecd. Oxon. loc. cit.

συγκοπὴν κάρη. ἰστέον δὲ ὅτι τὸ κάρη, ὡς λέγει ὁ τεχνικὸς τὸ κάρα λείπω, ἄλειφα, ἀποκοπή ἐστιν, ἀλλ' ὁ ποιητὴς τὸ κάρη χρᾶται τὸ ἐξονεῶν ἐπικάρες[1], εἰπών. λέγεται εἶναι ἐκ τοῦ κάρα, ἢ ἀπὸ τοῦ κάρη· εἶπε γὰρ ὅτι ὁ ποιητὴς τὸ κάρη χρᾶται. τὸ δὲ κάρη γίνεται ἀπὸ τοῦ κέρας, ὃ σημαίνει τὴν τρίχα, καὶ τροπῇ τοῦ α εἰς η Ἰωνικῶς, γίνεται κάρη, ἢ παρὰ τὸ κείρω, ἔκαρον.

299, 29. γίνεται δὲ παρά.

Καρὶς: Ὅτι μεγαλοκέφαλος, καὶ τὸν κάραβον οὐχ ὡς ἡμεῖς ἀποδεδώκαμεν, ἀλλ' ἀπὸ τῆς περὶ τὸ κάρα ῥαιβότητος, ὅ ἐστι κυρτότητος.

Καρὶς, ἴδος: Παρὰ τὸ σκαίρω τὸ πηδῶ, σκάρις καὶ κάρις.

Καρκίνος: Παρὰ τὸ τῇ κάρᾳ κινεῖσθαι, καὶ εἰς τὸ καρπαλίμως.

Καρπαλίμων: Παρὰ τὸ ἁρπάζω, ἁρπάσω, ἁρπαγμὸς, καὶ πλεονασμῷ τοῦ κ, καὶ προσθέσει τῆς αλ συλλαβῆς, καρπαλίμων.

Καρπαλίμως: Ταχέως, τὸ λι ι, ἀπὸ τοῦ ὀνόματος, ἔστι γὰρ καρπάλιμος· κανὼν, τὰ διὰ τοῦ ιμος παράγωγα ἀπὸ δύο συλλαβῶν διὰ τοῦ ι γράφεται, πλὴν τῶν παρὰ τὸ σχῆμα καὶ φήμη συγκειμένων, διὰ τὸ εὔσχημος καὶ εὔφημος. γίνεται δὲ ἐκ τοῦ κραιπνὸς κραίπνιμος, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, καὶ ἐκβολῇ τοῦ ι, καὶ μεταθέσει τοῦ ρ, καρπάλιμος, ἡ γενικὴ τῶν καρπαλίμων, καὶ καρπαλίμως ἐπίρρημα. καὶ ποσαχῶς προσφέρονται τὰ τῆς μεσότητος ἐπιρρήματα; πενταχῶς. κατὰ ἔπαινον, ὡς τὸ καλῶς, ἀγαθῶς· κατὰ ψόγον, ὡς τὸ πονηρῶς, ἀθέως· κατὰ ἐπιτήδευμα, ὡς τὸ γραμματικῶς, φιλοσοφικῶς· κατὰ μετουσίαν, ὡς τὸ σαρκίνως, ἀνθρωπίνως· κατὰ ἐναλλαγὴν, ὡς τὸ ἄλλως, οὕτως.

301, 3. Κάρταλον. — πλακτόν. κατάλληλον ὄνομα, παρὰ τὸ ἀλλήλοις ἐοικέναι.

Καρπὸς: Ἀπὸ τοῦ κείρω τοῦ σημαίνοντος τὸ κόπτω, γίνεται ὁ παρακείμενος κέκαρκα, ὁ παθητικὸς κέκαρμαι, καὶ ἐξ αὐτοῦ καρπὸς ὁ κοπτόμενος καὶ προσφερόμενος εἰς βρῶσιν.

301, 30. Καρπὸς ὁ κατάξηρος.

304, 18. Κάτω τετεῦχθαι.

Κάρτον: Παρὰ τὸ κάρον, ἡ κεφαλὴ, τὸ οἷον ὅμοιον κεφαλῇ.

[1] Leg. ἐξ ὄρεων ἐπὶ καρ Il. Π. 392.

302, 1. Ἡ κίνησις (γίνεται om.)

302, 3. Ἐκ τοῦ κάσινος, ὃ. 28. Ἀδελφός. εἰς τὸ κόσμος.

Κάσοτρος[m]: Ἡ λιχνευομένη γυνή.

Καστανέων: Καθανίων, διὰ τὴν ἐνοῦσαν ἐν αὐτοῖς πολλὴν ψυχρότητα.

303, 23. Καὶ τοῦ αἰγὶς ὀνόματος. 27. Ζεὺς ἐξ αἰγός. 28. Ἐνεδέδυτο καὶ εἰς τό.

Καταγνῦναι: Κατάσσειν, κατακλᾷν, συντρίβειν, ἀπὸ τοῦ ἄγνυμι, τοῦτο παρὰ τὸ ἀγνύω, τοῦτο παρὰ τὸ ἄγω, ὃ σημαίνει τὸ κλῶ. ἔστι δὲ ἄγω καὶ ἀγνῶ, καὶ ἀγνύω καὶ ἄγνυμι.

Καταδουλοῦ: Σεαυτὸν, καταδουλοῦσθαι.

Καταδουλεύω: Εἰς τὸ κατήλευσε.

Καταπροέσθαι: Καταπροδοῦναι, ἀπὸ τοῦ ἵημι ὁ παθητικὸς παρακαίμενος ἔσμαι, ὁ ἀόριστος ἔθην, ὁ μέσος ἔμην, καὶ τὸ ἀπαρέμφατον ἔσθαι καὶ προέσθαι.

Καταπολεμῶν: Τὸ καταπολεμεῖν, πρὸς αἰτιατικὴν συντάσσεται, τὸ δὲ πολεμεῖν, πρὸς δοτικήν.

306, 6. Ἔστι τὸ ῥῆμα ἐρίπω.

307, 1. Ὡς ὅτε τίς δρῦν ἤριπεν.

307, 3. Ἐρίπων. — Καταρρίπων, καὶ καταβάλλω. οὗ. 6. Καὶ κατὰ Ἀττικόν.

302, 5. Τὸ φθείρω, ῥάκτης καί.

303, 49. Τετρυχομένος. — Φέρεται δὲ τὸ

303, 7. Καταρτίζω, εἰς τὸ ἀρτύνω.

Κατασπιλάζοντες: Κατακρύπτοντες, ἀπὸ μεταφορᾶς τῶν ὑφάλων πετρῶν, αἵτινες ὑπὸ τοῦ ὕδατος κατακαλύπτονται.

306, 53. Οἱ γὰρ πραϋνόμενοι διακεχυμένοι.

Κατεδίκασεν: Ὁ διαιτητὴς, κατεδικάσθη ὁ καταδικασθεὶς, κατεδικάσατο ὁ ἀντίδικος.

306, 57. Ὁ μέλλων καταλεύσω, ὁ ἀόριστος κατέλευσα.

306, 33. Πέπωκα, πέποσμαι.

307, 16. Ἀπὸ τοῦ στύζω, ἢ στυγῶ. 18. ἀηδῆ. 19. Ἀπὸ τῶν ψυχρῶν. 20. Ἀπὸ τῆς στυγὸς. 22. Παρ᾽ αὐτῶν εἴρηται. — Τὴν δὲ τέρψιν θαλπρὴν. 24. Ἀπὸ τοῦ κρύναι.

[m] Fors. κασσωρίς.

Κατήφεια: Ἡ στυγνότης, τὸ φει δίφθογγος, παρὰ γὰρ τὸ φῶ, οὗ παράγωγον φάω, καὶ μετὰ τῆς κατὰ προθέσεως, καταφαὴς καὶ κατηφής.

306, 27. Κατοίκησις καὶ κατώκησις. 29. Κατώκησις δέ.

308, 1. Ἐριδήσασθαι.

308, 16. Ὡς ἀμφαδὸν ἀμφάδιος, ἐκταδὸν ἐκτάδιος.

Καΰστριος: Τὸ στρι ὡς κάπριος, ἔστι δὲ ἀπὸ Καΰστρου, Καΰστρος, ἔστι δὲ υἱὸς Πενθεσιλείας τῆς Ἀμαζόνος, ὃς ἐν Ἀσκάλῳ ἔγημε τὴν Δερκεστὼ, καὶ ἐξ αὐτῆς ἔσχε τὴν Σεμίραμιν, ἥτις καὶ τὰ Βαβυλώνια τείχη κατεσκεύασε. λοιπὸν δὲ Καΰστριος, καὶ γράφεται διὰ τοῦ ι, ἢ ὅτι τὰ εἰς ος διὰ τοῦ ιος ἐπὶ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα. Κάϋστρος λέγεται καὶ ποταμὸς Ἀσίας.

308, 60. Ὅτι ἐμμένει.

Κατήγορος: Δηλάτωρ.

Καύηξ: Ὁ λάρος διὰ τὸ ἀδηφάγον, καύη γὰρ ἡ τροφή· Εὐφορίων

s
γ[m] οὐδεὶς αἰθυαίου δὲ κρυεροὶ καύηκες,

ἀπὸ τοῦ καυ καυ λέγειν.

Καχέσπερος: Ἐκ τοῦ καχεσπέρου, τοῦτο ἐκ τοῦ κακὸς καὶ τοῦ ἑσπέρα, ὃ σημαίνει τὸ σκότος, γίνεται κακοέσπερος, καὶ ἐπεὶ ψιλὰ ψιλῶν προηγοῦνται, ἐτράπη τὸ κ εἰς χ, καὶ συγκοπῇ τοῦ ο, καχέσπερος· σημαίνει δὲ τὴν κακίστην καὶ σκοτεινὴν νύκτα τῆς ἁμαρτίας.

Κατνάκης: Τινὲς ὁ ἀγὼν λέγεται.

Κεδάζω: Σκεδάζω, ἐκ τοῦ σκεδῶ· λέγεται γὰρ καὶ μετὰ τοῦ σ, καὶ χωρὶς τοῦ σ, γράφεται δὲ διὰ τοῦ ἐψιλοῦ. ἔδω τὸ ἐσθίω, μέδω, ταῦτα γὰρ διφορεῖται· εἰσὶ γὰρ βαρύτονα καὶ περισπώμενα, ὡς παρὰ τῷ ποιητῇ, "Δωδώνης μεδέων." ἔστι δὲ καὶ βαρύτονον ἔδω, καὶ περισπώμενον ἐδῶ, ἐξ οὗ καὶ ῥηματικὸν ὄνομα. ἔδεσμα. τὸ γ ἐδέσται, ἔδεστον, καὶ ἀνένδεστον τὸ μὴ ἐσθιόμενον. σεσημείωται τὸ αἰδοῦμαι γραφόμενον διὰ τῆς αι διφθόγγου. περισπώμενον μεδῶ, πεδῶ, σκεδῶ, καὶ εἰς τὸ διασκεδάζω.

[m] Leg. τῆς cum Etym. M. p. 493, 48.

309, 14. Σεσημείωται δὲ διά.

Κέδρος: Παρὰ τὸ καέζεσθαι ῥαδίως, ἤγουν σχίζεσθαι, ἢ παρὰ τὸ ἔχεσθαι ῥαδίως τῶν ῥιζῶν αὐτῆς.

Κεῖμαι: Εἰμὶ, καὶ πόθεν γίνεται; ἔστιν ὁ ἐνεστὼς κέω, καὶ τὸ παράγωγον κέημι, καὶ τὸ παθητικὸν κέεμαι, καὶ συναιρέσει τῶν δύο εε εἰς τὴν ει δίφθογγον κεῖμαι.

Κεαρὰ: Ὅτι τὸ κέαρ ἔχει, ἐπεὶ ὅτι ἕν ἐστι τῶν ἡγεμονικῶν ἡ κεφαλή.

310, 33. Ὁ μὲν Ἡρωδιανὸς λέγει, καὶ ἀναγινώσκει.

310, 34. Καὶ εἰς τὸ ως δασεῖαν. 38. Καθ' οὗ μὲν λέγεται.

311, 2. Τὸ α φύσει μακρόν. 4. Λέχω, λεχάζω.

311, 5. Πλὴν τοῦ κράζω, τὰ δὲ ὑπὲρ δύο συλλαβὰς συστέλλει τὸ α, οἷον ἀνιάζω, μιμνάζω, ὑποπιάζω, χωρὶς τῶν ἐχόντων.

311, 9. Τὸ μὲν γὰρ ὑποπιέζω ἐστὶ κοινὸν, τὸ δὲ ὑποπιάζω Δωρικόν. 19. Καὶ ἡ μετοχή.

312, 24. Κεκλημένος, κεκαλυμμένος. καὶ τὸ στύλη κεκλημένος, καὶ κερία ἔγχος ἐκέκλιτο, γίνεται ἐκ τοῦ κλείω.

Κεκλήσηι: Οἱ μὲν λέγουσι τὸ κε σύνδεσμον παραπληρωματικὸν, οἱ δὲ ῥῆμα. καὶ εἰ μὲν ἐστὶ ῥῆμα μετ' ὀλίγον ἐστὶ καὶ μέλλων. εἰς τὸ κλύτε.

Κέκμηκα: Ἐκοπίασα, παρὰ τὸ καμῶ καμήσω κεκάμηκα, καὶ ἐν συγκοπῇ κέκμηκα, ἡ μετοχὴ ὁ κεκμηκώς. τὸ μη η, διατί; ἡ γὰρ πρώτη τῶν περισπωμένων, ἐπὶ τοῦ μέλλοντος θέλει ἔχειν τὸ η ἢ τὸ ε, νοήσω, τελέσω, κυβερνῶ, κυβερνήσω, καμῶ, καμήσω, καὶ ἐξ αὐτοῦ κεκμηκώς.

313, 36. Κέλεαί με, κέλευσόν με.

313, 40. Οἷον τύπτεται, τύπτεαι.

Κεκοιστρῶσθαι: Γίνεται ἐκ τοῦ κινῶ καὶ τοῦ σύρω, καὶ ἐν πλεονασμῷ τοῦ ι κοισυρῷ [αι] τὸ ἐνδεδεῖσθε.

313, 47. Καθόλου τὰ ὑπὲρ δύο συλλαβάς.

Κελητίζω: Τὸ μονοσελῶ.

313, 60. Κέλλης, ὁ δρομικὸς ἵππος.

Κέλευθος: Σημαίνει δύο, τὴν διὰ γῆς καὶ θαλάσσης ὁδόν. καὶ εἰς τὸ ἐξώκειλον.

313, 6. Καὶ ἐπάκτρις εἶδος πλοίου λῃστρικοῦ καὶ ἐπακτροκέλλης.

Κενὸν: Τὸ μάταιον καὶ κοῦφον, ἀφ' οὗ καὶ τὸ κενῶ κενώσω.

Κεμὰς: Ὁ κοιμώμενος ἔλαφος ἐν θηλαίῳ, καὶ μήπω δυνάμενος ἐξιέναι διὰ τὴν σμικρότητα.

Κενεμβατῶ: Παρὰ τὸ κενῶς ἐπιβαίνειν.

Κενὸς: Εἰς τὸ ξένος.

315, 8. Διαφανὲς καὶ λαμπρόν.

Κενεὼν: Ὁ κατὰ τὸν λαγῶνα τόπος κενὸς ὀστέων, καὶ λαπάρα διὰ τοῦτο, λαπάξαι γὰρ τὸ κενῶσαι. Ὅμηρος,

μίαν πόλιν ἐξαλαπάξας,

ἀντὶ τοῦ ἐκκενώσας τῶν πολιτῶν, ἢ μεταστήσας. οὐ γὰρ πορθῆσαι λέγει τὴν Ἴδην. εἴρηται δὲ παρὰ τὸν λάπαθον βοτάνην, κενωτικὴ γαστρὸς οὖσα.

Κέντρον: Παρὰ τὸ κέντειν μέσον. κέντρον δέ ἐστι παντὸς κύκλου τὸ μεσότατον, περὶ αὐτὴν δὲ μέσην οὖσαν πάντες οἱ κύκλοι γίνονται.

Κελτικὴ: Ἡ ἀπὸ τοῦ Κέλτου υἱοῦ Ἡρακλέους καὶ Στερόπης τῆς Ἄτλαντος θυγατρός.

Κένω: Εἰς τὸ ὄκνος καὶ κονιορτός.

Κέπφος: Ἀπὸ τοῦ ὀρνέου, ὅ ἐστι κοῦφον καὶ ἐπιπλέον τοῖς κύμασι.

315, 2. Ὁ πίθος· κεράμιον δὲ ὀστράκινον πιθάριον.

Κεραμεὺς: Ὄνομα κύριον, ἀφ' οὗ Κεραμικὸς δῆμος ἐν Ἀθηναίοις.

315, 22. Οἷον κράμφηλος. 24. Ἀλλὰ παντὸς ἀκροδρύου.

Κεραῖα: Ὁ ὄρδινος.

315, 33. Ἀντὶ τοῦ κεράσας. 34. Ἐξ αὐτοῦ κερῶ κεράσω.

315, 36. Πάντα δὲ τὰ τοιαῦτα διὰ τῶν δύο νν γράφεται.

316, 3. (Καὶ om.) ὤφειλε.

316, 7. Ἀγλαὸς ὁ λαμπρὸς, ταναὸς ὁ μακρός.

315, 46. Καὶ κυρίαι στενά.

Κέρας: Σημαίνει πολλὰ, κέρα, μέρος πολέμου, καὶ τὸ κέρας τοῦ ζώου, καὶ τὴν βασιλείαν καὶ τὴν δόξαν.

315, 60. Σαίνειν, ἤγουν σείεσθαι.

Κέρας: Σημαίνει γ, παρὰ τὸ κέρας, ὃ σημαίνει τὴν κεφαλὴν,

τὸ κέρατον ὡς τὸ, "τοῦ κέρα ἐκ κεφαλῆς," καὶ τὴν τρίχα, ὡς τὸ "τοξότα λωβητὴρ κεραγλαέ." καὶ τὴν δόξαν, ὡς τὸ "ὑψώσει "κέρας χρηστῶν αὐτοῦ."

Κεραία: Ἐκ τοῦ κέρας γίνεται κεραία.

316, 25. Παρὰ τὸ κάρβαρος ἤτοι παρὰ—

316, 27. Μυθεύεται κύων Κέρβερος.

Κεραυνὸς: Πῦρ ἄνωθεν πεμπόμενον καὶ καῖον τὴν γῆν.

316, 17. Κερδαλέον, τοῦτο παρὰ τὸ κερδῶ κερδαίνω, τοῦτο παρὰ τὸ κέαρ καὶ τὸ ἰαίνειν, ἤγουν ὁ τὴν ψυχὴν ἰαίνων, τουτέστιν εὐφραίνων. ὁ κανὼν, Τὰ διὰ τοῦ αλεος ἅπαντα παροξύνεται, οἷον γηραλέος, διψαλέος, πλὴν τοῦ δαιδαλέος.

Κέρδιον: Βέλτιον, ὠφειλικώτερον, ὄνομα γένους οὐδετέρου. Τὸ ἀρσενικὸν κερδίων, τρίτον τύπον οὐκ ἔχει. τὸ δὲ οὐδέτερον ὁμοφωνεῖ τῇ κλητικῇ τοῦ ἀρσενικοῦ. διατὶ παροξύνεται; ἐπειδὴ τὰ συγκριτικὰ ἅπαντα προπαροξύνεται, οἷον γοργότερος, ἐνδοξότερος, ἐπεὶ οὖν τὸ καλλίων, καὶ κερδίων, διὰ τὸ ἐπὶ τέλους μακρὰν, οὐ μὴ δύνανται προπαροξυνθῆναι διὰ τὸν κανόνα τὸν λέγοντα, μακρᾶς οὔσης ἐπὶ τέλους οὐδετέρου, τὸν μὲν χρεωστημένον τόνον τῇ εὐθείᾳ ἀνεδέξατο ἐν τῇ κλητικῇ.

Κερδαλέος: Ποικίλος, πανοῦργος, κερδαλέη γὰρ ἀλώπηξ εἴρηται παρὰ τοῖς Ἀττικοῖς.

Κέρδος: Παρὰ τὸ χεὶρ χειρὸς χέρδος καὶ κέρδος, κυρίως τὸ διὰ τῶν χειρῶν διδόμενον ἐπ' ὠφελείᾳ. ἐτυμολογεῖται δὲ παρὰ τὸ κέαρον καὶ τὸ ἅδω τὸ ἀρέσκω, τὸ τὴν ψυχὴν εὐφραῖνον, ἢ παρὰ το κέαρ καὶ τὸ ἡδύ.

Κέρδος: Ἐπίκαιρος δόσις.

Κερκὶς: Τὸ κερκίδιον, παρὰ τὸ κέρκω τὸ πλήττω, κέρκις, καὶ ὑπερβιβασμῷ κερκὶς, καὶ τοῦ λέοντος ἡ οὐρὰ κέρκος λέγεται, πληκτικὴ γάρ ἐστι, ἐκ τοῦ κέρκω, κερκὶς, καὶ εἰς τὸ κίρκη.

316, 56. Ὡσαύτως καὶ κερκογνώμονες ἐκκλήθησαν.

316, 57. Ἡ τοῦ λέοντος οὐρά. —Ἦχον ἀποτελεῖν.

Κέρρω: Εἰς τὸ εἰραφιώτης.

Κέρσιος: Καὶ κερσῶ εἰς τὸ ἐγκάρσιον.

Κερτομέοισι: Χλευαστικοῖς, τοῖς τὸ κέαρ, τουτέστι τὴν ψυχὴν, τέμνουσι καὶ λυποῦσι.

317. 22. Ὡσεὶ ψυχοτόμος.

Κεραμὶς: Διὰ τοῦ ι· τὰ γὰρ εἰς ις θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν κοινολεκτούμενα, ἀποστρέφονται τὴν διὰ τῆς ει διφθόγγου γραφὴν, οἷον ἀσπὶς, ῥανὶς, βολὶς, κρηπὶς, κεραμίς.

Κερῶ: Εἰς τὸ ἀκραιφνὲς καὶ ἄκριτον.

Κέρως: Εἰς τὸ μονόκερως.

Κεστὸς: Ποικίλον ἔνδυμα Ἀφροδίτης, καταχρηστικῶς δὲ καὶ πᾶν γυναικῶν φαντασιῶδες ἔνδυμα.

317, 32. Αἰολικῶς, ἐξ οὗ καὶ τὸ κένσαι ὁμοκλήσασκε, ῥηματικὸν ὄνομα. ἢ παρὰ τὸ κέντω ῥῆμα, ὁ παρακείμενος κέκεκα, ὁ παθητικὸς κέκεμαι, τὸ γ κέκεσται, καὶ ἐξ αὐτοῦ κεστός.

βαφαῖς
317, 37. Διαραφαῖς καὶ κατὰ μετάθεσιν.

τὸ θελημὸς σημαίνει ἀντὶ τοῦ ἐθέλων. Διονύσιος δὲ ὁ Ὀλβιανὸς[b] ἱστορεῖ κιόνου[c] λέγεσθαι Ἀχιλλέως δρόμους. κάλπη καὶ κάλπις. κάλπη μὲν οὖν λέγεται ἡ ὑδρία, Κάλπις δὲ πόλις Βιθυνίας.

295, 20. Καλύβη οἱονεὶ καλύφη τις οὖσα, παρὰ τὸ καλύπτω, κατὰ μετάθεσιν τοῦ π εἰς φ.

296, 33. Περὶ Καλύδνας. 34. Καλύδνας ἢ καλύβας.

296, 35. Τὸ διανοούμενον. 42. Καλχηδών. 43. Ὦρος (ὁ μαίων om.) Κάλωα ἡ διδασκαλία, τοῦτο εἴρηται εἰς τὸ κάλας. 46. Εἶναι καλίδιον.

Καμμονίην: Καλῶς τῇ λέξει κέχρηται. Καμμονία γάρ ἐστιν ἡ γινομένη νίκη, τουτέστιν ἡ μετακαταμονῆς νίκη ἐπὶ πάλης καὶ πυγμῆς, καὶ τῶν ὁμοιοτρόπων ἀγωνισμάτων, ἐπὶ δὲ ἵππων οὐκ ἂν χρήζοι τὸ λεξίδιον.

296, 55. Τὸ ὄρυγμα.

297, 4. Παρὰ τὸ ὑπομένειν καιομένην.

297, 8. Πρὸς τὴν Κύμην. 18. Μέρη ἀποτείνει. 22. Κανδύκην, βρώματά ἐστι διὰ γάλακτος. 23. Θροικῶν βρῶμα. 25. Δακνόμενος.

Κανάχιζεν, ἦχει. καναχὴ ἡ βοή, ἀπὸ τοῦ κενὸν ἀχεῖν.

297, 28. Ἀκρωτήριον.

Κάνναθρον: Δίδυμος τὴν πείρινθον ἐκ ῥίπων πλεκομένην λέγεσθαι, ῥίσπινθον, καὶ κατὰ ἀντίθεσιν πείρινθον· τοῦτο δ' ὑπὸ Ξενοφῶντος καλεῖσθαι κάνναθρον, ἐπεὶ καὶ κάνη ἡ ψίαθος. οὕτως Ἐπαφρόδιτος, Ὦρος.

297, 41. Οὕτω γάρ. 50. Ἐν ὑπομνήματι ἄλγε' ἔχειν Ἡρακλείδας. 51. Ὅτι ὑπὸ αἱμορρίδος. — Οἷον ἧμε ἀποψύχοντα.

Καναχηδὰ:

χείμαρροι καναχηδὰ κυλινδούμενοι φορέοντο.

Κανὼν: Εἴρηται κανὼν ἀπὸ τοῦ τεκτονικοῦ κανόνος· ὥσπερ γὰρ ὁ τέκτων κέχρηται κανόνι διὰ τὸ ἐπανορθῶσαι τὸ ἀποτελούμενον, τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς κεχρήμεθα τῷ κανόνι διὰ τὸ ἐπανορθῶσαι τὰς λέξεις.

[a] Apoll. Argon. II. 658. [b] Male Ἀλβιανὸς Schol. Apollon. ad loc.
[c] Leg. ἠϊόνας.

297, 59. Ἢ παρὰ τὸ ἐσκάφθαι καὶ κοιλάνθαι.

298, 10. Προσφέρονται χρήματα. 23. Παρὰ τοῖς ποσὶν εἶχον. 32. Ἡ τάφρος. 24. Ὅτι ἡ καλή. 25. Οὐχ οὕτως ἐν κρημνοῖς.

Καπύη: Πόλις ἣν Ῥῶμος καὶ Ῥωμύλος υἱοὶ Αἰνείου ἔκτισαν, ὥς φησι Κεφάλων ὁ Γεργήθιος, οὕτως Ὦρος.

298, 4. Τὸ δὲ κάρα, λείπα, ἀλεῖφα, ἀποκοπὰς πέπονθεν. ἀπὸ τοῦ κάρανον, λιπαρὸν, ἀλειφατὸν δὲ κάρα, ἐτυμολογεῖται παρὰ τὸ ἄκρα.

298, 59. Διαγραφέντα.

299, 4. Ἐν δὲ γραικίταις πέπλοις.

299, 7. ὃν κυμβοῖο τραπεζήεντος ὀλέσθαι
καρδόπῳ ἐντρίψας, πιέειν δ' ὀφίεσσιν ἀρωγὴν

οἷον κυμβοῖο περιφεροῦς.

Καρήατος: Ἀπὸ τῆς κάρης κάρη. ἔνθα τὸ "καδδὲ καρήατος "οὔλαις ἧκε κόμαις." εἰ μὴ ἄρα ἀπὸ τῆς καρήαρ εὐθείας πέπλα. καρήαρ μὲν γὰρ οὐχ οἷόν τέ ἐστι παραλαμβάνειν τὴν εὐθεῖαν. ἐχρῆν δὲ παραλαμβάνειν παρὰ Ἀντιμάχου εὐθεῖαν, οἷον

οἰκέτην θέσκε καρήαρ,

ἀλλ' οὐχὶ κάρηας· οὐδὲν γὰρ εἰς ας λῆγον ὑπὲρ δύο συλλαβὰς οὐδέτερόν ἐστιν, οἷον δέρας, κέρας, σκέπας· τὸ γὰρ καλλικρέας καὶ βουκρέας· ἔχομεν γὰρ ὑπὲρ δύο συλλαβὰς, ὄνειαρ, δέλεαρ, κάρηαρ, καρήατος.

Κάρη: Πρόδηλον, κάρηνον, πληθυντικῶν αἰτιατικὴ κάρηνα, καὶ ἀποκοπῇ κάρη· οὐδὲν γὰρ εἰς η λῆγον οὐδέτερον ἑνικόν ἐστιν, ἀλλ' ἢ δυϊκὸν πέπονθεν ἢ πληθυντικὸν, οἷον βέλη, τείχη. τὸ κάρη ἄρα, εἰ μὲν ἑνικόν ἐστιν, οὐκ ὤφειλε λήγειν εἰς η, ὥστε πέπονθεν ἄρα ἀποκοπὴν, καὶ ἔστιν αἰτιατικῆς τῶν πληθυντικῶν.

299, 32. Ἀκροπόλεις. 33. Κατέλυσε κάρηνα. σημαίνει δὲ τὴν κεφαλὴν, τῇ ῥα μάλιστα ἂν (sic) πίπτε κάρηνα.

299, 34. Κάρητος. τῶν εἰς αρ οὐδετέρων, τὰ μὲν ὑπὲρ δύο συλλαβάς. 38. Κάρητος, καὶ κρατὸς, τῶν δέ. 44. Παρὰ τὸ θείνειν ἤγουν τύπτειν. 57. Μῶμον σημαίνει τὸν μέγαν om.

300, 12. Τόπος τῆς Ἀττικῆς. 16. Τὴν τῶν ἁπλῶν. 17. Οἷον ἀκτίν. 34. Συστολὴν ποιητικήν.

Κάρος: Σκότωσις, παρὰ τὸ κάρα βλάπτειν, ὡς παρὰ Ἀπολλωνίῳ ἐν Ἀργοναυτικοῖς,

ὁδοῦ ἐπαυλείοιο, κάρος δέ μιν ἀμφεκάλυψεν.

300, 39. Τὸ κάπω τὸ πνέω.

300, 41. Εἶτα μετὰ προσθέσεως τοῦ ρ.

300, 45. Καρπὸς κυρίως ὁ ἀπροσμάχητος στάχυς, παρὰ τὸ κάρφος τὸ σημαῖνον τὸ ξηρὸν, καρφὸς καὶ καρπὸς, ἔνθεν καὶ ὁ τῆς χειρὸς ξηρὸς τόπος καὶ ἄσαρκος, καρπὸς λέγεται, παρὰ τὸ κάρφος. Ὧρος.

301, 8. Βαθύων. 15. Γλύσσονα σῦκα.

301, 17. Μείζονα τῶν εἰσειδέειν.

301, 20. Ἤσειν, ἢ τοσοῦτον om. 38. Εἰς πολυτελεῖς.

301, 40. Ἐν τῇ κωμικῇ λέξει οὕτω.

301, 42. Οἶμαι λέγεσθαι καρύκη.

Καρχαλέος: Καρχαλέοι κύνες ὥστε περὶ βρώμης ὀλέκοιεν ἀλλήλους, καρχαλέος ὁ τραχὺς, ἀπὸ τοῦ κάρφους.

301, 44. Τὰ κεχαραγμένους ἔχοντα τοὺς ὀδόντας.

302, 7. Εἰ δέ σε γ' ἄρχη, εἴτ' ἔπος.

302, 11. Φίλον τ' ἄλλοτ' ἄλλον ποιῆσαι.

302, 12. Μή τινος κατελεγχέτω. 13. Κακόν.

302, 13. Ἐσθλὸν νεικητῆρα. Σχόλιον· τοῦ ἀδελφοῦ σου.

302, 21. Σὺ δὲ εἴπερ ἔχεις καλήν.

302, 24. Τὸ δὲ ἄξεινον θηριῶδες. 36. Λίποντα κάσσης.

Καστανέα: Πόλις Μαγνησίας, ὅθεν καὶ Κασταναῖα εἴρηται, ἀπὸ Καστάνης τινός.

Κασωρεύουσα: Πορνεύουσα, παρὰ τὸ κασωρὶς κασωρεύουσα· Λυκόφρων, μοκλοῖς γυναικόκλωψ, ἡ δὲ ὡς ἄρα μέμνη κασσωρεύουσα κοιλανεῖ δόμους.

302, 48. Ἐπίσιον. 49. Καρβάνων τελεῖν.

302, 53. Τουτέστιν εἰς τὸ τοὺς παρὰ τὴν κάρβασιν κοίλους τόπους. 56. Κομῶν τοῖς βοστρύχοις.

Καταείνυον:

θριξὶ πάντα νέκυν καταείνυον,

ἀντὶ τοῦ κατεκάλυπτον πάντα νέκυν. ἀπὸ τοῦ ἔω ἐνίω τὸ ἐνδίω, καὶ εἰνύω.

Καταείσατο: Καθώρμησε, κατῆλθεν,

ὅθι οἱ καταείσατο γαίης.

304, 7. Κατακλῖδες εἴρηνται.

303, 1. Καταπέψῃ, κατασχῇ, καταδαπανήσῃ, ἤτοι καὶ καταπραΰνει, ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τῇ γαστρὶ πεπεμμένων τροφῶν.

Καταποντωθῆναι: Ἀττικοὶ ἀντὶ τοῦ καταποντισθῆναι.

304, 11. Καταδημοβορῆσαι, καταναλῶσαι.

304, 14. Ὅθεν καὶ κλώστης κατακτανέεσθαι, μέλλων ἀπὸ τοῦ κτανοῦμαι,

ἀλλὰ καὶ ὣς ὀλέεσθαι κακὸν μόρον·

ἀπὸ τοῦ ὄλλω ὀλῶ ὁ μέλλων Ἰωνικῶς.

304, 18. Τὴν αὐλῶπιδα κατακρῆθεν, παρὰ τὸ κάρη ὀξυνόμενον, γίνεται καρῆθεν, καὶ κατὰ συγκοπὴν κρῆθεν. τοῦτο καὶ Ἡσίοδος ἐξεδέξατο εἰπὼν,

καὶ ἀποκρῆθεν βλεφάρων.

Κατακτὰς: Εἰς τὸ κατέκταθεν.

ἔστι

304, 58. Οὐκ ἐχυρὸν (sic).

304, 56. Ἰωνικῶς ἐκάει suprascriptum ἡμήρε.

305, 3. Ἀπὸ τῆς προικός. 5. Οὕτω φαμέν.

305, 6. Καὶ ὁ ἐπαίτης.

Καταρρεπὲς:

ἔνθεν δ' αὐτίκ' ἔπειτα καταρρεπὲς ἔσσυτο κῦμα.

305, 14. Καὶ ἀνεδόθη εἰς ἐνεστῶτα.

305, 16. Καταψῶ, καὶ τὸ ψαύω, ἐκ τούτου ψήχω, καὶ τὸ ψω τὸ κρατῶ κατὰ τροπὴν τοῦ η εἰς ω, ὡς ῥήσσω, ῥήξω, ῥὴξ, καὶ ῥὼξ, καὶ ἀπορρώξ.

Κατειμένον ὕλῃ: Μεταφορικῶς ἠμφιεσμένον ἐν αὐτῷ.

305, 24. Ἐκτάνθησαν, ἔκταθεν.

305, 36. Ἑτάροι δὲ κατέκταθεν, κατέκτανεν ἀπὸ τοῦ κτείνω, ὁ δεύτερος ἀόριστος ἔκτανον.

305, 38. (ἡ om.) ἐμαυτός.

305, 39. Εἶχεν εἶναι ὡς ἔγ' αὐτὸς, ἀλλ' ἔστιν ἀσύστατος· οὔτε γὰρ ἐμαυτὸς δύναται εἶναι, οὔτε ἐγ' αὐτὸς, καὶ ἐμαυτὸς μὲν ὅτι πᾶσα σύνθετος.

305, 46. Ἔμελλεν εἶναι ἀνομοιόπτωτος.

305, 49. Ἔστιν εὐθείας. 59. Τῆς ἀλλοπαδοῦς.

306, 7. Λέγει τινὸς κατισχνωθέντα, λεπτυθέντα. ἀπὸ τοῦ ἴσχω ἰσχνῶ, τῆς τρίτης συζυγίας τῶν περισπωμένων.

307, 29. Ἀριστάρχου οὕτως ἐστίν. 31. Τὴν Ἰωνικὴν ἴῶκα.

Κατεπόθη: Ἔστι ῥῆμα πῶ, παράγωγον πῶμι, ὁ μέλλων πώσω, ὁ παρακείμενος πέπωκα. ὁ παθητικὸς πέπομαι, διὰ τοῦ ο, ὡς δέδωκα δέδομαι, ὁ ἀόριστος πρῶτος ἐπόθην (sic) καὶ κατεπόθην, οὕτω Χοιροβοσκός.

Κατερύκω: Κατέχω, καταλαμβάνω.

307, 36. Τὸ περί τινων ἄδικον λέγοντας.

Κατηιόνων: Ἔχει τὸ ι, ἀπὸ γὰρ τοῦ καταιωνῶ, καταιωνᾶς, καταιονᾶ, σημαίνει δὲ τὸ κατήντλουν.

307, 42. Παρὰ τὸ αἰρῶ.

Κάτθανεν: Ἡ κατὰ συγκοπὴ ἐὰν ἔχῃ ἐπαγόμενον δασὺ, τὸ τ ἑαυτῆς εἰς τὸ ἀντίστοιχον τοῦ ἐπαγομένου δασέος ψιλὸν μεταβάλλει, διὰ τὸ μὴ δύνασθαι συλλαβὴν εἰς δια καταλήγειν, οἷον καταθανεῖν κατθανεῖν, κατάθανε κάτθανε· καὶ πα (sic) καταφάλαρα, καπφάλαρα.

Καύηξ: Ὁ λάρος διὰ τὸ ἀδηφάγον, καύη γὰρ ἡ τροφή· Εὐφορίων,

τῆς οὐδ' αἴθυιαι, οὐδὲ κρυεροὶ καύηκες,

ἀπὸ τοῦ καῦ καῦ λέγειν, καύηξ ἐρινοῦ προσκαθήμενος κλάδον.

308, 27. Καυκώνην πτολίεθρον καὶ κατὰ συγκοπὴν Καύκων. Καυλωνία, Αὐλωνία, καὶ πλεονασμῷ τοῦ κ Καυλωνία, περὶ παθῶν.

308, 29. Ὀξὺ ἐντίθεται.

Καῦμα: Τὸ κεκαυμένον ἄημα.

308, 36. Γαῦρον λέγειν. 38. καμαλαύκιον.

308, 39. καὶ γὰρ ἡ καυσία.

Καυστειρὸς: Ἀπὸ τοῦ καίω, καύσω, κέκαυμαι κέκαυσαι κέκαυσται, καυστειρὸς, κατὰ τροπὴν Δωρικὴν τοῦ η εἰς τὴν ει δίφθογγον.

304, 44. Σπήλυγγες,

λευκὴ καχλάζοντος ἀνέπνεε καύματος ἄχνη.

304, 48. Ἐκβράσεσιν. 54. Λέγει δέ. 55. Ἐκ κεκαυμένων.

309, 1. Ὑπερσυντελικοῦ ποιοῦσιν οἱ Ἴωνες τρίτον πρόσωπον ἀλλὰ καὶ ἐπὶ ἐνεστῶτος.

309, 4. Ὀλέσαντες.

Κέβαλη ἡ κεφαλὴ κατὰ συγκοπὴν, καὶ τροπῇ κέβλη.

Κέδρος, κέντρος, κενδρώδης γάρ ἐστιν.

309, 19. Ὁ μέλλων κοήσω.

309, 21. Κεδνὸς ὁμηδανός τις ὢν, οὗ ἄν τις.

309, 28. Ἐντελὲς αὐτοῦ. — Ἀλκῖος.

Κεῖθι: Ἐκ τοῦ ἐκείνοθι ἢ κείνοθι καὶ ἐκ τοῦ ἐκεῖσε κεῖσε.

309, 43. Ὅτι τὰ ἀπὸ τῶν εἰς ω. 53. εἰς μαι λήγων.

309, 54. Ἀπὸ τῶν εἰς μι ἐστὶν, οἷον τίθεμαι, τίθεσαι, ἵσταμαι, ἵστασαι· εἰ οὖν ἐστι τὸ ἧσαι καὶ κεῖσαι δεύτερον πρόσωπον οἷον "κεῖσαι Ὀτρυντείδη," δῆλον ὅτι ἀπὸ τῶν εἰς μι ἐστίν. ἔστι δὲ σχηματίσαι αὐτὰ οὕτως, καὶ διὰ τοῦτο ἐπὶ μέν.

310, 3. Συμφώνων. 7. Ἢ παρὰ τὸ ἐκεῖ κεῖσθαι τά.

310, 13. Τὸ ε φωνῆεν.

Κειρία: Σημαίνει τὰ σχοινία, ἤγουν τὰ ἐντάφια δεσμὰ, λέγεται δὲ θηλυκῶς παρὰ τὸ κείρω τὸ κόπτω, τὸ εἰς λεπτὰ κατακόπτεσθαι αὐτά. ἢ παρὰ τὸ κέρας τὸ σημαῖνον τὰς τρίχας· κερία γὰρ γέγονε, καὶ πλεονασμῷ.

Κείω: Σημαίνει τὸ καίω, ἀνεφάνη γὰρ τὸ ε, ὡς ἐν τῷ

κέδρου τ' εὐκεάτοιο.

Κεδάζω: Σκεδάζω, σκορπίζω, ἀπὸ τοῦ χέω, χεδάζω καὶ σκεδάζω.

Κείρειν: Ἀπὸ τοῦ αἴρειν καὶ ἀποκόπτειν τὰς τρίχας· οὕτως ἐγώ.

Κείων: Τὸ κοιμησόμενος, ἀπὸ τοῦ κέων "ὦρσο κέων," πλεονασμῷ τοῦ ι, κείων. κίω δὲ τὸ πορεύομαι διὰ τοῦ ι, ἀπὸ τοῦ ἴω.

311, 36. Καὶ κατὰ ποιητικόν.

311, 46. Χωρίσας.

311, 49. Ἐὰν γράψω ἐπεὶ (κεκάμω om.)

ζεται

311, 51. Ἀναδιπλασιασμὸς ἡ κε συλλαβὴ, καὶ ἔστιν ἐνεστώς.

Κεκινέαται: Οἷον, "οἱ δέ μεν ὀδόντες ἐν τοῖσι γνάθοισι

"πάντες κεκινέαται[c]." ἀπὸ τοῦ κινῶ, κινήσω, κεκίνηκα, κεκίνημαι, σαι, κεκίνηται, καὶ Ἰωνικῶς κεκινέαται.

311, 57. Κεκλαυμένην. 58. Κεκλαυμένην.

312, 3. Πρὸς ἀντίθεσιν εἶναι πρός τι ἐνδείᾳ.

312, 15. Γίνεται κεκληγών.

Κεκλίαται: Ἰστέον ὅτι οἱ καθαριεύοντες παρακείμενοι, τὸ α μόνον προσλαμβάνουσι κατὰ τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν. καὶ εἰ μὲν μακρᾷ παραλήγονται, ταύτην συστέλλουσι, καὶ οὕτως τὸ Ἰωνικὸν ποιοῦσιν, οἷον ἐρύω ἔρυται ἐρύαται· οὕτως οὖν καὶ ἀπὸ τοῦ κλείω κέκλειται κεκλίαται, κατὰ συστολὴν τῆς ει διφθόγγου, οἷον κεκλίαται.

Κεκλόμενοι: Ἐγκελευόμενοι, ἀπὸ τοῦ κέλω, κελόμενοι, πλεονασμῷ τοῦ κ κεκλόμενοι,

ἀλλήλοισι τε κεκλόμενοι.

312, 38. Τοῦ γὰρ παρατατικοῦ.

312, 47. Οὐδὲν οὖν ἄτοπον. 52. Τὸ σιδήρῳ ἠμφιεσμένα.

313, 7. Μένω μνῶ μέμνω. 17. Κέκρικα, ἰστέον.

313, 18. Διὰ τοῦ αὐτοῦ ἀμεταβόλου.

313, 30. Τὸ γὰρ κοινὸν ἐστὶν ἔκτημαι, ὃ τὸ Ἴλιον ἐκτῆσθαι.
ἄζεται

313, 31. Ἀναδιπλασιασμῷ.

Κέλαδον: Ταραχὴν, θόρυβον, πεποιημένη λέξις.

313, 56. Τὸ ταχέως.

314, 15. Ἠερόεντα. — Ἐν τῷ Χοιροβοσκῷ.

314, 17. Μεταβαλοῦσα ἔλαφος. 18. Ἢ νεογνὸν ἔλαφον.

Κέλωρ: Σημαίνει τὴν φωνὴν, παρὰ τὸ καλεῖν κάλωρ, καὶ Κελωρὸς Ἄρτεμις.

ὁ ὑπερσυντελικὸς

314, 39. Δέντα· οὕτω κέλται, κένται.

Κεντρηνεκέας: Παρὰ τὸ κεντῶ κέντλον, καὶ πλεονασμῷ τοῦ ρ κέντρον, κεντρότυπτον, καὶ τὸν μαστιγίαν ἀπὸ τοῦ τύπτειν.

315, 11. Κεραβάτης ὁ τὰ ἀκρωτήρια.

315, 29. Τοῦ ἄρρενος τράγου.

c Hoc frag. Hipponacti assignat Auctor Epimerism. Hom. v. Μεμετρέαται p. 288, 1.

Κεραμεικὸς: Ἀπὸ τοῦ κεραμεὺς κεραμέως, κεραμεϊκὸς, καὶ κεραμεικός.

315, 31. Μενῶ. 32. Κερῶ κεραίω.

315, 41. Ἡ ἐκ τοῦ βάθους ἰκμὰς ἀναφερομένη.

Κέρδιον: Βέλτιον, κρεῖσσον, ἀπὸ τοῦ κέρδος.

316, 31. Ἡ εἰδῶ καὶ ἡ ὑψῶ. — Εἰδοθέα.

Κέρκουρος: Τὸ μακρὰν ἔχον πρύμναν σκάφος· Ὧρος.

316, 39. Οὐ πρόκειται ἡμῖν εἰ ἄρα δύναται γενέσθαι.

316, 42. Οὐκ ἄρα ἔχεται. 44. Ὃ μὴ εἴρηται.

316, 44. Ὥσπερ (οὐ om.) 50. Δὲ τὸ ψίθυρ.

Κέρκωπες: Οὕτω πρότερον ἐκαλοῦντο οἱ Κύκλωπες, ὅθεν καὶ τοὺς πονηροὺς καὶ κακοὺς ἄνδρας κέρκωπας φαμέν. Κέρκωπες δὲ ἐκλήθησαν ἢ διὰ τὸ κερδαλέον αὐτῶν καὶ πανοῦργον· ἢ ἀπὸ μητρὸς Κερκώπης· κέρκωπες λέγονται οἱ ἀπατεῶνες, ἀπὸ τῶν κυνῶν ἡ μεταφορά· οἷον ταῖς ὄψεσι καὶ τοῖς κέρκωψιν ἄδακον σίνοντες· οὕτως Ὧρος.

317, 9. Πρὸ τοῦ εὑρεθῆναι αὐτοῖς τῶν ποτηρίων τὴν χρείαν.

317, 10. Γέγονε κερατόεις.

Κέρσαι: Κόψαι, κείρω, Αἰολικῶς κέρσω.

Κεστὸς: Ὁ κεντητὸς λῶρος.

317, 28. Καὶ διακεκεντημένος (sic) [above: οσμημένος λόρος]. 30. Ὁ κεκοσμημένος [above: εντημένος].

317, 31. Ἵπποι. 33. πολύκεστος [above: ποικιλόκεστος]. 47. κάρφος, καρφαλή.

317, 48. Κατὰ Ἀπολλώνιον κελύφη.

317, 54. Τὸν ἀποτεμνόμενον τόπον.

318, 26. Χαίρω χαρῶ. 27. Ἐχαροίμην, ἐχάροιο, ἐχάροιτο, καὶ πλεονασμῷ τοῦ κ κεχάροιτο, καὶ Ἰωνικῶς κεχαροίατο.

Κηδεὸς: Ὁ νέκυς, ὁ φροντίδος καὶ κηδεμονίας ἄξιος καὶ τῆς κηδεύσεως· παρὰ τὸ κήδω τὸ φροντίζω γέγονε κηδεύω κηδεὸς, ὡς φωλεύω φωλεός.

319, 2. Καὶ φροντίδος. 5. Κήδιστοι.

Κήδειν: Λυπεῖν, βλάπτειν· καλόν τοι σὺν ἐμοὶ τὸ κήδειν.

Κήδιστος: Ὁ φροντιζόμενος· οἷον

ὅς μοι κύδιστος ἑτάρων ἦν κεδνότατός τε.

παρὰ τὸ κήδω τὸ φροντίζω γέγονεν ὄνομα ῥηματικὸν, κῆδος· καὶ

ὥσπερ παρὰ τὸ κάλλος γίνεται καλλίων, καὶ τὸ ὑπερθετικὸν, κάλλιστος, οὕτω κῆδος κηδίων κήδιστος.

Κηκὰς: Ἀλώπηξ κακοτικὴ, κακοῦργος καὶ πονηρά· Νίκανδρος ἐν Θηριακοῖς· [ευτικοῖς]

πιοτέρην ὅτε βότρυν ἐπήνατο κηκὰς ἀλώπηξ.

319, 24. Περίκηλα. 27. Καλοπόδιον.

320, 5. Μοῖραν κῆτοι κενὰ ἐπιφέρουσαν.

320, 42. Κῆρυξ, ὡς παρὰ τὸ πτερὸν γίνεται πτερῶ.

320, 43. Ὃ δηλοῖ.

321, 9. Τὴν τροφὴν, ἄλλως τε διὰ τοῦ ι γράφεται.

Κιγκλίσαι: Σφαλίσαι.

321, 30. Ὕφασμα, καμελαύκιον. 32. Ἀνεδύσατο.

321, 40. Ἀπὸ τοῦ κεύθειν τὸν ἔρωτα.

321, 54. Κατὰ τὴν δευτέραν συλλαβήν.

322, 20. Ἡ γὰρ Φόρκυν. 21. Φόρκυν θ' ἵπποθ.

322, 21. Ἀπὸ τοῦ Φόρκυς Φόρκυος. 37. Ὅπερ καὶ ἶν.

323, 3. Ἡ κιρνῶσα τὰ φάρμακα. 4. Ἀπὸ τοῦ κρέκω om.

323, 7. Ἀττικοὶ (δὲ om.) 9. Ἀγεληδὸν ὑποτρέσωσι πέλεται.

323, 11. Κίσιρις. 16. Τῶν ξυλίνων. 18. χυσσίβιον.

323, 19. Δήσεται κισσυβίῳ. 21. Λιχνότατον (καὶ om.)

323, 24. Δὲ τὸ κισσῶ τὸ μεθ' ἡδονῆς. 28. Γίνεται κιχάνω.

324, 31. Ὤμωξ' ἀτὰρ ἔπειτα φίλον δ' ὠνόμηνεν.

324, 33. Καὶ χρέα οὐδέτερα ἀπὸ τοῦ κλέεα.

324, 38. Τὸ γ καὶ ὁ ἐνεστώς. 42. Οὐκ ἔστιν ἐν μιᾷ λέξει. [μία ις]

325, 33. Ὥσπερ δέον.

Κλειταγόρας: Παρὰ τὸ κλειτὸς γέγονεν.

325, 36. Ἣν ἀπ' αὐτῆς. 40. Νέον ἐξέτι.

325, 41. Εὗρον δὲ σχόλιον κλειώ, παρὰ τὸ κλέος κλέω, καὶ κλείω·

ἐγὼ δέ σε κλείω κατ' ἀπείρονα γαῖαν.

325, 47. τὴν δ' ἱερὴν κλείωμεν, ἐπεὶ πάντεσσι φαάνθη.

Κλέος: Παρὰ τὸ κλείω, ἢ παρὰ τὸ κλύειν, ὅ ἐστιν ἀκούειν λέγεται κλέος, ἡ δόξα ἡ ἐξακουομένη, καὶ ἡ φήμη.

Κλέπτης: Ἀπὸ τοῦ καλύπτειν, καλύπτης, λάθρα γὰρ ἀφαιρεῖται.

326, 19. Συντιθέμενα πάντα εἰς ους.

326, 20. Συντιθέμενα εἴρηται.

326, 23. Ἐστὶ συντεθέν. 32. Δηλοῦσι δὲ τὰ πατρωνυμικά.

Κλήζω: Σημαίνει δὲ τὸ φημίζω, εἰς τὸ καλήζω.

326, 52. Ἀπὸ τοῦ καλῶ κλῶ. 59. Βρισηῒς, Νηρηΐς.

Κληρονόμος: Παρὰ τὸ κλῆρος καὶ τὸ νόμος, ζήτει εἰς τοὺς Ἐπιμερισμούς.

327, 36. Ἐχαράσσοντο οἱ κλῆροι.

328, 48. Καὶ κλίμαξ, ὡς χλαῖνα χλαμύς.

Κλίνη: Παρὰ τὸ κλίνω, τοῦτο δὲ παρὰ τὸ κλῶ, κλάσιν γὰρ λαμβάνουσι τὰ κλινόμενα στερισκόμενα τῆς ὀρθότητος· εἰς τὸ κλίνω.

Κλισμοῖσι: Θρόνοις ἔχουσιν ἀνακλίσεις, παρὰ τὸ κλίνω.

328, 16. Κλειτίς. 17. Τὰ ἀποκλίματα.

328, 27. Ἀποστρέφεται τοῦ οἴνου. Χοιροβοσκοῦ.

328, 29. Διὰ τῆς ει διφθόγγου.

328, 30. Παρὰ τὸ κλίνω ἐστὶ τό.

328, 35. Θρόνιον, πτὺξ πτυχὸς πτύχιον, οὕτως οὖν καὶ κλίσις κλίσιον.

328, 38. Ἔχουσιν, ὠτὸς, ὠτίον.

Κλισία: Οἶμαι ὅτι καὶ τοῦτο ἀπὸ τοῦ κλίνω τὸ σημαῖνον τὸ περιέχω γίνεται, κλίνω, κλίσις, κλισία.

328, 57. Τριβραχέα.

329, 21. Ἐπιπείθεται. 45. Καὶ κατ' ἔκτασιν.

330, 9. Τὸν μετὰ πολλοῦ καμάτου γενόμενον.

330, 12. Οὕτω Φιλόξενος. 16. ὡς χῶ χάπτω.

εἶναι φάους

330, 19. Περιστίχειν. 20. παρὰ τὸ κενὸν ὦφα (sic).

330, 26. Ἰστέον δὲ ὅτι τὸ ἔμπροσθεν. 33. Κνήστει χαλκείῳ. 34. Παρὰ τὸ κνῶ κνίζω. 36. Κνισμὸς γίνεται παρὰ τῆς ὀσφρήσεως. 38. Κνυζώσω, σημαίνει τὸ διαφθερῶ καὶ κακώσω. 39. Δὲ οἱ ὄσσε. 40. Πρώτης καὶ δευτέρας. 43. Φρίξῳ κυνιδόν. 44. Κνιζούμενον. 44. Καὶ δευτέρας. 47. Κνύζης. 51. Ἐπὶ ταύταις κατακναίεσθαι

μετὰ τυρὸν, et in marg. ἐπὶ ταυτησὶ κατακνησθαίην ἐν μηττωτῷ μετὰ τυροῦ. 54. Διακνήση. 58. Ἡ τῇ ὀσφρήσει προΐζουσα. 59. Κνύζα.

331, 1. Τῷ καθόλ' in mar. τῷ κανόνι.

Κνύσσω: Παρὰ τὸ ὄσσω, τὸ βλέπω, ἢ παρὰ τὸ κενὸν, τουτέστι κενοῦσθαι τοῦ βλέπειν.

331, 9. Κνώδαλα ὅσσ' ἤπειρος πολλὰ τρέφει ἠ δὲ θάλασσα. κνώσσειν τὸ κοιμᾶσθαι, παρὰ τὸ κενὰ καὶ ἀργὰ εἶναι τὰ ὄσσα, τουτέστι τοὺς ὀφθαλμοὺς εἰς τὸ κοιμᾶσθαι κενώσσειν, καὶ κατὰ συγκοπὴν κνώσσειν.

332, 5. Τὸ μεταφέρειν τὰ ἀλλότρια μισθοῦ κατ' ὀλίγου Ἀπολλῶ[d] δὲ ὧν ἐστιν Ὧρος ὅτι κόβαλα λέγει τὰ κατεστωμυλμένα.

Κοδρίτης[e]: Σημαίνει δὲ τὸν τοῦ Κόδρου· ἀπὸ γὰρ τοῦ Κόδρος γέγονε Κοδρίδης, ὥσπερ καὶ ἀπὸ τοῦ Κρόνος Κρονίδης· γράφεται δὲ διὰ τοῦ ι, ὥσπερ τὸ λοχίτης.

332, 16. Καὶ χυλοῦν. 34. Ὁ δὲ Ὧρος παρὰ τὸ κείω. 36. Κεῖμαι, κεινὸς καί. 43. Βουληθέντα. 44. Ὀνομάζειν Λάκωνος ἀνθίστατο.

333, 3. Τὰ μακρόθεν διεστῶτα. 13. Θείω, σῶ, σείω. 15. Κύτην λέγουσι.

Κόκοι: Ἀττικῶς τὸ ταχύ.

Κοκρύδες: Παρὰ τὴν κρόκην, κροκὶς κροκίδος κροκίδες. Επίχαρμος τὴν χρῆσιν.

333, 20. Κοκύας: Ὁ πρόγονος· ἔστι δὲ Ἰακὴ ἡ λέξις· σημαίνει δὲ τοὺς ἤδη κεκομένους.

333, 23. Ἐγὼ δ' ἀπ' αὐτῆς. 30. Κόλακος γὰρ φύσις. 35. Κόλον. 36. Ὡς δὲ Ἀπίων ἀπὸ τοῦ κολᾶσθαι. 37. Ὡς ταχύ.

Κολοίφριξ: Ὁ ὀλόφρυξ, τὸ κ περισσεύει.

333, 55. Κολοσυρτὸς, κόνιός τε καί.

Κόλλαβοι: Μικροὶ ἄρτοι, παρὰ τὸ ἐκ μεγάλων κολοβοῦσθαι. λέγεται δὲ ἄλλο τοῦτο σημαίνειν. εἰς τὸ κόλλοπες.

[d] Fors. ἄλλοι δὲ ὧν ἐστ. Ω. [e] Leg. Κοδρίδης.

Κόλλοπες: Τὰ τῶν ὑῶν καὶ βοῶν σκληρὰ δέρματα περὶ τῶν τραχήλων· ἐξ οὗ καὶ τοὺς νῦν λεγομένους κολλάβους ἐποίουν. ἔλεγον δὲ καὶ τὸ νωτιαῖον δέρμα, διὰ τὸ τὴν κόλλαν ἐξ αὐτοῦ γίνεσθαι· ὅθεν Ἀριστοφάνης τὴν σκληρότητα Αἰσχύλου ἐνδεικνύμενος ἔφη,

οἶμαι γὰρ αὐτὸν κόλλοπι ἐοικέναι.

334, 7. Ἐπὶ τῶν ἰατρικῶν φαρμάκων.

οὐρὰν ὀδύσσειαν
334, 10. Νευρὰν εἰς τὴν δ°

334, 13. Ἐν ὑπομνήματι Ἀνδρονίκου εἰς τὴν Ὀδύσσειαν. male Kulenk. εἰς τὸ δος.

334, 24. Ἡ δὲ κολῶναι.

Κολωὸς: Θόρυβος, παρὰ τὸ κλῶ ῥῆμα τὸ δηλοῦν τὸ καλῶ, γίνεται ῥηματικὸν ὄνομα κλὼς, ὡς σὼς σωὸς, καὶ πλεονασμῷ τοῦ ο κολωός· ἢ παρὰ τό.

334, 29. Τὸ κολοῶ ῥῆμα.

οὔνων
335, 27. Σύσκια κατὰ τὴν κατὰ τῶν ὄνων φωνήν. 29. Ἐπιμελείας.

336, 13. Ἐπειδὴ καὶ κομμωτικήν. 15. Τὸ ἐπιμελείας.

335, 37. Καταδρομὴ, τομὴ, σημαίνει δὲ τὴν κεφαλήν.

Κομίζω: Τὸ ἐπιμελοῦμαι καὶ περιποιῶ, παρὰ τὸ κομῶ, ὅθεν καὶ ἱπποκόμος, ὁ ἐπιμελούμενος τῶν ἵππων.

335, 48. Κομιδὴ, θεραπεία . . . παρὰ τὸ κομίζω κομιδή.

336, 40. Τοῦτο παρὰ τὸ κινεῖν θοήν. 53. Τῶν δακτύλων ἐγγίνεται, ἡ κένδυλος. 58. Κόνις παρὰ τὸ κονῶ κονίω, ὡς ταίνω ταινία.

337, 2. Βιάσοιτο. 3. Λιμέσι.

Κονιόπους: Πολυσχεδὲς ὑπόδημα, τὸ μὴ σκεπάζον ὅλον τὸ σῶμα, ἀλλὰ καταπασσόμενον ὑπὸ τῆς κόνεως. ἡ δὲ κόνις ἀπὸ τῆς χύσεως.

337, 9. Κατακεκομμένη.

Κονίσουσι: εὐρὺ κονίσουσι πεδίον,

Ἐκ τοῦ παρακολουθοῦντος νοεῖται τὸ φεύξονται· οἱ γὰρ φεύγοντες, κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν· οὕτως εὗρον.

Κονίω: Ὥσπερ ἀπὸ τοῦ μῆτις γίνεται μητίω διὰ τοῦ ι, δῆρις δηρίω καὶ μῆνις μηνίω, οὕτω καὶ ἀπὸ τοῦ κόνις κονίω.

Κόντιλος: Εὔπολις·

εἰ μὴ παίζῃ αὐτοῦ δ' ὄπισθε κατέλαβε τὸν κόντιλον.

ἔστι κοντὸς κόντιλος.

337, 44. Κόπερρα, Αἰολικῇ διαλέκτῳ. 45. πέρραμος . . ἀλλότερρος. 47. Ἐγκείμενον καὶ κοποῖ. 59. Μὴ εὕρωμεν.

338, 3. χώρη τίς. 8. Νεωκόρος.

Κορήσατε: Σάρατε, ποιήσατε· κόρημα γὰρ τὸ σαρὸν, καὶ κορῶ τὸ σαρῶ.

338, 11. Ἢ ἀπὸ τῆς κόρυθος. 12. Ὁ σωρός. 13. Κοροιθάλη. 14. Ὡς καὶ ὁ Χρύσιππος. 15. Ἡμμένας μοι

ε
η

δότω. 16. Μυρίνες. 19. ἐφιρίοις (sic).

Κόρριον: Παρὰ τὸ κόρον ἐστι· οἷον νῦν μανῶ κόριον κόρριον.

338, 20. Δαίμονες τινὲς, οἵτινες. 26. Ὡς μὲν Ἀπολλώδωρος. 29. Κορσωτῆρος ἐνὶ τρίχα καλλύνονται. 3. Τῇ δ' ἐπαντέλλῃ νόσῳ. 33. Καρπὸν κόρην. 40. Ὡς πρὸς τὴν συνήθειαν. — Κόρσαφος καὶ κόρταφος. 43. Καὶ τὸ κρόσος.

Κόρση: Ἡ κεφαλὴ, ἀπὸ τοῦ κείρεσθαι· καὶ γὰρ τὸ κεῖραι κόρσαι λέγουσι. κάρα δὲ ἀπὸ τοῦ τετριχῶσθαι· κέρα γὰρ ἡ θρὶξ, κράτα δὲ αὐτὴν ἐκάλουν, ἀπὸ τοῦ κράτους, ὡς ἐν αὐτῇ τοῦ ἡγεμονικοῦ τυγχάνοντος.

338, 57. Τὸ προμετωπίδιον.

338, 58. Περικεφαλαίας· εἰσὶ γάρ τινες ἧλοι λαμπροὶ ἕνεκα κόσμου τῆς περικεφαλαίας· φαλὸν γὰρ

339. Μή τι κορύψῃ. 18. Ὅθεν καὶ Ὅμηρος. 22. Καὶ τὸ παρασκευάζω. 23. Κορωνὶς ἐπὶ τῶν νεῶν. 23. Καμπυλόπρυμνοι. 24. Παρὰ τὸ ἄνω ἐξηρμέναι. 27. Καὶ ἐπὶ τοῦ ὀρνέου. 28. Καὶ ὁ τῆς θύρας κρίκος. 31. Ἀρ-

ων

χίλοχος βοῦς ἐστὶν ἡμῖν. 32. Ἔργων. 37. Ἐν ἑαυτῷ.

341, 14. Τοῦ μηροῦ παρὰ τὴν κοιλότητα. 15. Λέγεται κοτύλη καὶ τὸ κοῖλον. 31. Ἐπιρριπτοῦντες, ἃ δήστρωμνα αὐτοῖς. 34. Σημαίνει δὲ καί.

ὅρους
342. Ἀπὸ τόπου τοπικοί.

Κοχλιάριον: Παρὰ τὸ κόχλος, πλεονασμῷ δηλονότι τοῦ ι· Φιλόξενος.

342, 26. Χαλώμενον κάτω ὅθεν.

υ
342, 28. Κάχλακας. 30. Τομώτατοι (sic).

σμῷ
342, 31. Μύρμων πλεονᾶν ἢ διαστολῇ οὕτω κόχλος.

Κραδή: Ἡ Συκῆ διὰ τὸ συνεχῶς κραδαίνεσθαι, Ὦρος. τῷ δὲ Φηριππίδῃ ἔστι πατὴρ κύμινον καὶ μόνον, οὐ ταριχεύων τοὺς θαλλοὺς τῶν κραδῶν.

342, 44. Ἐν τοῖς συμποσιακοῖς.

Κραίνω: Τὸ ἐπιτελῶ, παρὰ τὸ κάρα καραίνω, ὡς χεῖμα, χειμαίνω, καὶ συγκοπῇ κραίνω. εἴρηται δὲ κυρίως ἡ λέξις ἐπὶ τοῦ τελειοῦσθαι καὶ τῇ κεφαλῇ κατανεύειν, τὸν ὑποσχόμενον·

ομαι
εἰδ᾽ ἄγε τῇ κεφαλῇ κατανεύσω.

Κράπαθος: Κάρπαθος, καὶ Καρπάθιον οὕτω· λέγεται δὲ παρὰ τῷ ποιητῇ Κράπαθος.

343, 8. Παρὰ τὸ κρατῶ κράτεια, ὡς.

343, 17. Τὸν κράτεα καὶ κράτα.

Κρανίον: Ἀπὸ τοῦ κάρα καρανίον καὶ κρανίον.

343, 6. Ἢ τελείως λήψεσθαι, ἀπὸ τοῦ κραΐνω καὶ κραίνω.

Κραῦγα: Νόσος περὶ τὰς ὗς γινομένη. ἔστι δὲ εἴδη τρία, βράγχη, κραῦγα, διάρροια.

Κραιπνός: Ταχὺς, καὶ τὸ συγκριτικὸν κραιπνότερος, παρὰ τὸ κάπω τὸ πνέω, ὅθεν καὶ κάπος τὸ πνεῦμα καὶ καπνὸς, τὸ ἐκ ξύλων καυθέντων ἀναπεμπόμενον πνεῦμα· τοῦτο κατὰ πλεονασμὸν τοῦ ρ γίνεται κναρπὸς, καὶ καθ᾽ ὑπερβιβασμὸν καὶ πλεονασμῷ τοῦ ι κραιπνὸς, οὕτω Φιλόδωρος.

343, 55. Εἰς τὸ πέδον.

343, 47. Κραταίπεδον, λιθόστρωτον ἔδαφος.

343, 21. Κρατερὸς, ἰσχυρὸς, ἀπειλητικός.

343, 26. Ἐκ τοῦ βλάβη. οὕτω καὶ ἀπὸ τοῦ κράτος, κρατερὸς, ὡς θάλος, θαλερός.

Κρέουσα: Σημαίνει τὸ βασιλεύουσα, παρὰ τὸ κρατῶ κρατείω,

ὡς κίχω κιχείω, καὶ ὅλω ὀλείω. καὶ ἡ μετοχὴ κρατείων, καὶ τὸ θηλυκὸν κρατείουσα, καὶ συγκοπῇ κρείουσα.

344, 44. Εὑρίσκονται *ἐ. σ. ἔχοντες.* 48. Καὶ *μετάγεται.*

344, 52. Ἀλλ' *ἐκ τοῦ κρεμάζω, καὶ τὸ ἀγοράσω.*

344, 56. Εἰ *μή τις εἴποι.* 59. Πρώτης, *οὕτως ζήτει.*

345, 26. Κηρύδιον. 30. Κρήδεμνον.

345, 31. Καρήδεμνον, *καὶ συγκοπῇ κρήδεμνον·* (in marg. *τὸ δεσμεῦον τὴν κεφαλὴν, ὁ δὲ Ἡρωδιανός φησι κρήδεμνον*) *λέγεται τό.*

345, 36. Ῥύεταί *τε πόληα* [ς].

345, 40. Κρανῶ, *ἔκρανα, τὸ ἀπαρέμφατον κράναι καὶ κρῆναι Ἰωνικῶς, καὶ πλεονασμῷ τοῦ η κρηῆναι, τὸ προστακτικὸν κρῆνον καὶ κρήηνον.*

345, 50. Ὁ *παρατατικὸς κρήμνην.*

Κρήσερα: *Δηλοῖ τὸ πόμα, κυρίως δέ ἐστιν ἐπιβόλαιόν τι τῆς κεφαλῆς ποιόν· ἔνιοι δὲ περιτραχήλιον ποιὸν φασὶν εἶναι κακῶς, ἡ γὰρ λέξις ἀπὸ τοῦ κάρα ὠνόμασται. τὸ τοῦ κοφίνου οὖν ἐπιβό-* [νιος] *λαιον κατὰ μεταφορὰν κρήσερα εἴρηται. Ἀπολλώδωρος δὲ γελοίως ἵστασθαι, φησὶ γὰρ ἐπὶ τὰ ἐσκυτωμένα κόσκινα, οἷς ἐπικαλύπτουσι τοὺς κοσκίνους. Ὧρος.*

346, 11. *φεύγοντες. παρὰ τὸ κριτὴν αὐτὸν εἶναι. τὸ οὖν κρησφύγετον.*

346, 26. Ἢ *ἀπὸ τοῦ κρῆμνον.*

347, 24. Τοῦ *κρίζω ὄν, ὁ β ἀόριστος οὔτε διὰ τοῦ γ ἐστὶν, ὡς τὸ στίζω, ἔστιγον, οὔτε διὰ τοῦ δ.*

347, 32. Τούτου *δὲ τοῦ κρίζω.*

347, 36. Ἤχησεν, *ποιὸν ἀπετέλεσεν ἦχον.*

346, 54. Ἄρουρα, *σημαίνει δὲ τὴν ἀρουμένην γῆν.*

347, 3. Κριὸς, *ὥσπερ λέγεται κρείων ὁ βασιλεὺς, οὕτω καὶ κριὸς ὁ ἐξέχων τῆς ποίμνης. ὁ δὲ Ἡρωδιανὸς φησὶ παρὰ τὸ κεκρίσθαι τὰς τρίχας· διαφέρουσι γάρ.*

347, 16. Κνέφας *κνεφαῖος, οὕτω καὶ οὖδας οὐδαῖος.*

348, 9. Κρουαίνω, *καὶ κροαίνω.*

348, 32. ὅτι διὰ κρόκης ὑφαίνεται.

Κρόνιος: Λόφος, ἀπὸ τοῦ Κρόνου, οὕτω προσαγορεύεται. Ὦρος.

348, 38. Ὄνομα κύριον. Χοιροβοσκός.

348, 56. Προκρόσας κλημακίσας.

348, 58. Ἱματίων λέγομεν. — Οἱονεὶ κρόσους.

συστέλλοιμεν
349, 5. Διαστέλλοιμεν. 8. Κρόσσας μὲν πύργων.

349, 19. Ἀπὸ τοῦ κρατεῖν, οἷς ἂν ἐμφυῇ. ὁ δὲ Ὦρος βοτάνης
ὄζειν σπέρμα
ὄνομα λέγεται διὰ τὸ ἄζειν αὐτοῦ τὸ δέρμα διατριβόμενον ἐν τοῖς δακτύλοις.

349, 22. Ὄνομα πόλεως, ἀπὸ Κρότωνος τινὸς, ὅστις ὑφ' Ἡρακλέους ἀνηρέθη.

Κρούζω: Κροβύζω, ἀφαίρεσις τοῦ β, καὶ κράσει τῶν στοιχείων, κρούζω.

Κρυόεσσα: Φρικτὴ, φοβερὰ, ἢ ψυχροποιὸς, ἀφ' οὗ ἡ νεκροποιὸς, ἀπὸ τοῦ κρύος κρυόεις καὶ κρυόεσσα.

349, 51. καιροῦ τὸ πάθος. 52. παρὰ (τὸ) τὴν γινομένην.

349 57. Κρωσσὸς, ὑδρία, ἤτοι ἄγγος ἄλλο εἰς τό. — Παρὰ τὸ κρόω.

350, 2. Νεοκραὶ αἱ σπονδαί.

350, 10. Τὸν δὲ κτάμενον παρ' ὄχεσφιν.

ἕσ
350, 20. Ἐπὶ κτενὸς ἧκον ἐθεῖραι.

μένων
350, 26. Ἐπὶ τῶν τε θυσίμων.

350, 31. Ὑψηρεφὲς μέγα δῶμα. 39. Ἡμέρου ζώου.

Κύβηλιν: Σημαίνει δὲ τὸν πέλεκυν, ἡ ἐτυμολογία εἰς τὸ Κύβελον ὄρος.

351, 16. Παρὰ τὸ κύπτω, κύψω γίνεται κύβος.

351, 19. Κυβιστῆσαι ἔλεγον. 21. Τὰ ἄκρα τῆς νεώς.

351, 25. Τὰ πρωρήσια.

Κυδαίνω: Τὸ δοξάζω, ἀπὸ τοῦ κῦδος κυδαίνω λέγεται, καὶ κυδανῶ.

ό
351, 45. Ἀπὸ τοῦ κῦδος κυδιῶ.

Κυδρός: Τίμιος, ἀγαθὸς, ἀπὸ τοῦ κῦδος, κυδρός.

Κυθέρεια: Ἡ Ἀφροδίτη παρὰ τὸ κεύθειν τοὺς ἔρωτας, ἢ κευθόμενον ἔχουσα ἐν ἑαυτῇ τὸν ἔρωτα, ἢ παρὰ τὸ κεύθειν καὶ κρύπτειν τὸ αἰσχρὸν, κρυφαίαν οὖσαν τὴν μίξιν.

Κυθρίσαι: Ὅτι τὸ κυθρίσαι, ἐπὶ τοῦ σκῶψαι καὶ γελάσαι κεῖται. καὶ πανήγυρις ἐστὶ παρ' Ἀθηναίοις ἡ
θρ
κυ, ἐν ᾗ ἀλλήλους ἔσκωπτον.

Κυκεῶ: Ἀποκοπή ἐστι, κυκεῶνα κυκεῶ.

Κύκλῳ: Εἴτε ὄνομα εἴτε ἐπίρρημα σὺν τῷ ι γράφεται. ἔστι γὰρ κύκλος κύκλου κύκλῳ. καὶ λοιπὸν αὗται αἱ δοτικαὶ μετερχόμεναι εἰς ἐπιρρηματικὴν σύνταξιν, τῆς δοτικῆς τὴν γραφὴν φυλάττει, οἷον ἰδίᾳ, δημοσίᾳ. κύκλῳ στῶμεν.

Κυλινδόμενος περὶ χαλκῷ, κυλιόμενος παρὰ τὸ σίδηρον, τῶν ἐπισώστρων, ὅ ἐστι τῶν κανθῶν.

353, 52. Κρύπτει γὰρ ἑαυτῆς. 53. Καταδύνουσα.

νου
353, 58. Κυνοραϊστέων. — Ῥαίσσουσι γάρ.

354. Γενικὴν γίνεται κυνότερον, καὶ συγκριτικὸν κύντερον.

Κύρμα: Ἐπιτύχημα, εὕρεμα, παρὰ τὸ κυρῶ τὸ ἐπιτυγχάνω.

Κύστις, Ἀπὸ τοῦ κεύθειν τὸ οὖρος, σημαίνει δὲ τὸ οὐροδόχον ἀγγεῖον.

356, 25. Λέγεται δὲ καὶ τὸ κοῖλον τοῦ ὠτίου.

356, 27. Κυψελὶς ὁ ῥύπος ὁ ἐν τῷ ὠτίῳ.

Κύων: Ἐπὶ μὲν τοῦ ἀλόγου ζώου ἀπὸ τοῦ κινεῖν καὶ σαίνειν. ἢ παρὰ τὸ ὀξὺ εἶναι τὸ ζῶον, κατὰ μετάθεσιν τῶν στοιχείων.

356, 56. Μεμαῶτας, ὧδε δὲ εἶπεν.

356, 58. Κολῴδιον, λαγῴδιον.

357, 3. Καὶ γίνεται στοΐδιον. 5. Σημαίνει δὲ τό.

357, 12. Κώας κώατος. 20. Ἔστιν εἰπεῖν ὅτι.

357, 50. Κῶμος εἶδος.

357, 57. Βαδίζειν καιρὸν, καὶ τὸ κωμάζειν.

ων τοῖς
Κῶμος: Ἔστι μεθυστικὸς αὐλὸς ἐγχρονίζοντος οἴνοις (sic) καὶ κυμβάλοις καὶ αὐλοῖς, καὶ θέλγων τοὺς δαιτυμόνας.

358, 27. Κώϊος σὺν τῷ ι γράφεται.

358, 28. Καλλίμαχος τὸ ικενον τὸ γράμμα.

358, 30. Ἧ τῷ $\overset{\omega}{\alpha}$ (sic).

Κωπήεντα: Μελάνδετα, σιδηροένδετα, ἢ μέλανας λαβὰς ἔχοντα, ἔστι γὰρ ἡ λαβὴ δεσμός τις τοῦ ξίφους.

Κῶς: Ἡ νῆσος, ἣν φασιν ἀπὸ τῆς Κῶ ὀνομάζεσθαι, ἥτις ἦν θυγάτηρ Μέροπος, καὶ Ἐχεμείας.

358, 53. Λέξεως, ὡς πρὸς ἄφωνον.

Κοφοῦ συνίημι, καὶ οὐ λαλέοντος ἀκούω.

358, 55. Οὐ λαλέοντος δέ.

LEXICON ZONARÆ.

An rite Græcum Lexicon quod vulgo Zonaræ nomen obtinuit, huic Auctori ascribendum sit, non in animo est nunc in dubium vocare. id potius nostrum est Lectorem monere, nullibi esse hujus familiæ majorem copiam quam in Bibliotheca Regia Parisiensi. Magna est autem in his Codicibus varietas. Sunt qui revera cum eo Lexico congruunt, quod vulgavit Tittmannus sub hoc Titulo, *Συναγωγὴ Λέξεων συλλεγεῖσα ἐκ διαφόρων βιβλίων παλαιᾶς τέ φημι γραφῆς καὶ τῆς νέας καὶ αὐτῆς δήπου τῆς θύραθεν*, et totius classis sunt ii præstantiores et copiosiores. Sed Codices Parisiensis Bibliothecæ hujusmodi sunt pauci et ii recentissimi, si duo Coislinianos excipias a Montfauc. notatos, qui vetusti sunt et bonæ notæ. Multi autem Epitomen tantum Lexici Zonaræ exhibent; alii rursus adeo in multis cum Cyrilli Lexicis conveniunt, ut dubium sit utri familiæ assignandi sunt. Prioris Classis sunt Cod. 902. Sæc. XIV. sed qui literam A tantum exhibet. Cod. 1142. bomb. Sæc. XIV. sed in finem utilus. Cod. 2408. ejusdem fere ætatis, de quo notitiam dedit Mons. de Rochefort "Notices et Extraits des MSS. du Roi T. I. p. 131." Codd. 2639. 2663. 2664. omnes Chartacei et valde recentes; neque quidquam inveni in his aut cæteris ejusdem classis, quibus diutius immorari operæ pretium esse mihi visum fuit. Unus autem Codex 2669, quamvis recens, vergente enim decimo quinto sæculo scriptus est, dignum judicavi cujus pleniorem notitiam publici juris facerem. Sic autem in Catal. describitur. "Codex chartaceus, Constantinopoli nuper in "Bibliothecam regiam illatus, quo continentur 1°. Anonymi Lexicon "ubi veteres quidam Scriptores laudantur, Homerus nempe Phylar-"chus, Theopompus, Pherecrates, Aristophanes, &c. Is codex e ve-"tusto serenissimi Valachiæ Principis exemplari descriptus est."

Hujusce Lexici Titulus a ceteris omnibus discrepans, inscriptus est *Λεξικὸν κατὰ στοιχεῖον τῆς Ἑλληνικῆς ἁπάσης φωνῆς*. Initio quidem ita cum Phavorino consentire videbatur, ut isti libro simillimum esse primo judicavi; collatione autem facta, plurima in eo inesse inveni, quibus caret Phavorinus; mox etiam Phavorino relicto Zonaræ Lexico se affiniorem præbet, ita ut deinceps cum illo libro collationem instituere commodius fuit. Sic autem incipit.

ΛΕΞΙΚῸΝ ΚΑΤᾺ ΣΤΟΙΧΕῖΟΝ ΤῆΣ ῾ΕΛΛΗΝΙΚῆΣ ἈΠΆΣΗΣ ΦΩΝῆΣ.

Ἄλφα τὸ στοιχεῖον παρὰ τὸ ἄλφω τὸ εὑρίσκω· πρῶτον γὰρ τῶν ἄλλων στοιχείων εὑρέθη· ἢ ἀπὸ τοῦ κατὰ ἀμοιβὰς πολιτεύεσθαι· ἄλφειν γὰρ τὸ εὑρίσκειν ἢ τὸ ἀμείβειν. ἄλφα τὸ μόριον ποτὲ μὲν δηλοῖ στέρησιν ψιλούμενον, ὡς ἐν τῷ ἄκλητος· ποτὲ δὲ τὸ πολὺ, ὡς ἐν τῷ ἀχανὲς πέλαγος, τὸ μέγα πάνυ καὶ πολὺ κεχηνός. ποτὲ δὲ τὸ ὁμοῦ, ὡς ἐν τῷ ἀκόλουθος, ὁ ὁμοκέλευθος, καὶ ἀνίσχει ποιητικῶς, ἤγουν ἅμα ἴσχει, καὶ ἄκοιτις, ἡ παράκοιτις, καὶ τοῦτο ποιητικὸν, καὶ ἀκοίτης ἀρσενικόν· ἐνίοτε δὲ τὸ κακὸν, ὡς ἀφυὴς ποιητικῶς ὁ κακοφυής. ἄλλοτε δὲ τὸ ἴσον, ὡς ἀτάλαντος, ὁ ἰσοτάλαντος. ποτὲ δὲ τὸ ὀλίγον, ὡς ἀμαθὴς ποιητικῶς, ὁ ὀλιγομαθής. ἐνίοτε δὲ πλεονάζει Ἀττικῶς, μηδὲν σημαῖνον, ὡς ἐν τῷ στάχυς ἄσταχυς, σπαίρειν, ἀσπαίρειν, ὃ λέγεται ἐπὶ τῆς ἀκοντὶ καὶ ἀμούσου κινήσεως, οἷον, ἐπὶ δεδεμένου τινος καὶ κεκρατημένου νόσῳ τινι· σκαίρειν δὲ τὸ εὐρύθμως κινεῖσθαι καὶ ὀρχηστικῶς· καὶ ἀπὸ μὲν τοῦ προτέρου σπάρος ὁ ἰχθύς· ἀπὸ δὲ τούτου σκάρος. σημαίνει δὲ καὶ ἄθροισιν δασυνόμενον, ὡς ἐν τῷ ἅπας. Ἆ, Ἆ τὸ ἐπίρρημα, ψιλούμενον μὲν καὶ ὀξυνόμενον ἔκπληξιν καὶ παρακέλευσιν δηλοῖ, ὡς παρ' Ἀριστοφάνει

ἆ, ἆ τὴν δᾶδα μή μοι πρόσφερε

ἅπερ οὐ καθ' ἕνωσιν ἀλλὰ κατὰ διαίρεσιν ἀμφότερα ἀναγνωστέον· εἰ γὰρ ἓν μέρος λόγου ἦν, καὶ κατὰ σύναψιν ἀνεγινώσκετο, οὐ χρείαν εἶχε τῶν δύο τόνων. δηλοῖ καὶ ἐπιτίμησιν, ὡς παρὰ τῷ αὐτῷ Ἀριστοφάνει

ἆ μὴ λέγ' ὦ πόνηρε.

Δασυνόμενον δὲ ἄρθρον γίνεται ὑποτακτικὸν πληθυντικὸν γένους οὐδετέρου, σημαῖνον τὸ ἅπερ ἢ ἅτινα, ὡς παρ' Ἱπποκράτει, ἔν τισι καὶ τὸ ὅσα· παρὰ Δημοκρίτῳ, τὰ ἴδια. παρ' Ὁμήρῳ τὰ ἑαυτοῦ,

ἃ πρὸς δώμαθ' ἕκαστος.

τέτακται δὲ ἀντὶ τοῦ ὧν, ὡς παρ' Εὐριπίδῃ ἐν Μηδείᾳ

πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ' ἃ βούλομαι.

καὶ παρὰ Σοφοκλεῖ

αἰτεῖς ὧν τεύξῃ.

Ἆ ψιλούμενον καὶ περισπώμενον κλητικὸν ἐπίρρημα ὄν, καθὰ καὶ τὸ ὦ ἔχει πρὸς τῇ κλήσει, ὡς πολλαχοῦ φαίνεται, καί τινα πλείω ἔμφασιν ἔχει ἐπὶ σχετλιασμῷ ἢ θαύματι, κατὰ τοὺς παλαιούς· ἢ καὶ ἄλλως ἐπί τινι λόγῳ οἴκτῳ ὁμοίῳ.

Ἄλλως. ἆ ψιλούμενον μὲν καὶ περισπώμενον δηλοῖ τὸ ἐν ἴσῳ. ἐπιρρημάτων καὶ εἴθε, ὥς ἐστιν ἐκ τῶν παλαιῶν δῆλον· Καλλίμαχος

ἆ πάντα συναγείρας

καὶ τὸ ὦ τὸ κλητικὸν, ὡς παρ' Ὁμήρῳ,

ἆ δειλοὶ

τὸ κακῶν· σημαίνει δὲ καὶ τὸ πολὺ ἢ μέγα, ὡς παρ' Ἀρχιλόχῳ,

ἆ ἕαδε εἴς τε Ταύρους

καὶ ἔτι σχετλίαζον ἀντὶ τοῦ φεῦ· ὡς παρὰ Πλάτωνι· καὶ τὸ νῦν, ὡς ἐν τοῖς Εὔκλου τοῦ χρησμολόγου ποιήμασιν. δασυνόμενον δὲ ὡς Ἀγαθίας ἐν τῷ εἰς Εὐστάθιόν τινα νέον ἐπιγράμματι, θαυμαστικὸν γίνεται, οἷον

ἆ μέγα νηλείης ἔσβεσεν ἀγλαΐην.

Ἀάνθα: Εἶδος ἐνωτίου παρὰ Ἀλκμᾶνι ἢ Ἀριστοφάνει.

Ἄαπτος: Ἀβλαβής. Ἡρωδιανός φησιν ὅτι γίνεται ἀπὸ τοῦ ἰάπτω τὸ βλάπτω, καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα κατ' ἔλλειψιν τοῦ ι ἄαπτος, ὃν οὐδεὶς δύναται βλάψαι, ἢ οὐ κατὰ στέρησιν ἐκληπτέον τὸ α ἀλλὰ κατ' ἐπίτασιν, ἵν' ᾖ ὁ μεγάλα δυνάμενος βλάπτειν. ὅθεν παρ' Ὁμήρῳ αἱ ἄαπτοι χεῖρες. Ἀριστοφάνης δὲ ἐν ταῖς γλώσσαις ἀέπτους γράφει διὰ τοῦ ε, οἱονεὶ ἀρρήτους, ἃς οὐ δύναταί τις εἰπεῖν, ἢ δυσπαρακολουθήτους, αἷς οὐ δύναταί τις ἕπεσθαι· καὶ ἄλλως χεῖρες ἄαπτοι καὶ ἀπροσπέλαστοι, ὧν οὐκ ἂν ἅψαιτό τις.

Ἀβακίζω: Ἀνακρέων· "ἐγὼ δὲ μισέω πάντας οἱ χθονίους "ἔχουσι ῥυμοὺς καὶ χαλεποὺς μεμαθήκασιν, ὡς μεγίστη τῶν "ἀβακιζομένων," ἀντὶ τοῦ τῶν ἡσύχων καὶ μὴ θορυβηδῶν.

Ἀβάς: Ὁ εὐήθης, καὶ ἴδια νόσος παρὰ Ταραντίνοις.

Ἄβας: Σοφιστὴς ὁ ἴστο κατὰ ὑπομνήματα καὶ τέχνην ῥητορικὴν κατέλιπεν.

Ἀβήρ: Οἴκημα, ταμεῖον, Λακῶνες.

Ἀβάλη: Τὸν ἀχρεῖον Λακῶνες· οἱ δὲ τὸν νωθρόν.

CODEX 2669.

ΛΕΞΙΚῸΝ ΚΑΤᾺ ΣΤΟΙΧΕΙ͂ΟΝ ΤΗ͂Σ ἙΛΛΗΝΙΚΗ͂Σ ἉΠΆΣΗΣ ΦΩΝΗ͂Σ.

Fol. 1. l. 2. Ed. Phav. Αλφειν γὰρ τὸ εὑρίσκειν ἢ τὸ ἀμείβειν.

3. Καὶ πολὺ κεχηνός.

Ἀκοίτης τὸ ἀρσενικόν.

6. Ποιητικῶς ὁ ὀλιγομαθὴς om.

8. Σπάρος μὲν ὁ ἰχθύς.

14. Ἔν τισι καὶ τὰ ὅσα.

Fol. 1. v. l. 5. Ὡς διπλασιάζον ἢ διπλάζον.

Κατὰ τὸ ἀνάπειρος.

ἌΒΑΝΑ: Τὰ ῥόδα Μακεδόνες.

Ἀντὶ τοῦ τῶν ἡσύχων.

Ἀβάλαι ἀντὶ τοῦ φεῦ.

Fol. 2. l. 15. Οὕτω καὶ παρὰ τὸ βάλλω.

Ἀβελτεροκόκυξ.

ἌΒΕΝΑ: Ἡ ἄβηνα Ῥωμαϊστί.

ἈΒΔΊΑ: Καὶ ἄβδηρα ἡ θάλασσα. ἔστι καὶ ὄνομα πόλεως, καὶ τὸ ἐθνικὸν Ἀβδηρίτης.

ἌΒΟΡΑ: Ὄνομα πόλεως.

ἌΒΟΛΛΑ: Πόλις Σικελίας, τὸ ἐθνικὸν Ἀβολλαῖος.

ἈΒΔΈΛΥΚΤΑ: Τὰ μὴ μιαίνοντα, ἃ οὐδεὶς βδελυχθείη. τραγικωτέρα δὲ ἡ λέξις.

καὶ μὴν φιλῶ γὰρ ἀβδέλυκτά μοι τάδε.

ἈΒΆΚΑΙΝΟΝ: Πόλις Σικελίας. οὐ δύναται τὸ ἐθνικὸν Ἀβακαινῖνος, ὡς Ἀκραγαντῖνος, Βρεντεσῖνος, Ἀσαρῖνος.

ἌΒΙΚΤΟΝ: Τὸ ἐκ μέρους ἀκοῦον, ἢ τὸ ἀνύστακτον.

ἈΒΛΗΧΡΌΝ: Ἀσθενὲς κατ᾽ ἐπίτασιν τοῦ α. βληχρὸν γὰρ τὸ ἀσθενές. λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ ἰσχυροῦ, οἷον ποτὲ μὲν τὸ καταβάλλειν εἰς γῆν καὶ δύνασθαι ἀναιρεῖν, ποτὲ δὲ τὸ καταβάλλεσθαι εἰς γῆν.

ἈΒΑΣΆΝΙΣΤΟΝ: Τὸ ἀνεξέταστον. τὸ ἀγύμναστον.

ἈΒΟΥΛΌΤΑΤΑ: Ἀμαθῶς. "Ὁ δὲ οὐ σφόδρα στοχαζόμενος "τῆς τοῦ βασιλέως γνώμης, ἀβουλότατα διεπράξατο."

Ἀγαστός: Παρὰ τὸ ἄγω, ὡς σκεδῶ σκεδάζω, οὕτως ἀγῶ ἀγάζω. ἐκ τοῦ ἀγῶ ἄγημαι ἄγαμαι.

Ἀγάστρτος: Ἀκάθαρτος.

Ἀγέρωχος: Ὑπερόπτης, ὑβριστὴς, ὑπερήφανος, παρὰ τὸ ἄγαν αὐχεῖν, ἢ ὁ ἔντιμος καὶ ἀνδρεῖος, παρὰ τὸ ἄγαν γερωχεῖν. καί τινες τῶν σοφῶν, τοὺς ἄγαν ἐντίμους αὐχεῖν ἔλεγον, ἀπὸ τοῦ ἄγαν γερουχεῖν, τὸ γέρας ὀχεῖσθαι. ἔνιοι δὲ τῶν γλωσσογράφων, ἰδίως τοὺς νησιώτας εἶπον ἀγερώχους καλεῖσθαι, διὰ τὸ ἐπεισάκτῳ τροφῇ κεχρῆσθαι αὐτοὺς, ἀπὸ τοῦ ἀγείρειν τροφὰς, ἤγουν συνάγειν. ὀχὴ γὰρ λέγεται ἡ τροφὴ παρὰ τοῖς πολλοῖς τῶν σοφῶν, ἐκ τοῦ ἔχειν καὶ διακρατεῖν τὸ ζῶον.

Ἀγάθαρχος: Ὄνομα κύριον. ἦν δεξιογράφος ἐπιφανὴς, Εὐδήμου υἱὸς, τὸ γένος Σάμιος.

Ἀγαθοκλῆς: Οὗτος ἐγένετο τύραννος, καὶ ὡς λέγει Τίμαιος, κατὰ τὴν πρώτην ἡλικίαν, κοινὸς πόρνος, ἕτοιμος τοῖς ἀκρατεστάτοις.

Ἀγαλαιόν: Ὄνομα ὄρους.

Ἀγανοῖς: Προσηνέσιν, ἀπὸ τοῦ ἄγω καὶ τὸ αἰνεῖσθαι. ὅθεν καὶ ἀγανὴ, ἢ ἀπὸ τοῦ ἀγάζω τὸ θαυμάζω.

Ἀγαλματοποιοί: Χειρουργοὶ ἀκριβεῖς.

Ἀγαπήνορος: Τὴν ἀνδρείαν ἀγαπῶντος.

Ἀγαπητός: Ὁ ἠγαπημένος, ἢ μονογενής.

Ἀγέλιος: Οὗτος ἐπὶ Οὐάλεντος ἦν Κωνσταντινουπόλεως ἐπίσκοπος, βίον ἀποστολικὸν βιοὺς, ἀνυπόδετος γὰρ διόλου διῆγεν. ἑνὶ δὲ χιτῶνι ἐκέχρητο, τὸ τοῦ Εὐαγγελίου φυλάττων ῥητόν.

Ἀγκυλομήτεω: Σκολιὰ βουλευομένου, ἀπὸ τοῦ ἀγκύλου καὶ τοῦ μῆτις ἡ βουλὴ, γέγονεν ἀγκυλομήτου κοινῶς, Δωρικῶς ἀγκυλομήταο, καὶ Ἰωνικῶς ἀγκυλομήτεω.

Ἀγλευκής: Παρὰ τὸ γλυκὺς, καὶ πλεονασμῷ τοῦ ε ἀγλευκής.

Ἄγνος: Φυτὸν, ὅ ἐστι κοινῶς ἡ λυγαρέα, ὃν καὶ λύγον καλοῦσι, παρὰ τὸ τοὺς ἐσθίοντας ἀγόνους τηρεῖν. τινὲς δὲ τὸ κολίανδρον λέγουσι.

Ἁγνός: Ὁ καθαρὸς, παρὰ τὸ ἅζω τὸ σέβομαι, ἅζος ἅγος ἀγανὸς καὶ ἁγνός. τὸν γὰρ ἁγνὸν καὶ ἅγιον πάντες σεβόμεθα.

Ἀγοστῶι: Τῷ ἀγκῶνι. "ἐν ἀγοστῷ συνευεργεσιῶν τῷ προσιόντι λέγω."

Ἀγκών: Ἐν τῇ βασιλικῇ αὐλῇ τοῦ Γελιουμέρους, οἴκημα.

Ἀγών: Παρὰ τὸ ἄγω γίνεται ἀγὼν, ὁ φέρων πολλὴν ὄχλησιν καὶ ἀδημονίαν. σημαίνει δὲ ὁ ἀγὼν πέντε. ἀγὼν ὁ τόπος,

> λείηναν δὲ χῶρον, καλὸν δ' εὔρυναν ἀγῶνα.

ἀγὼν καὶ τὸ πλῆθος.

> λῦτο δ' ἀγών.

ἀγὼν καὶ τὸ ἄθροισμα,

> Ἥρη μὲν μετ' ἀγῶνα νεῶν.

ἀγὼν καὶ τὸ ἆθλον καὶ ὁ ναὸς,

> θεῖον δύσονται ἀγῶνα.

ἀγὼν καὶ ἡ πρὸς τοὺς ἀγῶνας ἄσκησις. ἀγῶνα Ὅμηρος λέγει τὸν τόπον αὐτὸν ἐν ᾧ ἀγωνίζονται.

Ἀγλαόδημος: Λαμπρὸς, τετιμημένος.

Ἀγνώμονες: Οἱ ἀχάριστοι. καὶ ἀγνώμονες οἱ ἀμαθεις παρὰ Πλάτωνι.

Ἀγωγεύς: Ὁ ἐνάγων τὴν δίκην, ὁ διώκων. καὶ ἀγωγεὺς ὁ λῶρος, καὶ ἀγωγὴ τῷ ἱμάντι ᾧ ἄγεται ὁ ἵππος.

Ἀγωγόν: Ἐπακτικὸν, καὶ Πισίδης, "πρὸς τοὺς ἀγωγοὺς ἐτράπη τοῦ Τίγριδος."

Ἀγωνοθέτης: Ὁ ἐν τοῖς σκηνικοῖς, ἀθλοθέτης δὲ ὁ ἐν τοῖς γυμνικοῖς.

Ἀγριόθυμος: Τῇ ψυχῇ ἄγριος· "οἱ δὲ ἐλέφαντι ἀνέτρεχον, καὶ ἐβόων ἀγριαίνοντες."

Ἀγρότας: Ἀγροίκους· "ἀλλ' ὡς πάροινος ἀγρότης ἀνεκλήθης."

Ἀγροιώτης: Ὁ γεωργικὸς λεὼς ὁ ἐν ἀγορᾷ·

> ἀγροιῶτα τῷ δὲ μονοστόρθιγγι Πριήπῳ.

οἱ δὲ Διονύσου· καὶ ὁ πρὸ τῶν θυρῶν κωνοειδὴς κίων ἱερὸς Ἀπόλλωνος.

Ἀγυρισμός: Συναθροισμός· "ὁ δὲ ἐσπούδασεν εἰς τὸ δυνατὸν πρὸς ἀγυρισμὸν, τῆς ἀπορρήτου τῶν θείων θεραπείας."

Ἀγχιβαθής: Ὁ ἐγγὺς βάθους.

Ἀγχένσιος: Ὁ τοῦ Ἀγχιάλου.

Ἀγγελιαφόρος: Ὁ πρέσβης, ἢ ὁ ἐκ διαδοχῆς γραμματοφόρος.

Ἀγχίστροφος: Εὐπερίστροφος.

Ἀγάστορες . . . δίδυμοι, ὁμόγαστροι. οὕτω Λυκόφρων.

Ἄγγαρος: Ὁ ἄγγελος· οὕτως ὁ Ψελλός.

Ἄγγουρος: Τὸ μελίπηκτον.

Ἀγχίνοια: Ὀξύτης νοὸς παραχρῆμα εὑρετικὴ τοῦ μέλλοντος.

Ἀγάπη: Ἄπαυστος πρόθεσις ἐπὶ τῇ φιλίᾳ τοῦ φιλουμένου, καὶ τὸ προτιμᾶν ἑαυτῷ ἀεὶ ἀπόντα καὶ παρόντα τὸν ἠγαπημένον. ἢ ἡ τῶν ἀνθρώπων πρὸς ἀλλήλους συμψυχία.

Ἀγάπη Θεοῦ, ἀπόθεσις παντοίας ἐννοίας πρὸς μόνον τὸν ποθούμενον ἀτενίζουσα, καὶ ἐκεῖ ἀσχολουμένη.

Ἀγιστία καὶ Ἁγιστία: Ἡ καθαρότης, ἁγιωσύνη, πονηρία δὲ ἡ ἀκαθαρσία.

Ἀγυιά: Ῥύμη, ἄμφοδος, παρὰ τὸ ἄγω τὸ πορεύομαι. τινὲς δὲ περισπῶσι τὸ ἀγυῖα ἐπὶ εὐθείας.

Ἁγιότης: Ἡ παντὸς ἄγους ἐλευθερία καὶ παντελὴς, καὶ παντὸς ἄχραντος καθαρότης.

Ἐλευθερία, ἡ παρατήρησις παντὸς μολυσμοῦ.

Ἀγχίθυροι: Ὡς σύνεγγυς τινὲς θύρας, ἀντ' ἄλλης τῇ ἀδηλίᾳ εἰς ἄλλην εἰσάγουσαι.

Ἄγλιθες: Αἱ κεφαλαὶ τῶν σκορόδων. Ἀριστοφάνης,

ὡς ἀρουραῖοι μῦες ὀρύσσετε πασσάλῳ τὰς ἄγλιθας.

Ἀγανάκτησις: Βάρος, ἄχθος.

Ἀγωγή: Ἡ παίδευσις.

Ἀγάθυια: Πόλις Φωκίδος, ὁ πολίτης Ἀγαθεύς.

Ἀγάπη: Ἀπόθεσις παντοίας ἐννοίας. παρὰ τὸ ἄγαν πιότητα ἔχειν.

Ἀγελείη: Ἡ Ἀθηνᾶ, ἡ ἄγουσα λείαν ἀπὸ τοῦ πολέμου, ὅ ἐστιν ἡ λαφυραγωγός.

Fol. 7. l. 28. Διάζευξις τῶν ἐγνωκότων καὶ ἐγνωσμένων, νοούντων καὶ νοουμένων. ἢ ἡ τῆς κατὰ γνῶσιν ἐνεργείας ἀναίρεσις.

Fol. 9. v. 31. Φόβος πτώσεως ἢ ἥττης· ἢ ἐπὶ τοῦ εἰς ἀγῶνα μέλλοντος ἀπιέναι. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ ἁπλοῦ φόβου.

Ἀγκοίνη: Ἀπὸ τοῦ ἀγκῶνος, ἀγκώνη καὶ ἀγκοίνη, ἡ ἀγκάλη.

Ἀγκύλη: Τὸ ὄπισθεν τοῦ γόνατος, ἢ τοῦ ἀγκῶνος ἡ κάμψις.

Ἀγαθοθέλεια: Ἡ τῶν ἀγαθῶν ἐκλογή· "οὐκ ἀρκεῖ τοῖς "πράγμασιν ἡ ἀγαθοθέλεια μόνον, ἀλλὰ δεῖ καὶ ῥώμης καὶ εὐεπι- "στρεφυίας."

Ἀγελαία: Σταφυλὴ, ἡ εὐτελὴς καὶ μικρά.

Fol. 5. v. l. 20. Ἀγὴ δὲ ἡ κλάσις τοῦ κύματος, ἀπὸ τοῦ ἄγω, ὃ σημαίνει τὸ κλῶ.

Ἀγάθυρσος πόλις Σικελίας· τὸ ἐθνικὸν Ἀγαθυρσαῖος.

Ἄγρος: Ἡ ὀδύνη· ἐκ τούτου τὸ ἀγγρίζειν, ὅ ἐστι τὸ ὀδυνᾶν.

Ἀγκύλη: Εἶδος ἀκοντίου. σημαίνει δὲ καὶ ἔργον τί τῆς σκηνῆς τοῦ Μωσέως.

Ἀγλαομήτια: Ἡ μεγάλη καὶ λαμπρὰ βουλή.

Ἀγλαΐα: Λαμπρότης.

Ἀγονία: Ἡ ἀτεκνία, ἢ ἡ ἀκαρπία· "διεφθείρετο ἡ νεολαία, "καὶ ἦν ἀγονία."

Fol. 7. v. l. 2. Τῶν ἐπὶ νεκροῖς χεομένων θυσιῶν.

Ἀγοράς: Ὑπερίδης, ἀντὶ τοῦ συνόδους. "οὗτοι πολλάκις ἀγο- "ρὰς ποιοῦνται."

Ἀγωγή: Φορὰ τινῶν, ὃ καὶ παρακομίζειν λέγεται, ὡς λέγεται σίτου ἀγωγὴ ἢ οἴνου.

Ἀγορά: Τὸ πωλητήριον, τὸ βούλευμα· τὰ ἐν ἀμφοτέροις λαλιᾶς, καταχρηστικῶς καὶ πᾶσαν ἀπὸ τούτων λαλιάν. ἀγορὰ λέγεται καὶ τὸ ἀγοραζόμενον πρᾶγμα, καὶ τὸ νόμισμα δι' οὗ ἀγοράζεται.

Ἀγοτέρας: Ἀγρίου, ἐν ἐπιγράμματι·

τοῦτό σοι ἀγροτέρης Διονύσιος αὐτὸς ἐλαίης
θῆκε ῥόπαλον.

Ἀγχιστεῖαν: Καὶ τὴν μετουσίαν τῆς οὐσίας, "νόθῳ μὴ εἶναι "ἀγχιστεία."

Fol. 9. v. l. 2. Αἱ γυναῖκες. ἡ ἄγχουσ' οὐ δυνήσει καὶ τὸ σὸν ψιμμίθιον.

Fol. 3. v. l. 50. Ὡς ὁ ἀπόστολος· "ὅτι καὶ αὐτοὶ μεστοὶ "ἐστὲ ἀγαθοσύνης." τὸ δὲ μεστοὶ ἐπιτάσεως ἐστὶ ῥῆμα.

Fol. 6. v. l. 34. Ἢ Ἀγκυριεὺς ὡς Κιτιεὺς, ἢ Ἀγκυριανὸς, ὡς Ἀνδριανός.

Ἀγάλματα : Ξόανα, ἀνδριάντες, παρὰ τὸ ἀγάλλω, τοῦτο παρὰ τὸ ἀγλαὸν, τοῦτο παρὰ τὸ αἴγλη.

Ἀγκύλον : Παρὰ τὸ ἄγω γίνεται. σημαίνει δὲ τρία, τὸ σκολιόν.

Ἁγίασμα : Ὁ θεῖος ναός. Δαβίδ· "ἐγεννήθη Ἰουδαία ἁγί-" ασμα αὐτοῦ."

Fol. 7. r. l. 42. Ἄγκεσι θηροτόκοις. καὶ ἐν ἑτέρῳ. "ποσὶ δ' " αὖ ἐλθεῖν ἄγκος ἐς ὑψικάρηνον ἐδίζετο."

Fol. 4. v. l. 3. Ἀγγεῖον παρὰ τὸ ἄγειν δι' ἑαυτοῦ καὶ φέρειν τί.

Ἄγκιστρον : Παρὰ τὸ ἄγω ἄγιστρον καὶ ἄγκιστρον.

Ἅγια ἁγίων : Ἅγια τὰ ἐντὸς τοῦ καταπετάσματος. ἁγίων τῶν ἐκτὸς τοῦ καταπετάσματος.

Ἀγώγιον : Τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης. οὕτω Ξενοφῶν.

Ἀγωγίμων : Φορτίων βασταζομένων, ἢ ἐμπορικῶν. "αὐτοὺς " μὲν τοὺς ἐμπόρους ἀπαθεῖς κακῶν ἀποσῶσαι, τὰ δὲ ἀγώγιμα " ἀνασώσασθαι."

Ἀγαλλίαμα : Καύχημα, δόξασμα, χαροποίημα.

Ἀγχίαλον : Παραθάλασσον.

Ἀγλευκές : Τὸ ἀηδές. καὶ ἀγλευκέστερον.

Ἄγμασι : Κλάσμασι, τροπαῖς. "ἄγματα ἀμφορέων ἐς τὰ " ἑλώδη τῶν χωρίων λάθρα ἐμβεβλήκεσαν."

Ἀγραφίου δίκη : Τῶν ἐκ καταδίκης ὠφληκότων τῷ δήμῳ, γράφουσι τὰ ὀνόματα ἐν σανίσιν οἱ κατὰ καιρὸν περὶ τούτων διοικοῦντες, προστιθέντες ἀνὰ πόσον ἐστὶ τὸ ὄφλημα.

Ἀγράφου Μετάλλου δίκην .οἱ τὰ ἀργύρια μέταλλα ἐργαζόμενοι, ὅπου βούλοιντο καινοῦ ἔργου ἄρξασθαι, φανερὸν ἐποιοῦντο τοῖς ἐπ' ἐκείνοις τεταγμένοις ὑπὸ τοῦ δήμου, καὶ ἀπεγράφοντο τοῦ τελεῖν ἕνεκα τῷ δήμῳ, εἰκοστὴν τετάρτην τοῦ καινοῦ μετάλλου. εἰ οὖν ἐδόκει λάθρα ἐργάζεσθαι μέταλλον τὸν μὴ ἀπογραφόμενον, ἐξῆν τῷ βουλομένῳ γράφεσθαι καὶ ἐλέγχειν.

Ἀγώνισμα : Σπουδὴν, ἐπιμέλειαν. "ἀγώνισμα τίθεται συλ-" λαβεῖν αὐτόν." καὶ Ἀριστοφάνης,

λαβεῖν τ' ἀγώνισμα ἄξιόν τι τῆς ὁδοῦ ἔπαθλον.

Ἀγαθός : Τὸ ἄκρως ἀγαθὸν μόνου Θεοῦ, κἂν τοῦτο καὶ ἀνθρω-

ποι ὀνομάζονται κατὰ χάριν τούτου μετέχοντες. ὅπερ οἶμαι δηλοῦν, καὶ τὸ, "ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ προβάλλει τὸ ἀγαθόν." καὶ πρὸ τούτου πρὸς Σαοὺλ περὶ Δαβὶδ ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν, "καὶ δώσει τὴν βασιλείαν τῷ ἀγαθῷ "ὑπὲρ σέ."

Ἄγειν: Ἐπὶ ἐμψύχων, φέρειν ἐπὶ ἀψύχων.

Ἀγηόχασι: Ἤνεγκαν, παρ' οὐδενὶ εὑρίσκεται τῶν ἀκριβῶν, ἀγηόχασι, ἀλλ' ἐν ἐπιστολῇ Φιλίππου τοῦ Μακεδόνος. οἱ δόκιμοι δὲ περὶ τὴν διάλεκτον, ἦχα, συνῆχα, ἐξῆχα λέγουσιν.

Ἁγιασθήτω: Ἀντὶ τοῦ δοξασθήτω.

Ἁγιάσαι: Καρπῶσαι, καῦσαι ἁγίως.

Ἀγάλλων: Ἑαυτὸν σεμνοποιῶν ἢ χαίρων.

Ἀγαίομαι: Φθονοῦμαι.

Ἄγε δῆτα, φέρε, κόμιζε δεῦρο. "Διόγενες ἄγε λέγε τίς σε "λώβησε μόρος; ἐς ἄϊδος ἔλαβέ με κυνὸς ὀδαξόν."

Ἀγηλατεῖν: Διώκειν, φυγαδεύειν, ἐπιτάττειν, Ἡρόδοτος, ἀντὶ τοῦ ὑβρίζειν.

Ἀγνοῶ: Παρὰ τὸ νοῶ, καὶ πλεονασμῷ τοῦ γ γνοῶ, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀγνοῶ.

Ἀγορεύω: Παρὰ τὸ ἀγορὰ, τοῦτο παρὰ τὸ ἄγω καὶ τὸ εἴρω τὸ λέγω, ὁ πρὸς τὸ λέγειν συναθροιζόμενος.

Ἁγιάσαι: Καὶ καθαγιάσαι τὸ καρπῶσαι.

Ἀγγυΐσας: Ἀντὶ τοῦ καταπαλαίσας.

Ἀγωνίζεσθαι: Παρὰ πράγματος, καὶ ἀγωνίζεσθαι περὶ πρᾶγμα. "ἀνάγγειλον ἡμῖν πῶς τὸ πρᾶγμα ἠγωνήσω."

Ἀγοράσω: Λέγουσι τὸ διαγορῶ, βάρβαρον.

Ἀγχάσας: Ἀναχλάσας, ἀνακουφίσας, ἀναβαστάσας.

Ἀγώμενος: Θαυμαζόμενος. ἀγόμενος δὲ ὁ φερόμενος, τὸ ο μικρόν.

Ἀγωνιῶ: Τὸ κινδυνεύω καὶ τὸ φοβοῦμαι, Πολύβιος, "πολ"λαὶ δὲ πόλεις προσεπίθετον τῶν μεσογαίων τοῖς Ῥωμαίοις, ἀγω"νιῶσαι τὰς πεζικὰς παρατάξεις καὶ δυνάμεις."

Ἀγωνιῶν: Δεδιὼς, "ἀγωνιῶν δὲ τὴν ἀθεσίαν τῶν Κελτῶν καὶ "τὰς βουλὰς τὰς περὶ τὸ σῶμα."

Ἀγρόμενοι: Συναθροιζόμενοι καὶ συναθροίζοντες, ἀγρόμενοι

πᾶς δῆμος. σύνταξις πρὸς σχῆμα ὁ δῆμος ἀγρόμενοι, ἐπεὶ ὁ δῆμος πλῆθος σημαίνει.

Ἀγρώσσω: Τὸ ἀγορεύω, Ὅμηρος,

ἰχθῦς ἀγρώσσων.

Ἀγχονῆσαι: Πνίξαι. ἀπαγχονίσαι δὲ ἰῶτα.

Fol. 5. v. l. 26. Κοσμῆσαι, καὶ εἰς ἄγασιν καὶ χαρὰν ἀγαγεῖν.

Ἀγαπᾶιν: Ὅπερ ἐστὶν ἐξ ἀγάπης, λέγεται δὲ καὶ τὸ ἀρκεῖσθαι καὶ πικραίνεσθαι.

Ἀγνωμόνως: Ἀχαρίστως, ἀνοήτως, ἢ ἀμαθῶς, παρὰ Πλάτωνι.

Ἀγηράτως[a]: Ἐλαύνοντα, ἀντὶ τοῦ πάνυ ἐλαύνοντα. οὕτω Ξενοφῶν.

Ἀδεῖς: .... Ἀδεὴς δὲ, ὁ ἄφοβος. γράφεται καὶ ἀδειὴς πλεονασμῷ τοῦ ι.

Ἀδιάκριτος: Ἀδιαχώριστος. λέγεται δὲ καὶ ἐπὶ τῶν μὴ γινωσκόντων τὰ δεόντα, ἢ ἀφρόνως φλυαρούντων.

Ἀδέκαστος: Ὁ μὴ δεχόμενος πρόσωπον ἢ δῶρα.

Fol. 10. r. Ἀδερκὴς καὶ ἀδρακὴς τυφλός.

Ἀδευκής: Ὁ ἀπροσδόκητος καὶ ἄγνωστος, παρὰ τὸ δήκω τὸ δεικνύω, δεικὴς καὶ ἀδηκὴς, καὶ τροπῇ τοῦ ι εἰς υ ἀδευκὴς, καὶ ἀδευκείο τοῦ πικροῦ καὶ ἀπεοικότος. δεῦκος γὰρ τὸ γλυκὺ, ὅθεν καὶ Πολυδεύκης ἐκλήθη.

Ἀδελφιδοῦς: Ὁ ἀνεψιὸς, ἰστέον ὅτι τὰ εἰς δους λήγοντα, εἰς ου ἔχει τὴν γενικὴν, οἷον ἀδελφιδοῦς ἀδελφιδοῦ, θυγατριδοῦς θυγατριδοῦ. γεγόνασι δὲ ἀπὸ τοῦ θυγατρίδεος καὶ ἀδελφίδεος κατὰ κρᾶσιν. οὐχ ὥς τινες λέγουσι τὸ ἐναντίον, ἀπὸ τοῦ ἀδελφιδοῦς ἀδελφίδεος. οὐδέποτε γὰρ εὐθεῖα διαλύεται. τὸ γὰρ εἰς εης πλεονασμὸν ἔχει τοῦ ε. πρὸς δὲ τοὺς λέγοντας ὅτι εἰ γέγονε τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς ἀπὸ τοῦ ἀδελφίδεος, ἔδει ὀξύνεσθαι, λέγομεν, ὅτι πρὸς τὸν χαρακτῆρα τῶν εἰς ους ἁπλῶν περισπωμένων.

Ἄδερ: Οὗτος ὁ ἀλιτήριος ἐπανέστη τῷ Σολομῶντι. παῖς δὲ ἦν Ἰδουμαῖος τὸ γένος, ἐκ βασιλικῶν σπερμάτων, κατέστρεψε δὲ τὴν Ἰδουμαίαν Ἰωάβου τοῦ Δαβὶδ στρατηγοῦ.

[a] Leg. ἀνὰ κράτος.

Ἀδέρκων: Πόλις Ἰβηρίας, ὁ πολίτης Ἀδερκωνίτης, ὡς Ἀσκαλωνίτης.

Ἀδράμυττις: Νῆσος κατὰ τὴν Λυκίαν, τὸ ἐθνικὸν Ἀδραμυττίτης, ὡς Ναυκράτης Ναυκρατίτης.

Fol. 11. r. l. 54. Ὁ μήπω ἐγγεγραμμένος. οὕτω Λυσίας.

Ἀδόκιμος: Ἀδοκίμαστος, καὶ ὁ ἀπόβλητος.

Ἀδωνίδιος Καρπὸς, ὁ τοῦ Ἀδώνιδος, ὅ ἐστι τοῦ ἅδου, ἡ εὐθεῖα ὁ Ἄδωνις τοῦ Ἀδώνιδος.

Ἀδραστίδης: Κύριον.

Ἀδινάων: Παρὰ τὸ ἅδην, ὃ σημαίνει τὸ πλῆρες ἢ τὸ ἀδιαλείπτως, γέγονεν ἀδινὸς, τὸ θηλυκὸν ἀδινὴ, καὶ ἀδινῶν καὶ ἀδινάων. τὸ δι ἰῶτα, διατί; τὰ εἰς νος ὀξύτονα ἀπὸ ἐπιρρημάτων γινόμενα, διὰ τοῦ ι γράφονται, οἷον πρίκαποι κοινὸς[b], ἅδην ἀδινός.

Fol. 11. v. Ἀδύνατοι,...δοκιμασθέντες ὑπὸ τῆς βουλῆς οἱ μὲν ἐφ' ἑκάστης ἡμέρας. Φιλόχορος δὲ φησὶ δραχμὰς κατὰ μῆνα.

Ἅδης Θανάτου διαφέρων, ὅτι ὁ μὲν ψυχὰς κατέχει, ὁ δὲ σώματα.

Ἄδωνις: Παρὰ τὸ ἄδω τὸ ψάλλω, ἢ παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι.

Ἀδικία: Ἕξις παροπτικὴ τοῦ δικαίου, ἡ κίνησις ἐν τῷ αὐτῷ πολυχρόνου θυμοῦ καὶ ἐπιθυμίας, τοῦ μὲν τοῖς παροῦσιν ὀργιζομένου, τῆς δὲ ἐφιεμένης τῶν μὴ παρόντων.

Ἀδράστεια: Ὄνομα κύριον, καὶ ἡ νέμεσις, καὶ τόπος μεταξὺ τοῦ Πριάπου καὶ τοῦ Παρίου.

Ἀδελφιξία: Ἡ κοινωνία, καὶ ἀδελφὸν, τὸ κοινόν.

Ἀδμενίδες: Αἱ δοῦλαι, οἶμαι δὲ ὅτι ἀδαμυλίδες θέλει γράφεσθαι.

Ἀδρήνη: Πόλις Θρᾴκης.

Ἀδρία: Πόλις, καὶ παρ' αὐτῆς κόλπος Ἀδρίας. ἡ χώρα δὲ τοῖς βοσκήμασιν ἐστὶν ἀγαθὴ, καὶ δὶς τίκτειν τὸν ἐνιαυτὸν, καὶ διδυμοτοκεῖν, πολλάκις δὲ καὶ τρεῖς καὶ τέσσαρας ἐρίφους τίκτειν. ὁ πολίτης Ἀδριανὸς, ὡς Ἀσία Ἀσιανὸς, καὶ Ἀδριάνης Ἀττικῶς.

Ἀδιαβηνή:......καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν. ἐκεῖ ἐστὶ καὶ ἡ Νινευί. τοσαύτην δὲ ἀσφάλειαν ποιεῖ τοῖς κτίσμασιν ἡ ἄσφαλτος, ὥστε ταῖς ὀπταῖς πλίνθοις καὶ τοῖς λοιποῖς λίθοις συμμιγεῖσα, ἰσχυροτέρα γίνεται παντὸς σιδήρου. ἐκεῖσε δὲ ἐστὶ

[b] Leg. πύκα πυκινός. Cf. Etym. M. v. ἀδινός.

καὶ τὸ ἄορνον στόμιον, ἐξ οὗ δεινὸν πνεῦμα ἀναδίδοται, ὥστε πᾶν μὲν ἐπίγειον ζῶον, πᾶν δὲ πτηνὸν ἀποφθείρειν, καὶ εἰ πρὸς τὸ τυχὸν ὀσφρήσαιτο. καὶ εἰ ἐσκεδάννυτο, οὐκ ἂν ᾠκίσθη ὁ χῶρος· ἀλλὰ κατ' εὐθεῖαν ἄνεισι, καὶ ὀλίγον ἀνερχόμενον, πάλιν ἀντανακλᾶται. καὶ ἐκ τούτου τά τε ἐν ὑψηλοτέρῳ τόπῳ πετόμενα σώζεται, καὶ τὰ πέριξ νεμόμενα. ὁ πολίτης Ἀδιαβηνός.

Ἀδικοδοξία: Παράλογος *λοιδορία. "ὁ δὲ στρατηγὸς οὐ "δυνάμενος ἐνεγκεῖν τὴν ἀδικοδοξίαν τῶν ταῦτα λεγόντων."*

Ἀδμωλία: Ἀδμολία, *καὶ ἄγνοια, παρὰ* Καλλιμάχῳ, *παρὰ τὸ εἴδω τὸ γινώσκω, ἴδμων ἴδμονος, ἰδμονία καὶ ἀϊδμονία, καὶ συγκοπῇ καὶ τροπῇ, ἀδμολία.*

Ἀδορατία:...*κυρίως δὲ ἡ ἀργία. ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ δόρατος, ὅ ἐστι τοῦ κονταρίου.*

Ἀδωνίαν *ἄγομεν, ὅ ἐστι στερούμεθα τοῦ* Ἀδώνιδος. Ἀδωνίαν *ἄγομεν, καὶ τὸν* Ἄδωνιν *κλαίομεν.*

Ἄδρησις: Ἡ *ἀδρόασις, ἡ ἀπραξία.*

Ἀδημονία: Ἐπικράτεια *θλίψεως παρατεταμένη.*

Ἀδήριτον:...*ἀφιλονείκητον. δῆρις γὰρ ἡ φιλονεικία.*

Ἀδαλές: Ὑγιές.

Ἀδινόν:...*λεπτόν. ἢ τὸ πυκνὸν καὶ τὸ συνετόν.*

Ἄδοξον: Εὖχος, *ἄτιμον καύχημα.*

Ἀδιεξίτητον: Τὸ *ἀδιεξέλευστον.*

Ἄδορον: Τὸ *ἀνέκδαρτον.*

Ἀδύνατον:...*οἷον ἡ γῆ ἵπταται. "ἀδύνατα ἔχοντος τοῦ στρα-"τηγοῦ κῦβον ἀναρρίψαι πολέμου τοσούτου."*

Ἀδνούμιον: Ἀδιαλώβητον, *ἀβλαβές.*

Ἀδιεξίτητον: Καὶ *ἀδιεξέλευστον, ἀπόρευτον.*

Ἀδαΐον: Ἄκαυστον.

Ἀδεινῶς *ἀρέσαι, ἀπὸ τοῦ ἅδω τὸ ἀρέσκω.*

Ἀδηξῆσαι: Κνῆσαι, *λυπῆσαι.*

Ἀδελφίζειν: Ἀντὶ *τοῦ ἀδελφὸν καλεῖν, οὕτως* Ἰσοκράτης, *καὶ ὁ* Μιλήσιος Ἑκαταῖος, *καὶ* Ἀπολλοφάνης *ἐχρήσαντο.*

Ἀδιαστὴ: Χωρὶς *μαθήσεως, ἢ χωρὶς μερισμοῦ.*

Ἀδορεί: Ἀνεκδαρτί. *ἀδωρὶ δὲ, χωρὶς δώρων, μετὰ τοῦ ι.*

Ἀδηρίτως: Ἀμάχως, *ἀφιλονείκως.*

Ἀδεή: Ἀφόβως.

ἈΔΟΓΜΑΤΊΣΤΩΣ: Ἀναμφιβόλως.

ἈΕΛΛΌΠΟΥΣ: Ταχύτατος.

ἈΕΣΊΦΡΩΝ: Ὀξύφρων ἢ ὁ ματαιόφρων.

ἈΈΤΙΟΣ: Ὄνομα κύριον. οὗτος ἐξ Ἀντιοχείας τῆς Συρίας εἷλκε τὸ γένος, διδάσκαλος γεγονὼς Εὐνομίου, ἀπὸ πενιχρῶν καὶ εὐτελῶν γονέων ἐτύγχανεν, ᾧ τινι ἀνάθεμα ἐγὼ φημί.

ἈΕΊΤΗΣ: Ὁ ἑταῖρος, ἀπὸ τοῦ ἀεί.

ἈΕΡΓΗΛΉ: Ἀργὴ, ἄπρακτος, "τρομερῷ γήραϊ κάμνων ἀεργηλὰς ἀνέθηκε κορύναν."

ἌΕΛΛΑΙ: Πνοαὶ ἀνέμων, ἢ ἄτακτα πνεύματα καὶ καταιγῖδες, ἢ μεγάλαι συστροφαὶ, αἳ ἄγαν ἤλουσαι. ἢ παρὰ τὸ ἄω τὸ πνέω, ὁ μέλλων ἀήσω καὶ ἀέσω, καὶ ἐξ αὐτῶν ἄελλα, πλεονάσαντος ἑτέρου λ.

ἈΕΡΊΑ: Ἡ Αἴγυπτος.

ἈΕΤΊΓΕΝΝΑ: Πόλις οὕτω καλουμένη.

ἈΕΙΚΊΑΣ: Τὰς ἀπρεπεῖς ὕβρεις, τὰς ὑβριστικὰς αἰσχύνας, ἀπὸ τοῦ αἰκίας, πλεονασμῷ τοῦ ε, ἀεικίας.

ἈΕΙΛΟΓΊΑ: Τὸ ἀεὶ λόγον καὶ εὐθύνας ὑπέχειν. οὕτω Δημοσθένης καὶ Ἰσαῖος.

ἈΕΊΔΕΛΟΝ: Ἀφανές. εἴδω τὸ γινώσκω, ᾧ ἀντιπαράκειται τὸ εἶδα γίνεται ἔηδελος, ὡς πέμπω πέμπελος, καὶ ἐν συνθέσει ἀείδελος, ὡς Ἡσίοδος περὶ Αὐτολύκου,

ὅττι καὶ χερσὶ λάβεσκεν, ἀήδελα πάντα τίθεσκεν.

ἈΗΓΎΒΕΡΣΟΝ: Ἀντὶ τοῦ ἀκούσατε, Ῥωμαϊκὴ ἡ λέξις.

ἈΕΡΟΤΌΜΑ: Τὰ πετεινὰ τοῖς πτεροῖς τέμνοντα τὸν ἀέρα.

ἈΕΙΚΊΖΕΙ: Ἀπολύει, φθείρει. οἱ δὲ ἀντὶ τοῦ αἰκίζεται.

ἈΈΛΠΤΩΣ: Ἀνελπίστως.

ἈΈΝΝΑΟΣ: Ὁ ἀεὶ νάων καὶ ῥέων. "ὁ δὲ Ἰουστινιανὸς ὥσπερ ποταμὸς ἀέναος ἐδώρει τοὺς ὑπηκόους."

ἈΖΕΛΜΊΑΚΟΣ, ἈΖΉΔΗΣ, ἈΖΉΪΟΣ, ἈΖΗΝΑ͂, ἈΖΟΝΕΥ͂Σ, καὶ ἊΖΩΝΟΣ: Ὀνόματα κύρια.

ἈΖΗΧΈΣ: Τὸ ἀδιάλειπτον, τροπῇ τοῦ δ εἰς ζ, ἀδηχὲς γὰρ, ἄδην δὲ ἐστὶ τὸ ἀδιάλειπτον.

ἌΖΩ: Τὸ σέβομαι, δασύνεται.

ἈΖΗΤΩ͂Σ: Σεβαστῶς.

Ἀήρ: Οὐ πᾶσαι αἱ κινήσεις κατὰ φύσιν εἰσίν. παρὰ τὸ ἄω δὲ τὸ πνέω ἀὴρ, ἡ γὰρ κίνησις αὐτοῦ ποιεῖ τὸν ἄνεμον. ἢ παρὰ τὸ αἴρω τὸ κουφίζω, ἀὴρ, κουφίζονται γὰρ ἐν αὐτῷ καὶ αἴρονται τινὰ ζῶα.

Ἀήτης: Παρὰ τὸ ὁρμῶ, ἀείτης δὲ ὁ φίλος, διφθόγγῳ, ἀπὸ τοῦ ἀεὶ εἶναι.

Ἀηδών: Ἀπὸ τοῦ ἀείδω ἀειδὼν, καὶ τροπῇ Αἰολικῶς τῆς ει εἰς η, ἢ μόνου τοῦ ε εἰς η, ἀηδών.

Ἀήμενος: Ὑπὸ ἀνέμων καταπνεόμενος.

Ἀήδιζον: Ἀηδῶς εἶχον. ἰστέον ὅτι τὰ ἀπὸ φωνήεντος...τοῖς ἰδίοις ἐνεστῶσιν, οἷον ἄγω ἄγεν, ἄγε δὲ ἡ μοῖρα βαρεῖα, καὶ ἅψατο δ' ἡμιόνου. καὶ χωρὶς τῶν ἀπὸ προθέσεων ἀρχομένων οἷον ἀναγινώσκω, ἀνεγίνωσκον, ἀνέρχομαι ἀνερχόμην. ἐπὶ τούτων γὰρ ἡ ἀρχὴ τοῦ ἐνεστῶτος ἐφυλάχθη καὶ ἐν τῷ παρατατικῷ.

Ἀθύρας: Ἐπίνειον περὶ τὸ Βυζάντιον, κλίνεται ἰσοσυλλάβως. ὁ πολίτης Ἀθυραῖος, ὡς Ῥήβας Ῥηβαῖος.

Ἄθως—

Ἄθως σκιάζει νῶτα Λημνίας βοός·

βοῦς γὰρ ἵδρυται ἐν τῇ Λήμνῳ. εἴρηται δὲ Ἄθως ἀπὸ τοῦ Ἄθου γίγαντος. τὸ τοπικὸν Ἄθωος χωρὶς τοῦ ι, καὶ Ἀθώους τοὺς ἐνοικοῦντας, τὸ θηλυκὸν Ἀθωΐς, εἴρηται καὶ Ἀθῶος, ὡς τὸ Κῶς Κῶος, καὶ κατὰ συναίρεσιν Ἄθους. ἔστι καὶ Ἀθῶος πόλις ἐπὶ τῷ Ἄθω, ὁ πολίτης Ἀθωΐτης.

Ἄθλος: Τὸ ἀγώνισμα καὶ ὁ πόνος. παρὰ τὸ τλῶ τὸ καρτερῶ, τλος καὶ ἄτλος, καὶ τροπῇ τοῦ εἰς θ ἄθλος. γράφεται δὲ καὶ ἄεθλος, ὡς τὸ, "οὕτω μὲν δὴ ἄεθλος ἄατος."

Ἀθανασία: Ἀΐδιος ζωὴ καὶ αἰώνιος.

Ἀθήναζε: Εἰς Ἀθήνας. Ἀθήνηθεν, ἐξ Ἀθηνῶν.

Ἀθωνίς: Πόλις καὶ Ἀθοΐς.

Ἀθηρηλοιγὸν καὶ ἀθερολογόν: Τὸ λικμητήριον, τὸ διαλέγον καὶ διαθερίζον τοὺς ἀθέρας, ἤτοι τὰ ἄχυρα. γίνεται κατὰ πλεονασμὸν τοῦ ι ἀθηρηλοιγόν.

Ἀθύρματα: Παίγνια, παρὰ τὸ θύω τὸ ὁρμῶ, θύω θύρω καὶ ἀθύρω καὶ ἄθυρμα. ἢ ἀθρήματα τινὰ ὄντα, παρὰ τὸ ἀθρεῖν τινὰ θεάματα.

Ἀθή: Σκληρὸν, ἀδάμαστον, ἀνδρῶδες.

Ἀθρῶν: Μετ' ἐπιτάσεως θεωρῶν, καὶ κατὰ συγκοπὴν καὶ ἐπίτασιν ἀθρῶν. ἢ ἀπὸ τοῦ δρῶ, τὸ βλέπω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀδρῶ, καὶ τροπῇ τοῦ δ εἰς θ ἀθρῶ.

Ἀθερίζειν: Τὸ ἐκπίπτειν καὶ ἀποβάλλειν, ἀπὸ μεταφορᾶς τῶν ἀθέρων τῶν μὴ δυναμένων θερίζεσθαι καρπῶν. οἱ γὰρ λικμῶντες ἐκρίπτουσι τοὺς ἀθέρας, τουτέστι τὰ ἄχυρα. ἐκ τοῦ θέρους θερίζω, καὶ τοῦ στερητικοῦ α ἀθερίζω· τὸ δὲ θέρος παρὰ τὸ θέρω τὸ θερμαίνω, ὁ μέλλων θερῶ καὶ θέρσω Αἰολικῶς, καὶ Θερσίτης καὶ θερμὸς, θέλδεται, διηθεῖται.

Ἀθετεῖν: Τὸ ἀπιστεῖν τὸ διαπαίζειν, οὕτως ὁ Ἀπόστολος, "οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ."

Ἀγορηταί : Σύμβουλοι φρόνημοι.

Ἀγρονόμοι : Οἱ ἐν ἀγρῷ ἢ ἀγροῖς διάγοντες.

Ἀγραυλοί : Οἱ ἐν ἀγρῷ διανυκτερεύοντες.

Ἀγριόθυμος : Ἄγριος τῇ ψυχῇ.

Ἀγροικώτατος : Ἀπαιδευτότατος.

Ἄγρας : Θήρας.

Ἀγρύζει : Ὑβρίζει.

Ἀγριστίναι : Νύμφαι.

Ἄγριος : Θυμώδης, ἄγροικος.

Ἄγραφα : Ἀδικήματα, ὑπὲρ ὧν νόμος οὐ γέγραπται.

Ἀγύρτης : Προσέτης[g] συρφετώδης.

Ἀγυρτικά : Χυδαῖα ψεύσματα.

Ἀγύρτας : Τοὺς συνάγοντας μαντείας, τοὺς ἀπατῶντας.

Ἄγυρις : Ἐκκλησία.

Ἀγυιαί : Ἄμφοδα, αἱ ῥύμαι.

Ἀγχίθυρον : Γείτονα, πλησίον τῆς θύρας.

[f] Leg. ἐπισκοπούντων. [g] Leg. προσαίτης.

ἈΓΧΙΝΎΑΣ[h] : Ὀξυτάτης νοήσεως.
ἈΓΧΙΣΤΕΊΑΣ : Συγγενείας.
ἈΓΧΊΝΟΥΣ : Συνετός.
ἈΓΧΙΣΤΕΎΣ : Ἐγγὺς τῷ γένει.
ἈΓΧΊ : Ἐγγύς.
ἈΓΧΙΤΈΡΜΩΝ : Ὁ γείτων.
ἈΓΧΊΣΤΡΟΦΟΣ : Εὐπερίστροφος.
ἈΓΧΈΜΑΧΟΣ : Ὁ ἐγγὺς μαχόμενος.
ἈΓΧΟΥ͂ : Ἐγγύς.
ἌΓΧΩΝ : Κατέχων, πνίγων.
ἈΓΧΌΜΑΛΟΝ : Εἰσόπεδον ἐγγὺς ἔχων τὴν ὁμαλότητα.
ἈΓΩΓΉΜΩΝ : Φορτίων.
ἈΓΩΓΉ : Τρόπος, ἀναστροφή.
ἈΓΩΝΙΩ͂ : Κινδυνεύω.
ἈΓΩΓΟΙ͂Σ : Τοῖς ἄγουσιν ὁδηγοῖς.
ἈΓΩ͂ΝΑ : Στάδιον.

Τὸ ἌΛΦΑ ΜΕΤᾺ ΤΟΥ͂ Δʹ.

ἈΔΑΗ͂ : Ἄπειρον.
ἈΔΑΜΆΝΤΙΝΑ : Στερρά.
ἌΔΑΣ : Πονηρός.
ἈΔΑΝΌΝ : Ξηρόν.
ἌΔΑΡΚΙΣ : Οὐ βλέπων.
ἈΔΕΩ͂Σ : Ἀφόβως.
ἈΔΜΌΔΗΣ : Ἄπειρος.
ἈΔΕΆΖΩΝ : Ἀναβοῶν, ἀναστένων.
ἌΔΕΙΜΟΝ : Ἄφοβον.
ἈΔΑΛΈΣ : Ὑγιές.
ἈΔΆΜΑΣΤΟΝ : Ἀνυπότακτον.
ἈΔΑΊΟΜΑΙ : Αἰσχύνομαι.
ἈΔΑΩ͂Ν : Ἀμαθῶν.
ἈΔΑΉΜΟΝΑΣ : Ἀμαθεῖς, ἀπείρους.
ἈΔΕΆΖΩ : Ἀναβοῶ, ἀναστένω.
ἈΔΆΚΡΥΤΟΣ : Ἄλυπος.

[h] Leg. ἀγχινοίας.

ἈΔΕΩ͂Σ : Ἀφόβως.

ἈΔΕΚΆΣΤΩΣ : Ἀμερίστως, δικαίως, ἀδωροδοκήτως.

ἊΔΕΙ : Ὑμνεῖ.

ἈΔΕΊΜΑΝΤΟΝ : Ἀνοικοδόμητον.

ἈΔΕΛΦΙΔΌΣ : Ὁ τοῦ ἀδελφοῦ υἱός.

ἈΔΕΛΦΆ : Ὅμοια, παραπλήσια.

ἈΔΕΥΚΈΑ : Πικρά.

ἊΔΕΙΜΟΝ : Ἄφοβον.

ἈΔΕΡΚΈΣ : Ἀόρατον.

ἈΔΗΦΆΓΟΣ : Πολυφάγος γαστρίμαργος.

ἈΔΗΝῸΝ ΚΗ͂Ρ : Ποικνὴν ψυχήν.

ἈΔΙΆΘΡΥΠΤΑ : Ἀμάσητα.

ἈΔΙΑΙΡΈΤΩΝ : Ἀτμήτων, ἀχωρίστων.

ἊΔΙΑ : Ἄνεσις, ἀφοβία.

ἈΔΜΉΤΗΝ : Παρθένον.

ἈΔΊΡΗΤΟΝ[i] : Ἄμαχον, ἀπολέμητον, ἀπόρθητον.

ἈΔΙΆΡΘΡΩΤΟΝ : Ἄσιμον[k], ἀτράνωτον.

ἈΔΙΆΣΤΑΤΟΝ : Ἀδιαχώριστον.

ἈΔΙΑΦΘΟΡΊΑ : Ἀμέλεια χωρὶς παρατηρήσεως.

ἈΔΙΆΚΡΙΤΟΣ : Ἀδιαχώριστος· λαμβάνεται δὲ καὶ ἐπὶ μὴ γινωσκόντων τὰ δέοντα, ἢ ἀφρόνως φλυαρούντων.

ἈΔΑΝΌΝ : Νεκρόν.

ἈΔΌΝΗΤΟΝ : Ἀσάλευτον, ἀτάραχον.

ἈΔΟΛΕΣΧΕΙ͂ : Φλυαρεῖ, ματαιωρίζεται.

ἈΔΌΚΗΤΟΝ : Ἀπροσδόκητος, ἀνυπονόητος.

ἈΔΌΚΗΤΟΝ : Ἄχρηστον, ἀπόβλητον.

ἈΔΟΛΕΣΧΊΑ : Ἡ ἐνκαρδία λύπη ἐπὶ πολύ· λαμβάνεται δὲ καὶ ἐπὶ φλυαρίας.

ἈΔΟΣ : Ἡδονὴ, πλησμονὴ, κόρος.

ἈΔΟΝΉΤΟΥΣ : Ἀσαλεύτους.

ἈΔΡΌΝ : Μέγα, δαψιλές.

ἈΔΡΑΝΈΣ : Ἀσθενὲς, ἀδύναμον.

ἈΔΡΆΝΟΙΤΟ : Αὐξάνοιτο.

[i] Leg. ἀδήριτον. [k] Leg. ἄσημον.

ʽΑΔΡΟΊ : Πλούσιοι.

ʼΑΔΡΑΝΈΩΝ : Μὴ ἐνεργῶν.

ʼΑΔΡΑΝΈΑ : ʼΑσθενῆ, μὴ ἐνεργοῦντα.

ʼʼΑΔΥΤΑ : Τὰ ἐνδότατα, τὰ ἀποκρυφότατα.

ʽΑΔΎΣ : ʽΗδύς.

ʼʼΑΔΥΤΟΝ : Σπήλαιον, ἢ τὸ ἀπόκρυφον μέρος τοῦ οἴκου.

ʼΑΔΩΡΟΔΟΚΉΤΩΣ : ʼΑδωρολήπτως.

ʽΑΔΩΝΑΌΣ : ʽΥπὸ τὸν ἅδην.

ʼΑΔΎΤΩ : Τὸ ὑποκάτω τοῦ ἱεροῦ.

Τὸ Α ΜΕΤᾺ ΤΟΥ̃ Ε.

ʼΑΕΘΛΕΎΩΝ : ʼΑγωνιζόμενος.

ʼΑΘΛΟΦΌΡΟΥΣ : ʼΑγωνιστάς.

ʼΑΈΘΩ : ʼΑπέλθω.

ʼΑΕΙΛΟΓΊΑ : Πολυλογία.

ʼΑΕΊΡΑΣ : ʼʼΑρας, κουφήσας.

ʼΑΕΙΚΈΛΙΟΝ : ʼΑπρεπές.

ʼʼΑΕΙΔΕ : ʼʼΑδε καὶ λέγε.

ʼΑΕΙΘΑΛΛΈΣ : Τὸ πάντοτε θάλλων.

ʼΑΐΩΝ : ʼΑκούων.

ʼΑΕΙΔΊΝΗΤΟΣ : ʼΑεικίνητος, ἀείστροφος.

ʼΑΕΊΡΡΥΤΟΝ : Τὸ ἀεὶ ῥέων.

ʼΑΕΙΚΕΛΊΟΥΣ : Ταλαιπώρους, εὐτελεῖς, οὐδενὸς λόγου ἀξίους.

ʼΑΕΛΛΌΠΟΥΣ : Ταχύτατος, ὀξύπους.

ʼΑΈΝΝΑΟΣ : ʼΑεὶ ῥέων· λέγεται δὲ καὶ ἐπὶ τοῦ ἀεὶ ὄντος ἀϊδίου.

ʼΑΕΡΓΌΣ : ʼΑργὸς, ὀκνηρός.

ʼΑΕΡΟΒΑΤΗ̃Ν : Εἰς τὸν ἀέρα περιπατεῖν.

ʼΑΕΙΡΟΜΈΝΑΙΣ : Κουφιζομέναις.

ʼΑΕΘΛΟΣΎΝΑΣ : ʼΑγωνίας.

ʼΑΕΙΡΑ̃ΤΑΙ : Καταρᾶται.

ʼΑΕΊΣΟΜΕΝ : ʼΑκούσομεν.

ʼʼΑΕΙΜΟΣ : Οἶκος διὰ παντὸς ἀεί.

ʼΑΕΙΔΕΕΙ̃Σ : ʼΑφανεῖς.

ἈΕΙΚΩ͂Σ : Ἀπρεπῶς.
ἈΕΊΡΑΙ : Ἆραι, βαστάσαι.
ἈΕΙΡΌΜΕΝΟΣ : Ἐπαιρόμενος.
ἈΕΊ ΔΈ : Διὰ παντὸς δέ.
ἈΕΊΘΕΣ : Παμφόλυγες.
ἈΕΙΣΈΒΑΣΤΟΣ : Διὰ παντὸς τιμώμενος ἢ σεβόμενος.
ἈΕΚΟΎΣΙΟΝ : Ἄκουσι καὶ μὴ βουλομένοις.
ἈΈΚΟΝΤΑΣ : Κοιμωμένους.
ἈΈΚΟΝΤΟΣ : Μὴ βουλομένου.
ἌΕΛΠΟΝ : Ἀπροσδόκητον.
ἌΕΛΛΑΙ : Ἄνεμοι, πνοαί.
ἈΕΛΛΌΘΕΙΣ : Μετ' ἀνέμου ὁμιχλώδους.
ἈΈΝΝΑΟΝ : Ἀεὶ βλύζων, αἰώνιον.
ἈΕΡΘΗ͂Σ : Μετεωρισθεῖς.
ἈΕΣΊΦΡΩΝ : Ὀξύφρων.
ἌΕΛΠΟΝ : Ἀνέλπιστον.

Τὸ Α μετὰ τοῦ Ζ.

ἈΖΑΛΑΊ : Νέαι καὶ ἁπαλαί.
ἈΖΑΛΑΊΑΣ : Ξηράς.
ἌΖΕΩ : Ἐυπρέπου, τίμα.
ἌΖΗΛΟΙ : Ἄτιμοι, ὑβρισταὶ, ἐξουδενωμένοι.
ἈΖΗΧΈΣ : Ἀδιαλήπτως.
ἈΖΗΧΉΣ : Σκληρὰ καὶ χαλεπὰ, παρὰ τὸ ἀζαλεῖν.
ἌΖΟΜΑΙ : Αἰσχύνομαι.
ἈΖΌΜΕΝΟΣ : Ἐντρεπόμενος.
ἌΖΥΞ : Μονάζων.
ἌΖΥΓΕΣ : Ἄζευκτοι, παρθένοι.

Τὸ Α μετὰ τοῦ Η.

ἈΗΔΈΣ : Στυγνὸν, λυπηρόν.
ἈΗΔΉΣ : Ἀμαθής.
ἈΗΔΏΝ : Στρουθὸς οὕτω καλούμενος.
ἈΗΘΉΣ : Ἀτριβὴς, ἄγριος.

Ἀήτης : Ἄνεμος.
Ἄημα : Πνεῦμα.
Ἄητο : Ἔπνεεν, ἐφέρετο.

Τὸ α μετὰ τοῦ θ.

Ἀθαμβεῖς : Ἄφοβος.
Ἄθεσμος : Ἄδικος, ἄνομος.
Ἀθαμάντη : Ὄνομα κύριον.
Ἀθαρσῶς : Ἀκριβῶς.
Ἀθερίζει : Ἀποδοκιμάζει.
Ἀθέριζε : Ἐξουθένει.
Ἀθέσφατον : Πολύν.
Ἀθεμήτοις : Ἀδίκοις.
Ἀθετίαν : Παραβασίαν.
Ἀθερώσσει : Ἀγρυπνεῖ.
Ἄθεμις : Ἄδικος.
Ἀθήλυντος : Ἀνδρώδης.
Ἀθήναζε : Εἰς Ἀθήνας.
Ἆθλον : Ἀγώνισμα, τιμή.
Ἀθμονεύς : Ἀπόδημος.
Ἀθρήσας : Θεωρήσας.
Ἀθήνησιν : Ἐν Ἀθήναις.
Ἄθηρον : Ἀθήρατον.
Ἄθηκτον : Ἀψηλάφητον.
Ἀθλοθέτης : Ἀγωνοθέτης.
Ἀθλόνδωρος : Νικήτηρια ἐκ πολέμου.
Ἆθλον : Τὸ ἐπὶ τῇ νίκῃ διδόμενον.
Ἆθλα : Βραβεῖα.
Ἀθλεῖν : Ἀγωνίζεσθαι.
Ἀθλεύων : Κοπιῶν.
Ἀθλοφόρους : Ἀγωνιστάς.
Ἀθλοθέτης : Βραβευτὴς διατιθής.
Ἀθρόως : Ταχέως, σφοδρῶς, αἰφνιδίως.
Ἀθροίζει : Συνάγει.

῎Αθρει : Θεώρει, βλέπε, σκόπει, νόει.
῎Αθροισμα : Πλῆθος.
῎Αθραυστον : Ἰσχυρὸν, ἄκλαστον.
῎Αθρησον : Θεώρησον.
Ἀθροίσθητε : Συνάχθητε.
Ἀθυμῶσι : Λυποῦνται.
Ἀθύρων : Παίζων.
῎Αθυρμα : Παίζων παίγνιον.
Ἀθυρόντων : Παιζόντων.
Ἀθυρογλωττείας : Φλυαρίας, ἐκ τοῦ μὴ θύραν ἐπιθέναι τῇ γλώσσῃ.
῎Αθρος : ῎Αφοβος.
῎Αθρη δ' οὖν : Νόησον οὖν.
Ἀθρουν : Ὁμοῦ ἢ ἄφωνον.
Ἀθυμῶσι : Λυποῦνται.
Ἀθύροντας : Παίζοντας.
Ἀθυρονόμοι : Ὡς ἔτυχε χρώμενοι τοῖς νόμοις.
Ἀθυροστομεῖ : Φλυαρεῖ.
Ἀθόπευτον : Ἀκολάκευτον, ἄσπλαγχνον.
Ἀθῷος : Ἀναίτιος.
Ἀθώπευτον : Ἀκολάκευτον, ἄσπλαγχνον.

Τὸ Α μετὰ τοῦ Ι.

Αἶαψ : Ματαίως.
Αἴγλη : Λαμπηδών.
Ἀΐδης : ῞Αιδης.
Ἀϊδίων : Αἰωνίων.
Αἰδοῦς : Αἰσχύνης, ἐντροπῆς, εὐλαβείας.
Αἰδεσιμώτατος : Αἰδοῦς ἄξιος, τουτέστι τιμῆς.
Αἰδήμονα : Αἰδέσιμον, ἀξιοτίμητον.
Αἰδόνια : Θανάσιμα.
Αἰδῶ : Αἰσχύνη, εὐλάβεια.
Αἰέν : Διὰ παντός.
Αἰόλος : Ποικίλος.

ΑἸΑΛΕΆΣ : Οἴμοι, οἴμοι τὰς σάς.

ΑἼΑ : Μήτιγε.

ΑἼΓΕΟΝ ἉΛΜΏΤΟΝ : Πέλαγος.

ΑἼΓΛΑΙ : Φωτὸς μαρμαρυγαί.

ΑἸΓΑΝΈΕΙΣ : Τοῦ δόρατος.

ΑἸΓΥΠΤΙΟΙ͂ΣΙ : Τοῖς γυψί.

ΑἸΓΛΉΕΣΣΑΝ : Λαμπράν.

ΑἼΓΛΗ : Λαμπηδών.

ΑἸΖΗΌΣ : Ἀκμάζων νεανίας.

ΑἼΗΣ : Γέης.

ΑἸΘΡΊΑ : Γαλήνη, εὐδία.

ΑἼΘΡΟΣ : Ὑπὸ τὸν ἀέρα ἐκτὸς σκέπης.

ΑἸΘΈΡΟΣ : Ἀέρος.

ΑἸΘΆΛΗ : Σποδὸς ὁ ἐκ καμίνου μέλας.

ΑἼΘΟΣ : Καῦμα φλογός.

ΑἸΘΉΡ : Ὁ ἐν ὕψει ἀήρ.

ΑἸΘΑΛΏΔΗ : Σκοτώδη.

ΑἸΘΌΜΕΝΟΣ : Καιόμενος, φλεγόμενος.

ΑἸΘΙΌΠΑ : Μέλανα.

ΑἸΘΕΡΙΟΝΌΜΩΝ : Τῶν ἐν ὕψει νόμον ἐχόντων.

ΑἸΘΉΡΑΝ : Τρίχαν.

ΑἸΘΡΕΜΒΌΛΑ : Τμητικὰ ὄργανα μαχαίραις ὅμοια.

ΑἼΛΑΨ : Ματαίως.

ΑἼΘΟΝΑ : Ἔνθερμον, λαμπρόν.

ΑἼΘΕ : Εἴθε.

ΑἸΘΟΥ͂ΣΟΥΣΑΝ : Λάμπουσαν.

ΑἸΘΡΙΟΠΟΙΌΝ : Καθαρὸν, ἀθόλωτον.

ΑἸΘΡΙΣΌΜΑΙ : Ἐπιβλέψομαι.

ΑἼΘΡΙΟΝ : Οὐράνιον.

ΑἸΘΡΙΆΖΟΥΣΑ : Γαληνιῶσα.

ΑἸΘΩ͂ΝΑΣ : Λαμπροὺς, ξανθοὺς, πυρώδεις.

ΑἸΚΊΑΙ : Ὕβρεις, πληγαὶ, μάστιγες.

ΑἸΆΖΩ : Θεωρῶ.

ΑἸΚΊΖΕΙ : Κακοῖ, τύπτει.

Αἴλινον: Ἔθρηνον.
Αἴλιοι: Σύγγραμβροι.
Αἱμασιαί: Οἱ φραγμοί.
Αἵμυλος: Κόλαξ, ἀπαταιών.
Αἷμα: Γένος, σπέρμα, γάλα. καὶ τὸ ἀπὸ πληγῶν ῥέων.
Αἱμοβόρου: Αἷμα ἐσθίοντος· βορὰ γὰρ ἡ τροφή.
Αἰνίζομαι: Ἐπαινέσω.
Αἰνήν: Δεινήν.
Αἴνιγμα: Ζήτημα.
Αἰνιγματωδῶς: Δυσχερῶς, ἀσυμφανῶς.
Αἰνιττόμενος: Δι' αἰνιγμάτων καὶ παραβολῶν λαλῶν.
Αἰνέσαιμι: Ἐπαινέσαιμι, ἢ ἀναπείσαιμι.
Αἰνίησιν: Ἐπιδίδωσιν.
Αἴνους: Ἐπαίνους.
Αἰνίττεται: Ἀσήμως λέγει.
Αἰνόν: Δεινόν.
Αἰνότατος: Δεινότατος.
Αἰνόμορον: Ταχυθάνατον.
Αἰνίξαι: Ὑποφῆναι.
Αἰνοτόκον: Κακὰ γεννώσης.
Αἰόνες: Αἰγιαλοί.
Αἰνοτόκος: Ὁ ἐπὶ κακῶν τεχθείς.
Αἰνίζομαι: Ἐπαινῶ.
Αἴξας: Ὁρμήσας, κινήσας, ἐπεκδραμών.
Αἰξέρετοι: Ἐπίλεκτοι.
Αἰνόνες: Αἰγιαλοί.
Αἰόλα: Ποικίλα.
Αἰσχαλαρέξεις: Ἀπρεπῆ πράττεις.
Ἀολλήσασα: Ἀθροίσασα.
Αἰόλους: Ποικίλους.
Αἰπόλος: Ποιμὴν αἰγῶν.
Αἰπύ: Τὸ ὑψηλόν.
Αἰπύς: Μέγας, δεινός.
Αἰπολίαι: Ἀγέλαι αἰγῶν.

Αἱ ΠΟΡΙ͂ΑΙ ΣΟΥ: Αἱ ὁδοί σου.

ΑἹΡΕΤΌΝ: Ἐπιθυμητόν.

ΑἹΡΗ͂ΣΟΜΑΙ: Σκέψομαι, βουλεύσομαι ἐκλέξομαι.

ΑἹΡΟΥ͂ΜΑΙ: Βούλομαι, προκρίνω.

ΑἹΡΕΤΙΕΙ͂ΜΑΙ: Προτιμωτέραν με ἡγήσεται.

ΑἸΝΌΝ: Ὀξύτερον.

ΑἹΡΉΣΟΜΕΝ: Πορθήσομεν, ἐξερημώσωμεν.

ΑἹΡΟΥ͂ΜΑΙ: Ἐπικαλέσομαι.

ΑἸΡΟΜΈΝΗ: Ἐπιγομένη.

ΑἸΣΘΗΤΆ: Τὰ ὁρώμενα.

ΑἸΣΘΗΤΉΡΙΑ: Τὰ μέλη δι' ὧν αἰσθανόμενα. εἰσὶ δὲ τῷ ἀνθρώπῳ αἰσθήσεις ε. ὅρασις, ὄσφρησις, γεῦσις, ἀκοὴ, καὶ ἁφή. ἁφὴ δὲ λέγεται ἡ διὰ τῶν χειρῶν ψηλάφησις.

ΑἼΣΧΙΣΤΟΣ: Αἰσχρὸς, κάκιστος, μυσαρώτατος.

ΑἼΣΙΑ: Γνήσια, δεξιά.

ΑἸΣΧΊΩ: Χείρονα.

ΑἾΣΧΟΣ: Λοιδορία, μῖσος, αἰσχύνης ἄξιον καὶ σαπρίας μύσος.

ΑἸΣΤΉΤΩΡ: Χοιροβοσκός.

ΑἼΣΟΛΑ ῬΈΞΕΙΣ: Ἀπρεπῆ πράττεις.

ΑἸΣΗΜΟΥ͂Ν: Ἀναλίσκειν.

ΑἸΤΙΑΤΩ͂Ν: Ἐγκλημάτων.

ΑἸΕΊ: Ἀεὶ, διὰ παντός.

ΑἸΣΘΗ͂ΜΗΝ: Νοησοίμην.

ΑἸΣΤΩ͂ΣΘΑΙ: Φονεῦσαι, ἀφανῆσαι.

ΑἸΧΜΆΣ: Τὰς ἐπορολοτίδας τὸν σίδηρον τῶν δοράτων, αἵτινες λόγχαι καλοῦνται, ἔνθεν αἰχμάλωτοι λέγομεν. καὶ δοριάλωτον καλοῦμεν τὸν ἐν πολέμῳ ληφθέντα, διὰ δόρατος ἢ αἰχμῆς, ὅ ἐστι λόγχης.

ΑἸΤΙΑΜΆΤΩΝ: Ἐγκλημάτων.

ΑἼΣΣΑ: Εἱμαρμένη, ἤγουν ἀθεότη καὶ ἀπρονόητος τύχη.

ΑἼΧΙΣ: Αἴχιδνα.

ΑἸΧΜΗΤΗ͂Σ: Μάχιμος, πολεμιστὴς, ὁπλήτης.

ΑἸΨΗΡΌΝ: Ταχύν.

ΑἸΨΑΚΡΟΤΡΑΛΈΩΣ: Ταχέως, πάνυ, καὶ ἐντρεχῶς.

Αἱ ψελλίζουσαι: *Αἱ ἀσήμως λαλοῦσαι.*

Αἰωροῦμαι: *Φέρομαι.*

Αἰών: *Χρόνων πολλῶν συμπερίληψις.*

Αἰωρία: *Ἀγχόνη.*

Αἰάζω: *Θρηνῶ.*

Αἴωλον: *Μάταιον.*

Τὸ Α μετὰ τοῦ Κ.

Ἀακαλλές: *Ἄμορφον, ἀπρεπές.*

GRAMMATICORUM INEDITORUM SPECIMINA.

CODEX 387.

Pauca sunt quæ ex ineditis Grammaticorum Græcorum reliquiis nobis suppeditaverunt Codices Bibliothecæ Parisiensis. Adeo enim hac parte strenue elaboraverunt doctissimi Viri, Bekkerus, Bachmannus, Boissonadus et alii, ut nihil fere ceteris philologis eodem campo decurrentibus peragendum reliquerint. Duo fragmenta in hac materie nobis præbuit Codex Coislin. 387. de quo jam verba fecimus ad Scholl. Hom. p. 294. Prius excerptum Περὶ ῥήματος Anonymi est Auctoris, sed fortasse Chœrobosco debetur, Herodiani aliorumque antiquorum Magistrorum maximo expilatori; et cui perinde multas veterum Auctorum lacinias debemus. Grates ergo agendæ sunt Gaisfordio nostro, summo Græcarum literarum cultori, quod universum Chœrobosci in Theodosium Commentarium propemodum editurus sit e Codice Parisiensi.

Alterum brevius excerptum a nobis nunc primum vulgatum, Timothei Gazæi est, qui floruisse videtur Anastasio regnante, ut refert Suidas qui ejus opera recenset, et cujus operis de Animalibus pauca pedestri sermone descripta vulgavi e Cod. Barocc. 50. Anecd. Oxon. t. IV. p. 263. et seqq.

Reliqua Grammaticalia excerpta sunt e Cod. 2720, quorum major pars quidem jam ab Hermanno vulgata sunt ut Frag. Lexici Gr. ad Calcem Rat. Emend. Gram. p. 319. sed cum plenior sit Liber Paris. ea denuo integra ad fidem ejus Codicis exhibere, operæ pretium esse duxi.

Περὶ ῥήματος.

ῬΗΜΑ ἐστὶ μέρος λόγου ἄπτωτον, ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν μετ' ἐνεργείας, ἢ πάθους, ἢ οὐδετέρου προσώπου σημαντικοῦ, ὅτε τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ. Πόσα ῥήματα ἄχρι τοῦ παρατατικοῦ κλίνονται; τὰ διὰ τοῦ ανω βαρύτονα, οἷον λαμβάνω, μανθάνω· καὶ τὰ διὰ τοῦ αθω,

οἷον ἀμυνάθω τὸ βοηθῶ· καὶ τὰ διὰ τοῦ εθω οἷον φλεγέθω· καὶ τὰ διὰ τοῦ υθω, οἷον μηνύθω· καὶ τὰ εἰς βω βαρύτονα, ἔχοντα πρὸ τοῦ β σύμφωνον ἢ τὸ ε μόνον, οἷον σέβω, φέρβω, ῥέμβω· καὶ τὰ εἰς κω βαρύτονα, οἷον ἀρέσκω, γινώσκω, πιφαύσκω· χωρὶς τὸ θνήσκω θνήξω, καὶ ἀλύσκω ἀλύξω· τὸ γὰρ διδάξω, οὐκ ἐκ τοῦ διδάσκω, ἀλλ' ἐκ τοῦ διδάχω, ἐξ οὗ καὶ διδαχή· καὶ τὰ διὰ τοῦ εινω ὑπὲρ δύο συλλαβὰς βαρύτονα, οἷον ἐρεείνω, φαείνω, ἀλεείνω τὸ ἐγκλίνω· καὶ τὰ διὰ τοῦ ειω διὰ τῆς ει διφθόγγου παράγωγα ἐξ ἐνεστῶτος ἢ μέλλοντος, οἷον κιχῶ κιχείω, ὀλῶ ὀλείω, βρώσω βρωσείω, ὄψω ὀψείω· καὶ τὰ διὰ τοῦ νω ὑπὲρ δύο συλλαβὰς ποιοῦντα παραγωγὴν εἰς μι, οἷον πηγνύω πήγνυμι, ὀμνύω ὄμνυμι, ῥηγνύω ῥήγνυμι.

Διατί πάντα τὰ εἰς ω ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν; πρὸς ἀντιδιαστολὴν τῶν εἰς ω θηλυκῶν ὀνομάτων. τὰ γὰρ εἰς ω λήγοντα ὀνόματα ὀξύνονται, οἷον Κλειὼ, Καλυψὼ, πειθώ.

Πόσα εἰσὶ ῥήματα ὀξυνόμενα; λβ, οἷον δὸς, θὲς, σχὲς, τὸ κώλυσον, σπὲς τὸ ἀκολούθησον, φρὲς τὸ φέρε, ἓς τὸ ἀπόλυσον· χρὴ, ἐλθὲ, εἰπὲ, εὑρὲ, εἰμὶ τὸ ὑπάρχω, φημὶ τὸ λέγω, καὶ κατὰ ἀποβολὴν τοῦ φ ἠμί· καὶ τὸ φημὶ παρὰ Ἀριστοφάνει οἷον παίφημι· καὶ τὸ ἐσμὶ, καὶ εἶς, καὶ ἐσσὶ, καὶ ἐστὶ, καὶ ἐστὸν, καὶ ἐσμὲν, καὶ ἐστὲ, καὶ εἰσὶ, καὶ φησὶ, καὶ κατὰ ἀποκοπὴν φῆς, καὶ φατὸν, καὶ φαμὲν, καὶ φατὲ, καὶ φασὶ, καὶ φαθὶ τὸ προστακτικὸν ἀντὶ τοῦ εἰπέ.

Κατὰ ποίαν διάλεκτον τὸ α καὶ ε εἰς α μακρὸν κιρνᾶται; παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις, παρὰ δὲ τοῖς Δωριεῦσιν εἰς η, οἷον ὁράεις ὁρῇς, πεινάεις πεινῇς· κέχρηνται δὲ καὶ τὸ πεινῇς καὶ διψῇς οἱ Ἀθηναῖοι.

Πόθεν τὸ ζῇς; ἔστιν ἄω τὸ πνέω, καὶ κατ' ἐπέκτασιν τῆς ζα συλλαβῆς γίνεται ζάω τουτέστι πάνυ πνέω, τούτου δὲ τὸ δεύτερον ζάεις, καὶ κατὰ κρᾶσιν Δωρικὴν τοῦ α καὶ ε εἰς η γίνεται ζῇς· Διατί τὸ χρυσόεις γενόμενον κατὰ συναίρεσιν οὐκ ἐγένετο χρυσοῦς, ἀλλὰ χρυσοῖς, τὸ γὰρ ο καὶ ε εἰς τὴν ου κιρνᾶται; ἐπειδὴ πᾶν πρῶτον πρόσωπον εἰς ω λῆγον ἔχει διὰ διφθόγγου τὸ δεύτερον τὴν διὰ τοῦ ι· τούτου χάριν ἀπεβλήθη τὸ υ καὶ γέγονε χρυσοῖς. Καὶ διατί μὴ ἀπεβλήθη τὸ ο ἀλλὰ τὸ υ; ἐπειδὴ εὑρίσκεται μετὰ

τὴν υι δίφθογγον σύμφωνον, ὅπερ ἄτοπον· οὐδέποτε γὰρ μετὰ τὴν υι δίφθογγον, τὴν διὰ ψιλοῦ τοῦ υ καὶ ι γραφομένην σύμφωνον εὑρίσκεται.

Κατὰ ποῖον τρόπον ἀπολιμπάνει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν ἐν τοῖς ῥήμασι; κατὰ ἀσυνταξίαν. δύο γὰρ κανόνες εἰσὶν οἱ μαχόμενοι ἀλλήλοις, ὁ μὲν εἷς λέγων ὅτι πᾶν δυϊκὸν ῥῆμα θέλει χαρακτηρίζεσθαι ἢ διὰ τοῦ τ ἢ διὰ τοῦ θ· διὰ τοῦ τ μὲν ἐν τοῖς ἐνεργητικοῖς, διὰ τοῦ θ δὲ ἐν τοῖς παθητικοῖς, καὶ ὤφειλεν εἶναι τύπτοτον· ὁ δὲ ἕτερος λέγει ὅτι πᾶν μέρος λόγου ἐπιδεχόμενον ἀριθμοὺς, θέλει χαρακτηρίζεσθαι δι' ἐκείνου τοῦ στοιχείου ἐν τοῖς δυϊκοῖς δι' οὗ καὶ τὸ πληθυντικὸν χαρακτηρίζεται, χωρὶς τῶν πρωτοτύπων ἀντωνυμιῶν, καὶ ὤφειλεν εἶναι τύπτομον. τῶν δύο κανόνων μαχομένων, τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος τὸ τ, τοῦ δὲ ἑτέρου τὸ θ, ἀπέλειπε τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, καὶ λοιπὸν ἐξ ἀνάγκης δύο εὑρίσκονται δεύτερον καὶ τρίτον.

Διατί τὰ δυϊκὰ ἐκ τῶν πληθυντικῶν κανονίζονται ἐν τοῖς ῥήμασιν; ἐπειδὴ τὰ δυϊκὰ ὑστερογενῆ εἰσιν, καὶ οὐ παρὰ πάσαις ταῖς διαλέκτοις εὑρίσκονται· παρὰ γὰρ τοῖς Αἰολεῦσιν οὐχ εὑρίσκονται, οὐδὲ ἡ κοινὴ διάλεκτος κέχρηται αὐτὰ καὶ διὰ τοῦτο ἀπὸ τῶν πληθυντικῶν κανονίζονται. Διατί ὁμοφωνοῦσι τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν δυϊκῶν; ἐπειδὴ πολλάκις πεφύκασιν ἀναδέχεσθαι ὁμοφωνίαν, ὥσπερ καὶ ἐπὶ ὀνομάτων λέγομεν ὀρθῆς καὶ αἰτιατικῆς καὶ κλητικῆς, καὶ ἐπὶ μετοχῶν καὶ ἀντωνυμιῶν καὶ ἄρθρων· καὶ διὰ τοῦτο πολλάκις ὁμοφωνοῦσι τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν δυϊκῶν.

Διατί τὸ τρίτον τῶν δυϊκῶν οὐκ ἀπὸ τοῦ τρίτου τῶν πληθυντικῶν κανονίζεται, ἀλλ' ἐκ τοῦ ἰδίου δευτέρου; ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν οὐκ ἔχει σύμφωνον τὸ ἁρμόζον τοῖς δυϊκοῖς ἤγουν τὸ σ, καὶ διὰ τοῦτο οὐκ ἀναγκάζεται τὸ τρίτον τῶν δυϊκῶν ἐκ τοῦ τρίτου τῶν πληθυντικῶν κανονισθῆναι. Διατί ὅταν ἔχῃ τὸ γ τῶν πληθυντικῶν τὸ τ, οὐ κανονίζεται ἐξ αὐτοῦ τὸ γ τῶν δυϊκῶν; ἵνα μὴ καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον εὑρεθῶσιν ἔχοντα τὸ θ, τὸ δὲ γ τὸ τ. τοῦ κανόνος ἀπαιτοῦντος τὰ τρίτα τῶν δυϊκων διὰ τοῦ αὐτοῦ συμφώνου ἐμφέρεσθαι, δι' οὗ καὶ τὸ δεύτερον.

Διατί τρίτα πρόσωπα λέγομεν ἐν τοῖς δυϊκοῖς; ὁ γὰρ τρίτος

ἀριθμὸς ἀρχὴ πλήθους ἐστὶ καὶ οὐκ ἔστιν ἴδιος δυϊκοῦ ἀριθμοῦ. εἰ καὶ τρία πρόσωπα λέγομεν ἐν τοῖς δυϊκοῖς, ἀλλ' οὖν ἕκαστον αὐτῶν δύο πρόσωπα σημαίνει· ἐπεὶ κατὰ τὸν λόγον ὑμῶν καὶ ἐν τοῖς ἑνικοῖς ἓν πρόσωπον ὀφείλει ἓν (sic) εἶναι καὶ οὐ τρία· ἀλλ' εἰ καὶ τρία εἰσὶν κακεῖ πρόσωπα, ἀλλ' οὖν ἐκ τῶν αὐτῶν ἓν πρόσωπον σημαίνει. Διατί τὸ φᾶσι ἡ μετοχὴ βαρύνεται, τὸ δὲ ῥῆμα ὀξύνεται; ἡ μὲν μετοχὴ βαρύνεται, ἐπειδὴ πᾶσα δοτικὴ εἰς ιν λήγουσα δισύλλαβος ἀνεπέκτατος, ἐπὶ μὲν ὀνομάτων ὀξύνεσθαι θέλει, οἷον Τρωσὶ, βουσὶ, πλὴν τοῦ πᾶσιν· ἐπὶ δὲ μετοχῶν βαρύνεσθαι θέλει, οἷον δοῦσι, βοῦσι, στᾶσιν, οὕτως οὖν καὶ τὸ φᾶσι· τὸ δὲ ῥῆμα ὀξύνεται, ἐπειδὴ ἐγκλιτικόν ἐστι, τὰ δὲ ἐγκλιτικὰ καθ' ἑαυτὰ ὄντα ὀξύνονται, οἷον φασί· εἰσί.

Διατί εἰπὼν ὁ τεχνικὸς σεσημείωται τὸ φασὶ, παρεσιώπησε τὸ εἰσί· καί περ καὶ αὐτὸ τῆς μετοχῆς βαρυνομένης τὸ ῥῆμα ὀξυτονήθη; καὶ ἔστιν εἰπεῖν ὅτι διὰ τοῦτο οὐκ ἐμνημόνευσε τὸ εἰσὶν, ἐπειδὴ ἡ δοτικὴ τῶν πληθυντικῶν οὐκ ἔστιν ἐν χρήσει· οἱ ἔντες γὰρ, τῶν ἔντων, τοῖς εἶσιν ἔστι· καὶ ὡς μὴ οὔσης τῆς δοτικῆς τῶν πληθυντικῶν ἐν χρήσει τῆς ὀφειλούσης ἐλέγξαι τὴν παραλογίαν, τούτου χάριν παρεσιώπησεν αὐτό. Πότε γίνεται τοῦ ν ἐφελκυστικὸν τὸ ι; ἡνίκα ἔχῃ προηγούμενον τὸ σ, ἢ δυνάμει ἢ ἐνεργείᾳ· ἐνεργείᾳ μὲν, οἷον πᾶσι, πᾶσιν· φοίνιξι, φοίνιξιν· Πέλοψι, Πέλοψιν· ἐνταῦθα γὰρ δυνάμει ἐστὶ τὸ σ πρὸ τοῦ ι· ἐπειδὴ τὸ ξ ἐκ τοῦ κ καὶ σ σύγκειται, τὸ δὲ ψ ἐκ τοῦ π καὶ σ.

Περὶ παρατατικοῦ.

Ποῖα εἰσὶ ῥήματα ἀρχόμενα ἀπὸ συμφώνου καὶ γινόμενα ἐν τῷ παρατατικῷ κατὰ προσθήκην τοῦ ε; πάντα τὰ ἀπὸ συμφώνου ἀρχόμενα ῥήματα κατὰ προσθήκην τοῦ ε αὐξάνουσιν ἐν τῷ παρατατικῷ, χωρὶς τῶν Ἰωνικῶν, οἷον τύπτεσκε ἀντὶ τοῦ ἔτυπτε· καὶ τῶν ποιητικῶν, οἷον

τύπτε δ' ἐπιστροφάδην,

ἀντὶ τοῦ ἔτυπτε· καὶ χωρὶς τῶν ἀπὸ προθέσεως ἀρχομένων, οἷον καταγράφω, κατέγραφον· καὶ χωρὶς τοῦ δυσαρεστῶ, δυσαπιστῶ, οἷον δυσηρέστουν, δυσηπίστουν. Διατί οἱ ποιηταὶ οἱ Ἴωνες οὐκ

αὐξάνουσι τὴν ἄρχουσαν τοῦ παρατατικοῦ; ἐπειδὴ συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσιν, εἴτε ἀπὸ συμφώνου, εἴτε ἀπὸ φωνήεντος ἄρχεται ὁ ἐνεστώς· οἷον

ἄγε δέ σε μοῖρα βαρεῖα,

ἀντὶ τοῦ ἦγε· καὶ

ἅψατο ἡμιόνου,

ἀντὶ τοῦ ἥψατο· καὶ ἄγεσκεν Ἰωνικῶς ἀντὶ τοῦ ἦγε· χωρὶς τοῦ εἴπεσκε, τοῦτο τῆς μετοχῆς τὴν ἄρχουσαν ἐφύλαξεν οὐ μὴν τοῦ ἐνεστῶτος.

Διατί λέγουσι τινὲς τὸ ρ φωνῆεν εἶναι καὶ οὐ σύμφωνον; διὰ τὸ δύνασθαι αὐτὸ καὶ ψιλοῦσθαι· καὶ ὅτι τὰ εἰς α λήγοντα θηλυκὰ καθαρὸν ἔχοντα τὸ α ἢ μετὰ τοῦ ρ, φυλάττουσιν αὐτὸ καὶ ἐπὶ γενικῆς· εἰ δὲ σύμφωνον ἔχουσι πρὸ τοῦ α, τρέπουσιν αὐτὸ εἰς η, οἷον δόξα δόξης· καὶ διὰ τοῦτο λέγουσιν αὐτὸ μὴ εἶναι σύμφωνον ἀλλὰ φωνῆεν. Καὶ πόθεν δῆλον σύμφωνον ἐστὶ καὶ οὐ φωνῆεν; ἐπειδὴ πᾶν φωνῆεν καθ' ἑαυτὸ φωνὴν ἀποτελεῖ, δῆλον ὅτι οὐκ ἔστι φωνῆεν ἀλλὰ σύμφωνον. καὶ ἄλλως· ὅτι οὐδέ ποτε ἐν μιᾷ συλλαβῇ τρία φωνήεντα εὑρίσκονται, ἐὰν εἴπωμεν τὸ ρ φωνῆεν εἶναι, εὑρεθήσονται ἐν τῷ ῥεῦμα καὶ ῥοῦς τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τὸ ρ φωνῆεν ἐστὶν ἀλλὰ σύμφωνον. Καὶ διατί ἡνίκα ὁ ἐνεστὼς ἀπὸ τοῦ ρ ἄρχηται, καὶ ἕτερον ρ προσλαμβάνει ὁ παρατατικός; ἵνα φυλάξῃ τὸ πνεῦμα τοῦ ἐνεστῶτος· ἀεὶ γὰρ τὸ πνεῦμα τῆς ἀρχούσης τοῦ ἐνεστῶτος φυλάττεσθαι θέλει καὶ ἐν τοῖς παρῳχημένοις, οἷον φιλῶ ἐφίλουν· ἰδοὺ γὰρ ἐφύλαξε τὸ δασὺ φ· ἐὰν οὖν δι' ἑνὸς τοῦ ρ ὁ παρατατικὸς ἐγένετο, ἠναγκάζετο ψιλοῦσθαι τὸ ρ ἐν τῷ παρατατικῷ, καίπερ ἐν τῷ ἐνεστῶτι δασύνεται· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὸ ρ μεταξὺ δύο φωνηέντων ἐν ἁπλῇ λέξει ψιλοῦσθαι θέλει, οἷον μέρος· χαίρω· φέρω. καὶ τούτου χάριν προσλαμβάνει ὁ παρατατικὸς καὶ ἕτερον ρ, ἵνα τὸ μὲν πρῶτον ψιλωθῇ, τὸ δὲ δεύτερον δασυνθῇ· κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι ἐὰν εὑρεθῶσι δύο ρρ, τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται, οἷον πόῤῥω, ἄῤῥωστος, χωρὶς τῶν Αἰολικῶν· οἱ γὰρ Αἰολεῖς ψιλωτικοὶ ὄντες, τὰ δύο ρρ ψιλοῦσιν, οἷον κέῤῥω, φθέῤῥω, σπέῤῥω. καὶ πῶς τὸ

ἔρεξε θεῶν αἰεὶ γενετάων

δι' ἑνὸς ρ ἐκφέρεται; ποιητικῶς. πολλάκις γὰρ οἱ ποιηταὶ διὰ τὸ μέτρον δι' ἑνὸς τοῦ ρ ἐκφέρουσι τοὺς παρωχημένους ἐπὶ τῶν ἀπὸ τοῦ ρ ἀρχομένων ῥημάτων.

Διατί ἡνίκα εὑρεθῶσι δύο ρρ, τὸ πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται; ἐπειδὴ οὐδέποτε λέξις οὔτε συλλαβὴ εἰς δασὺ καταλήγει, ὅθεν τοῦ Ἀτθὶς καὶ Σαπφὼ καὶ Βάκχος τὰ πρῶτα διὰ ψιλῶν γράφομεν καὶ οὐ διὰ δασέων, καὶ διὰ τοῦτο τὸ πρῶτον ρ οὐ δασύνεται, ἵνα μὴ εὑρεθῇ ἡ συλλαβὴ εἰς δασὺ λήγουσα. Διατί τὸ η καὶ ω οὐ μεταβάλλονται ἐν τοῖς παρωχημένοις; ἐπειδὴ ὥσπερ τὰ σώματα τὸ ἴδιον μέγεθος ἀπολαμβάνοντα, ἀνεπαύξητα καθεστήκασι, τὸν αὐτὸν δὴ τρόπον καὶ τὰ τέλεια μεγέθη τῶν μακρῶν οὐ δύνανται τίποτε πλέον μεγεθύνεσθαι, ὡς ἀπολαβόντα τὰ ἴδια μεγέθη. Καὶ πῶς τὸ α τὸ μακρὸν τρέπεται κατὰ τοὺς παρωχημένους; ἐπειδὴ τὸ α οὐκ ἔχει ἴδιον μέγεθος τὸ ἐκτείνεσθαι μόνον, ἀλλὰ καὶ συστέλλεσθαι.

Ποῖα εἰσὶ ῥήματα τὰ μὴ τρέποντα τὸ α ἐν τοῖς παρωχημένοις εἰς η; τὰ Ἰωνικὰ καὶ τὰ ποιητικὰ καὶ τὰ ἀπὸ προθέσεως ἀρχόμενα, καὶ τὸ ἀηθέσω ἀήθεσον, καὶ τὸ ἀηδίζομαι ἀηδιζόμην, ἵνα μὴ ἀλλεπάλληλον γένηται τὸ η· καὶ τὸ ἀΐω ἄϊεν, τὸ ἀκούω, καὶ ἄω ἄεν, ἵνα μὴ συνεμπέσῃ τῷ ἐπὶ τοῦ ὑπῆρχεν. Διατί τριῶν ὄντων διχρόνων α ι υ, τὸ μὲν α εἰς η τρέπεται, τὸ δὲ ι καὶ υ οὐ τρέπονται; ἐπειδὴ τὸ α ἔσχεν ἀντίστοιχον τὸ η, τούτου χάριν ἐτράπη εἰς αὐτό· τὸ δὲ ι καὶ τὸ υ μὴ ἔχοντα ἀντίστοιχα, τούτου χάριν οὐ τρέπονται.

Πότε τρέπουσι τὰ ἐκ τοῦ ε ἀρχόμενα ῥήματα τὸ ε εἰς η, καὶ πότε προσλαμβάνουσι τὸ ι; Τὰ ἐκ τοῦ ε ἀρχόμενα ῥήματα ἅπαντα τρέπουσι τὸ ε εἰς τὸ η ἐν τῷ παρατατικῷ, χωρὶς ιζ· ἐθίζω εἴθιζον, ἐσθίω εἴσθιον, ἐρύω εἴρυον, ἑλκύω εἵλκυον, ἑρπύζω εἵρπυζον, ἐργάζομαι εἰργαζόμην, τοῦτο δὲ διφορεῖται, καὶ διὰ τῆς ει διφθόγγου καὶ διὰ τοῦ η. καὶ χωρὶς τοῦ ἐῶ εἴω, ἐρῶ εἴρων, ἕλκω εἵλκουν, ἔχω εἶχον, ἕρπω εἷρπον τὸ βαδίζω· ἔπω εἶπον τὸ λέγω, καὶ τὸ ἀκολουθῶ· ἕλω εἷλον τὸ λαμβάνω καὶ τὸ φονεύω· ἔθω εἶθον τὸ ἐξ ἔθους τί διαπράττομαι· ἕω, εἷον τὸ ἐνδύομαι.

Πόσα εἰσὶ ῥήματα μὴ τρέποντα τὴν οι δίφθογγον εἰς ω; ια. εἰσὶ δὲ ταῦτα· οἰῶ τὸ μονῶ, ἐξ οὗ ὁ ἀόριστος οἰώθην τὸ ἐμονώθην·

οἰμῶ οἴμησε τὸ ὥρμησεν· οἰνῶ οἴνουν, οἰνίζω οἴνιζον, οἰστρῶ οἴστρουν· οἰωνίζομαι, οἰωνιζόμην· οἰωνοσκοπῶ οἰωνοσκόπουν· οἰωνοπολῶ οἰωνοπόλουν· οἰακίζω οἰάκιζον· οἰακονομῶ οἰακονόμουν· οἰακοστροφῶ οἰακοστρόφουν· τινὲς δὲ προστιθέασι καὶ τὸ οἰδαίνω οἴδαινον· οἰκουρῶ οἰκούρουν, καὶ οἰμώζω οἴμωζον. Καὶ διατί ταῦτα οὐ τρέπουσι τὴν οι εἰς ω; ἢ δι' εὐφωνίαν ἢ Ἰωνικῷ ἔθει· οἱ γὰρ Ἴωνες πολλάκις συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσι. Διατί τῶν διφθόγγων ἡ ει καὶ ου οὐ τρέπονται· ἐπειδὴ γνήσια μεγέθη ἔχουσι· τὸ γὰρ ε μεγεθυνόμενον, διὰ τῆς προσθήκης τοῦ ι μεγεθύνεται ἢ τρέπεται εἰς η· καὶ τὸ ὁ μεγεθυνόμενον, διὰ τῆς προσθήκης τοῦ υ μεγεθύνεται, ἢ τρέπεται εἰς ω, ὡς ἔχοντα γνήσια μεγέθη, διὰ τοῦτο οὐ τρέπονται· καὶ διατί αἱ λοιπαὶ δίφθογγοι.

Πόθεν τὸ ἀντιβολῶ; ἔστι μολῶ τὸ σημαῖνον τὸ παραγίνομαι, μετὰ τῆς ἀντὶ προθέσεως ἀντιμολῶ, καὶ κατὰ μετάθεσιν τοῦ μ εἰς τὸ β ἀντιβολῶ. Πῶς κιρνᾶται τὸ ε καὶ ο; παρὰ τοῖς Δωριεῦσι καὶ τοῖς Ἴωσι τὸ ε καὶ ο, εἰς τὴν ευ δίφθογγον, παρ' ἡμῖν δὲ εἰς τὴν ου, οἷον ἐποίεον ἐποίουν. Καὶ διατί ἐπὶ τοῦ ἐποίεες ἐποίεις, τὰ δύο εε εἰς τὴν ει δίφθογγον κιρνᾶται, καὶ οὐκ εἰς τὸ η; ἐπειδὴ ἐπὶ τῶν παρῳχημένων τῶν ὁριστικῶν τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν ἑνικῶν, τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν κατὰ τὴν λήγουσαν τῷ ἰδίῳ πρώτῳ, ἡνίκα ἰσοσυλλαβῶσιν αὐτῷ, οἷον ἔτυπτον ἔτυπτες ἔτυπτε· ἐβόων ἐβόας ἐβόα· ἐχρύσουν ἐχρύσους ἐχρύσου· εἰ οὖν τὸ ἐποίουν διὰ δύο φωνηέντων ἐκφέρεται κατὰ τὴν λήγουσαν, δῆλον ὅτι καὶ τὸ ἐποίεις ἐποίει διὰ δύο φωνηέντων θέλουσιν ἐκφέρεσθαι κατὰ τὴν λήγουσαν, καὶ τούτου χάριν τὰ δύο εε εἰς τὴν ει δίφθογγον ἐκράθησαν, καὶ οὐκ εἰς η. Διατί τὸ ἐβόων οὐκ ἔχει τὸ ι προσγεγραμμένον; ἐπειδὴ οὐδέποτε τὰ εἰς ν λήγοντα ῥήματα ἔχουσι πρὸ τοῦ ν τίποτε ἀνεκφώνητον, οἷον ἐτύφθην, ἐδάρην, βοᾶν, γεννᾶν, γελᾶν· καὶ τούτου χάριν καὶ τὸ ἐβόων οὐκ ἔχει τὸ ι. Διατί τὸ ἐποίει, ἐβόα καὶ ἐχρύσου τρία πρόσωπα, οὐκ εἰσὶν ἐφελκυστικὰ τοῦ ν; ἐπειδὴ μακροκαταληκτοῦσιν· οὐδέποτε δὲ μακρὰ φωνήεντα γίνονται ἐφελκυστικὰ τοῦ ν, οἷον ἐτύφθην ἐδάρην.

Πόθεν μίστυλλον; ἔστι μιστύλλω τὸ εἰς μικρὰ διακόπτω, ὁ

παρατατικὸς ἐμίστυλλον, καὶ οἱ Ἴωνες αὐξήσεις οὐ δέχονται, καὶ γίνεται μίστυλλον. Πόθεν ἐωνοχόει; ἔστιν οἰνοχοῶ ὁ παρατατικὸς οἰνοχόουν, καὶ πλεονασμῷ τοῦ ε, καὶ κατ' ἐπαύξησιν τοῦ ο εἰς ω ἐωνοχόει.

Παρακείμενος.

Πόθεν παρμέμβλωκα; ἔστι μελῶ ὁ μέλλων μελήσω, ὁ παρακείμενος μεμέληκα, καὶ τροπῇ τοῦ η εἰς ω γίνεται μεμέλωκα, καὶ ἀποβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ β, μέμβλωκα, καὶ μετὰ τῆς παρα προθέσεως παρμέμβλωκα. Πόθεν τὸ βεβάασι; ἔστι βῶ, βήσω, βέβηκα, τὸ τρίτον τῶν πληθυντικῶν βεβήκασι, καὶ τροπῇ τοῦ η εἰς α, καὶ ἀποβολῇ τοῦ κ βεβάασι. Πόθεν τὸ πέπτωκα; ἔστι πετῶ πετήσω πεπέτηκα, καὶ κατὰ συγκοπὴν πέπτηκα, καὶ τροπῇ τοῦ η εἰς ω πέπτωκα. Πόθεν τὸ λέλογχα; ἔστι λέγω τὸ κληρῶ, ὁ μέλλων λέξω, ὁ παρακείμενος λέλεχα, καὶ πλεονασμῷ τοῦ γ λέλεγχα, καὶ τροπῇ τοῦ ε εἰς ο λέλογχα.

Διατί ὥσπερ ἡ πρώτη συζυγία τῶν βαρυτόνων ἐκφέρεται διὰ δασέος τοῦ φ κατὰ τὸν παρακείμενον, καὶ ἡ δευτέρα διὰ του χ, μὴ καὶ ἡ τρίτη διὰ δασέος τοῦ θ ἐκφέρεται; ἐπειδὴ ὁ μέλλων ἐν τῇ πρώτῃ συζυγίᾳ διὰ διπλοῦ ἐκφέρεται τοῦ ψ, τούτου χάριν καὶ ὁ παρακείμενος διὰ δασέος ἐκφέρεται τοῦ φ· ὁμοίως καὶ ἡ δευτέρα ἔχουσα τὸ ξ ἔχει τὸν παρακείμενον διὰ τοῦ χ· ἡ δὲ τρίτη μὴ ἔχουσα διπλοῦν ἐπὶ τοῦ μέλλοντος τὸ ζ, διὰ τοῦτο οὐκ ἔχει τὸν παρακείμενον διὰ τοῦ ἰδίου δασέος τοῦ θ. Καὶ διατί οὐκ ἔχει ἡ τρίτη ἐπὶ τοῦ μέλλοντος τὸ ζ; ἐπειδὴ πᾶς μέλλων βαρύτονος πρὸ τῆς ω θέλει ἔχειν τὸ σ ἢ δυνάμει ἢ ἐνεργείᾳ, οἷον νοήσω, γράψω, λέξω, τὸ γὰρ ψ ἐκ τοῦ π καὶ σ, τὸ δὲ ξ ἐκ τοῦ κ καὶ σ· τὸ δὲ ζ ἐπειδὴ οὐκ ἔστιν ἐκ τοῦ δ καὶ σ, ἀλλὰ ἐκ τοῦ σ καὶ δ· διὰ τοῦτο οὐκ ἠδύνατο ὁ μέλλων ἔχειν τὸ ζ, ἵνα μὴ εὑρεθῇ πρὸ τὸ ω δυνάμει τὸ δ, καὶ οὐ τὸ σ. καὶ ἄλλως· ἐπειδὴ τὰ χαρακτηριστικὰ τοῦ βαρυτόνου ἐνεστῶτος οὐ δύνανται εἶναι χαρακτηριστικὰ βαρυτόνου μέλλοντος, καὶ διὰ τοῦτο τὸ ζ οὐ δύναται χαρακτηριστικὸν εἶναι ἐπὶ τοῦ μέλλοντος τῆς τρίτης συζυγίας.

Πόσοι ἡμαρτημένοι παρακείμενοι; τέσσαρες· νέμω, νεμῶ, νενέμηκα· τέμω, τεμῶ, τετέμηκα· δέμω, δεμῶ, δεδέμηκα, ὃ σημαίνει τὸ οἰκοδομῶ· βρέμω, βρεμῶ, βεβρέμηκα, ὃ σημαίνει τὸ κτυπῶ·

ἐξηκολούθησε δὲ αὐτοῖς τὸ μένω μενῶ μεμένηκα, διὰ τὴν καλλιφωνίαν. Καὶ διατί τοῦ νέμω, τέμω, βρέμω, δέμω οὐ γίνονται οἱ παρακείμενοι διὰ τοῦ ἀμεταβόλου καὶ τοῦ κ; διὰ τὸ μηδέποτε εὑρίσκεσθαι τὸ μ πρὸ τοῦ κ μήτε κατὰ σύλληψιν μήτε κατὰ διάστασιν. κατὰ σύλληψιν μὲν, ἐπειδὴ τὰ ὑποταττόμενα τινὶ ἐν συλλήψει ἐὰν ἀντιπροηγήσωνται, ἐν διαστάσει ἀντιπροηγοῦνται, οἷον τὸ ρ ὑποτέτακται τοῦ π, ὡς ἐν τῷ πρῶτος κατὰ σύλληψιν. ἀντιπροηγούμενον δὲ ἐν τῷ ἕρπω κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγεῖται. τὸ δὲ μ τοῦ κ ὑποταττόμενον κατὰ σύλληψιν ἐν τῷ ἀκμή. ἐὰν ἀντιπροηγήσηται, οὐ δύναται ἐν διαστάσει ἀντιπροηγεῖσθαι. ἐπειδὴ πᾶσα συλλαβὴ καταλήγουσα εἰς τὸ μ, θέλει ἔχειν τὴν ἑξῆς ἀρχομένην ἀπὸ τοῦ α, ἢ π ἢ φ ἢ ψ, ἢ ἀπ' αὐτοῦ τοῦ μ, καὶ διὰ τοῦτο οὐ δύνανται οἱ παρακείμενοι τοῦ νέμω, τέμω, δέμω, βρέμω, δι' ἀμεταβόλου τοῦ μ καὶ τοῦ κ εἶναι.

Πόσα ῥήματα ἐπὶ τῆς ε συζυγία, τῶν βαρυτόνων σεσημείωνται, τὰ μεταβάλλοντα τὸ ἀμετάβολον ἐπὶ τοῦ παρακειμένου; πέντε. τὸ κρίνω κρινῶ κέκρικα· τὸ κλίνω κλινῶ κέκλικα· πλύνω πλυνῶ πέπλυκα· τείνω τενῶ τέτακα· καὶ τὸ κεκέρδακα χωρὶς τοῦ ἀμεταβόλου εὑρίσκεται. Καὶ διατί ταῦτα ἀποβάλλουσι τὸ ἀμετάβολον κατὰ τὸν παρακείμενον; ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι τὰ εἰς νω δισύλλαβα, ἑνὶ φωνήεντι παραληγόμενα, ἀποβάλλουσι τὸ ἀμετάβολον κατὰ τὸν παρακείμενον, χωρὶς τοῦ τείνω. Διατί ἡνίκα ὁ μέλλων δι' ἀμεταβόλου ἐκφέρηται, ὁ παρακείμενος δι' αὐτοῦ καὶ τοῦ κ, καὶ οὐ δι' ἀμεταβόλου μόνου ἢ τοῦ κ μόνου ἐκφέρεται; δι' ἀμεταβόλου μὲν οὐκ ἠδύνατο ἐξενεχθῆναι. ἐπειδὴ ὁ ἐνεργητικὸς παρακείμενος οὐδέποτε δι' ἡμιφώνου ἐκφέρεται, ἀλλ' οὔτε τὸ ἀμετάβολον πάλιν ἀποβαλεῖν ἠδύνατο. ἐπειδὴ τὰ ἀμετάβολα, οὔτε ἐν ταῖς τῶν ὀνομάτων κλίσεσιν, οὔτέ ἐν ταῖς τῶν ῥημάτων θέλουσι μεταβάλλεσθαι· ὅθεν καὶ ἀμετάβολα λέγονται. καὶ διὰ τοῦτο ἡνίκα ὁ μέλλων δι' ἀμεταβόλου ἐμφέρηται, ὁ παρακείμενος δι' αὐτοῦ καὶ τοῦ κ, καὶ οὐ δι' ἀμεταβόλου μόνου ἢ τοῦ κ μόνου.

Διατί τὸ περάσω καὶ φυράσω μακρὸν ἔχουσι τὸ α, τὸ δὲ γελάσω καὶ κλάσω βραχύ; ἐπειδὴ τὰ τῆς β συζυγίας τῶν περισπωμένων ἐὰν ἔχωσι τὸ λ πρὸ τοῦ α, συστέλλουσιν αὐτὸ, οἷον

θλάσω, κλάσω, γελάσω. ἐὰν δὲ τὸ ρ ἢ φωνῆεν ἐκτείνουσιν αὐτὸ, οἷον κοπιάσω, φυράσω, περάσω. Διατί ἐπὶ τοῦ κλαίω κλαύσω καὶ καύσω, ἐπὶ δὲ τοῦ παλαίω καὶ πταίω καὶ παίω οὐκ ἀποβάλλουσι τὸ ι κατὰ τὸν ἐνεστῶτα; ἐπεὶ τούτων ὁ μέλλων πλεονάζει τὸ υ. καὶ ἐπειδὴ ἐπὶ τοῦ κλαίω καὶ καίω ἀποβάλλουσι τὸ ι, καὶ λέγομεν κλάω καὶ κάω, τούτου χάριν ὁ μέλλων πλεονάζει τὸ υ κατὰ τὸν μέλλοντα, καὶ γίνεται κλαύσω καὶ καύσω. ἐπὶ δὲ τοῦ παλαίω καὶ πταίω καὶ παίω οὐκ ἀποβάλλουσι τὸ ι κατὰ τὸν ἐνεστῶτα, καὶ τούτου χάριν οὐ πλεονάζει τὸ υ κατὰ τὸν μέλλοντα.

Διατί τὸ πνίγω πνίξω, καὶ ἐρύκω ἐρύξω, καὶ ψύχω ψύξω, ἐπὶ μὲν τοῦ ἐνεστῶτος φύσει μακρὸν ἔχουσι τὸ δίχρονον, ἐπὶ δὲ τοῦ μέλλοντος θέσει; ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι τὸ ι καὶ τὸ υ οὐκ εἰσὶ φύσει μακρὰ, ἀλλὰ θέσει, εἰ μὴ λόγῳ ἀρχούσης παρωχημένων, ὡς ἐπὶ τοῦ ἰξεύω ἴξευον, τὸ μὲν ἰξεύω θέσει μακρὸν, τὸ δὲ ἴξευον φύσει. οἱ γὰρ παρωχήμενοι ἀπὸ φωνήεντος χρονικῶς αὔξουσι, καὶ τούτου χάριν τὸ πνίγω, ἐρύξω, ψύξω, θέσει μακρὸν ἔχουσι τὸ δίχρονον.

Πότε ποιοῦσιν οἱ Ἀττικοὶ ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων ἰδίους παρακειμένους; ἡνίκα τὸ ῥῆμα δισύλλαβον, καὶ παραλήγεται ὁ κοινὸς παρακείμενος τῷ ε, τότε τρέπουσι τὸ ε εἰς ο, καὶ ποιοῦσιν ἴδιον παρακείμενον, οἷον κλέπτω, κλέψω, κέκλεφα ὁ κοινὸς, καὶ κέκλοφα ὁ Ἀττικὸς, καὶ ἐπὶ τῶν ὁμοίων, λέγω λέξω λέλεχα ὁ κοινὸς, καὶ λέλοχα ὁ Ἀττικὸς, καὶ πλεονασμῷ τὸ γ λέλογχα· πλέκω πλέξω πέπλεχα ὁ κοινὸς, καὶ πέπλοχα ὁ Ἀττικὸς, καὶ ἐπὶ τῶν ὁμοίων.

Διατί τοῦ γράφω ὁ παρακείμενος ἀναδιπλασιάζεται; ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι τὰ ἔχοντα ἐν τῷ παρακειμένῳ ἄφωνον πρὸ ἀμεταβόλου, τῷ λόγῳ τῆς κοινῆς ἀναδιπλασιάζεται ὁ παρακείμενος, χωρὶς τῶν ἐχόντων τὸ γνω· ταῦτα γὰρ οὐκ ἀναδιπλασιάζονται κατὰ τὸν παρακείμενον, οἷον ἔγνων ἔγνωκα, καὶ οὐ γέγνωκα· ἐγνωσιμάχουν ἐγνωσιμάχηκα, καὶ οὐ γεγνωσιμάχηκα. Διατί ἐπὶ τῶν εἰς ω ἡ ἄρχουσα τοῦ παρακειμένου ἐκ τοῦ παρατατικοῦ κανονίζεται, ἐπὶ δὲ τῶν εἰς μι οὐ κανονίζεται ἐξ αὐτοῦ; ἐπειδὴ ἐὰν ἀπὸ τὸ ἐτίθην καὶ ἐδίδων θελήσωμεν κανονίσαι τὴν

ἄρχουσαν τοῦ παρακειμένου, εὑρεθήσεται ἐτίθηκα καὶ ἐδίδωκα ὅπερ οὐκ ἔστι, δέδωκα γὰρ καὶ τέθεικα ἐστὶν ὁ παρακείμενος, ἀπὸ τοῦ δώσω καὶ θήσω μέλλοντος, τοῦ η Βοιωτικῶς τραπέντος εἰς τὴν ει δίφθογγον. Διατί τὸ μέμνηκα πέπτωκα κέκτημα, μὴ ἔχοντα ἄφωνον πρὸ ἀμεταβόλου, ἀνεδιπλασιάσθησαν; ἐπειδὴ ταῦτα τῷ λόγῳ τῆς κοινῆς ἀνεδιπλασιάσθησαν. πολλάκις γὰρ καὶ ἐν τῷ μέτρῳ εὑρίσκομεν τὸ μν ἀποτελοῦντα κοινὴν συλλαβὴν ὡς παρὰ Καλλιμάχῳ,

τὼς μὲν ὁ Μνησάρχιος σφάξεν.

ὁμοίως καὶ τὸ π καὶ τὸ τ, ὡς παρ' Ὁμήρῳ,

Αἰγυπτίῃ τῇ πλεῖστα δόμοις ἐν κτήματα κεῖται.

καὶ τὸ κτ, ὡς παρὰ Τορίνθωνι[a]·

ὑπόνακτος[b] τὸ μέτρον οὐδέν μοι μέλει.

καὶ τούτου χάριν ἀνεδιπλασιάσθησαν. Διατί τὸ ῥερυπωμένα παρὰ τῷ ποιητῇ, καὶ τὸ ῥερίφθαι ἔπος παρὰ Πινδάρῳ, καὶ τὸ ῥεραπισμένῳ νώτῳ παρὰ Ἀνακρέοντι ἐκ τοῦ ρ ἀρχόμενα ἀνεδιπλασιάσθησαν; κατὰ ποιητικὴν ἐξουσίαν. εἰ γὰρ ἐγένετο παρὰ τῷ ποιητῇ

τά μοι ἐρρυπωμένα κεῖται,

χωλὸς ηὑρίσκετο ὁ στίχος, ἤμελλε γὰρ εἶναι παλινβάκχειος ἀκάθαρτος. ἡ γὰρ δευτέρα μακρὰ οὔτε εἰς μέρος λόγου ἀπαρτίζει, οὔτε τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην, ὡς τὸ

πλάγχθη ἐπεὶ Τροίης.

Διατί μὴ τοῦ τέτυφα παρακειμένου τὸ τρίτον τῶν ἑνικῶν ἐγένετο διὰ τοῦ η, ἀλλὰ διὰ τοῦ ε; ἐπειδὴ πᾶν τρίτον πρόσωπον εἰς η καταλῆγον προσθέσει τοῦ σ ποιεῖ τὸ δεύτερον, καὶ τροπῇ τοῦ σ εἰς ν ποιεῖ τὸ πρῶτον· οἷον ἐτύφθην, ἐτύφθης, ἐτύφθη, καὶ τούτου χάριν οὐκ ἐγένετο τὸ τρίτον διὰ τοῦ η. Διατί τὸ τετύφασι μακρὸν ἔχει τὸ α; ἐπειδὴ καθόλου τὰ εἰς ι λήγοντα ῥήματα μακρᾷ παραλήγονται, οἷον γράφουσι, λέγουσι, κιχρᾶσι, ζεύγνυσι, οὕτω καὶ τετύφασι. καὶ πῶς παρὰ τῷ Ποιητῇ εὑρίσκονται τὰ εἰς συνεσταλμένον ἔχοντα τὸ α, οἷον

τιμὴν δέ μοι λελόγχασιν;

[a] Leg. τῷ Ῥίνθωνι. [b] Leg. Ἱππώνακτος.

ἐπὶ τούτων γὰρ πολλάκις οἱ ποιηταὶ διὰ τὸ μέτρον συστέλλουσι, καὶ οὐ δεῖ τὰ κατὰ ἀνάγκην συνεσταλμένα ἐξετάζειν. Διατί ὅτε ἄρχεται ὁ ἐνεστὼς ἀπὸ τοῦ η ἢ ω ἢ ι, οὐ ποιοῦσιν οἱ Ἀττικοὶ ἴδιον παρακείμενον; ἐπειδὴ οὐ θέλει ἔχειν Ἀττικὸς παρακείμενος ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ φωνῆεν, οἷον ἀλήλιφα, ἐλήλυθα. ἐὰν δὲ γένηται ἐπὶ τούτων Ἀττικὸς παρακείμενος μέλλει εἶναι ἱκετέτευκα, ὑλυλάκτηκα, ἡβήβηκα, ὠθώθηκα, καὶ λοιπὸν εὑρίσκεται ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ στοιχεῖον, ὅπερ ἐστὶν ἀδύνατον, καὶ διὰ τοῦτο τὰ ἐκ τοῦ η καὶ ω καὶ ι καὶ υ ἀρχόμενα ῥήματα, οὐ ποιοῦσιν Ἀττικὸν παρακείμενον· σεσημείωται τὸ ὑφήβασται ἀπὸ τοῦ υ ἀρχόμενον. καὶ ἄλλως, οὐδέποτε Ἀττικὸς παρακείμενος ἀπὸ μακρᾶς ἄρχεται.

Πόθεν τὸ ὑφήβασται; ἔστιν ὑφάζω ὑφάσω ὕφακα ὕφασμαι, τὸ τρίτον ὕφασται, καὶ Ἀττικῶς ὑφύφασται, καὶ τροπῇ τοῦ υ εἰς η ὑφήβασται. Καὶ διατί τὸ υ μὴ ἔχον ἀντίστοιχον ἐτράπη εἰς η; ἐπειδὴ καὶ τὸ η εἰς υ τρέπεται, ὡς ἐν τῷ ἅλμη, ἁλμηρὸς καὶ ἁλμυρός. Πόθεν τὸ ἀλαλύκτημαι, καὶ ἀλάλημαι, καὶ ἄραρε, Ἀττικοὶ παρακείμενοι ἔχουσιν ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ στοιχεῖον; ἐπειδὴ ταῦτα πεπονθότα εἰσιν· ἔστι γὰρ ἀλυκτῶ, ἀλυκτήσω, ἠλύκτηκα ἠλύκτημαι, καὶ Ἀττικὸς ἠλαλύκτημαι, καὶ κατὰ συστολὴν τοῦ η εἰς α ἀλαλύκτημαι, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως.

Πόθεν ἀγήοχα, ἔστιν ἄγω, ἄξω, ἦχα, ὁ Ἀττικὸς ἄηχα. καὶ ἐπειδὴ οἱ Ἀττικοὶ παρακείμενοι ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ συλλαβῇ τὸ αὐτὸ φυλάττουσι σύμφωνον, ἐπλεόνασεν ἡ τρίτη συλλαβὴ καὶ γέγονεν ἀγήγοχα καὶ ἀγήοχα. Πόθεν ἐνήνοχα; ἔστιν ἐνέγκω ἐνέγξω ἤνεγχα, ὁ Ἀττικὸς ἐνήνεγχα καὶ κατὰ τροπὴν τοῦ ε εἰς ο καὶ ἀποβολῇ τοῦ γ ἐνήνοχα. Πόθεν ἐδήδοκα; ἔστιν ἔδω τὸ ἐσθίω, ὁ μέλλων ἔσω, καὶ ὁ μέσος παρακείμενος ἦδα, καὶ ὁ Ἀττικὸς ἔδηδα, ἐξ οὗ καὶ

λέων κατὰ ταύρου ἐδηδώς.

τούτου ὁ ἐνεργητικὸς παρακείμενος ἧκα, καὶ ὁ Ἀττικὸς ἔδηκα, καὶ ἐπειδὴ οἱ Ἀττικοὶ παρακείμενοι ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ συλλαβῇ τὸ αὐτὸ σύμφωνον θέλουσιν ἔχειν, ἐπλεόνασεν ἡ δο συλλαβὴ καὶ γέγονεν ἐδήδοκα.

Πόθεν τὸ ἐρήρικα διὰ τοῦ ι; ἔστιν ἐρίζω τὸ σημαῖνον τὸ φιλονεικῶ ὁ μέλλων ἐρίσω ὁ παρακείμενος ἤρικα, καὶ ὁ Ἀττικὸς ἐρήρικα. Πόθεν τὸ ἐρήρεικα, τὸ διὰ τῆς ει διφθόγγου; ἀπὸ τοῦ ἐρείδω τοῦ σημαίνοντος τὸ ἐπερείδομαι ὁ μέλλων ἐρείσω, ὁ παρακείμενος εἴρηκα, καὶ ὁ Ἀττικὸς ἐρήρεικα. καὶ διατί ὁ ἐρήρεικα Ἀττικὸς παρακείμενος τὴν τρίτην συλλαβὴν φύσει μακρὰν ἔχει; ἐμάθομεν γὰρ ὅτι καὶ τὴν τρίτην συλλαβὴν συστέλλουσι. πρὸς ἀντιδιαστολὴν τοῦ ἐρήρικα τοῦ σημαίνοντος τὸ φιλονεικῶ, ἐπειδὴ ἐκεῖνο διὰ τοῦ ι γράφεται, καὶ ἵνα μὴ σενεμπέσῃ αὐτῷ.

Διατί ἐπὶ τοῦ ἀριστεύω ἠρίστευκα οὐ ποιοῦσιν Ἀττικοὶ ἴδιον παρακείμενον; ἐπειδὴ κατὰ τύχην ἐπιλέλοιπεν ἐπὶ τούτου τοῦ ῥήματος ὁ Ἀττικὸς παρακείμενος. πῶς συστέλλεται ἡ τρίτη συλλαβὴ τοῦ Ἀττικοῦ παρακειμένου; ἰστέον ὅτι τὸ μὲν η εἰς ε συστέλλεται, οἷον ἀλήθω ἀλήσω ἤληκα καὶ ἀθήλεκα ὁ Ἀττικός, τὸ δὲ ω εἰς ο οἷον ἐρωτῶ ἐρωτήσω ἠρώτηκα ἐρηρότηκα ὁ Ἀττικός. ἡ δὲ ει δίφθογγος καὶ ἡ ευ ἀποβάλλουσι τὸ προτακτικὸν φωνῆεν, τουτέστι τὸ ε, καὶ φυλάττει ἡ μὲν ει τὸ ι ἡ δὲ ευ τὸ υ, οἷον ἀλείφω ἤλειφα ἀλήλιφα. ἐλεύθω ἤλευθα καὶ ἐλήλυθα. ἡ δὲ ου δίφθογγος τὸ ο ἀποβάλλει, οἷον ἀκούω, ἤκουα καὶ ἀκήκοα. ἡ δὲ οι δίφθογγος ἀποβάλλει τὸ ι καὶ φυλάττει τὸ ο, οἷον ἑτοιμάζω ἡτοίμακα καὶ ἑτητόμακα.

Ποσασύλλαβος θέλει εἶναι ὁ Ἀττικὸς παρακείμενος; τὸ ἐλάχιστον τετρασυλλαβεῖν θέλει, οἷον ὀμώμοκα, ἀγήγοχα, ἀλήλιφα, ἐδήδοκα, ἐγήγερμαι, ἀλήλιμμαι, ἐρήρισται. θέλει γὰρ ἔχειν τὴν ἄρχουσαν τοῦ ἐνεστῶτος, καὶ τὴν δευτέραν καὶ τρίτην συλλαβὴν διὰ τοῦ αὐτοῦ συμφώνου, καὶ τὴν τετάρτην χαρακτηριστικὴν τοῦ παρακειμένου. καὶ ποσασύλλαβος θέλει εἶναι ὁ μέσος Ἀττικὸς παρακείμενος; ὁ μέσος Ἀττικὸς παρακείμενος, τὸ ἐλάχιστον τρισυλλαβεῖν θέλει, οἷον ὄλωλα, ὄπωπα, ὄδωδα, ὄρωρα, ὄμωμα. θέλει γὰρ ἔχειν τὴν ἄρχουσαν τοῦ ἐνεστῶτος καὶ ἐν τῇ β καὶ γ συλλαβῇ τὸ αὐτὸ σύμφωνον. φυλάσσει δὲ καὶ ἐν τῇ τρίτῃ συλλαβῇ καὶ τὸ χαρακτηριστικὸν τοῦ μέσου παρακειμένου.

Πότε ποιοῦσιν οἱ Ἀττικοὶ ἀπὸ συμφώνου ἀρχομένου τοῦ ἐνεστῶτος ἰδίους παρακειμένους; ἡνίκα ἀπὸ ἀμεταβόλου ἄρχεται ὁ

ἐνεστὼς πολλάκις ποιοῦσιν οἱ Ἀττικοὶ ἴδιον παρακείμενον, ἀφαιρούμενοι τὸ ἀμετάβολον ἐκ τοῦ κοινοῦ παρακειμένου καὶ προστιθέντες τὸ ι, οἷον λήβω λέληφα καὶ εἴληφα, λήχω λέληχα καὶ εἴληχα τὸ ἐκληρωσάμην· μείρω μέμαρκα καὶ εἴμαρκα καὶ εἴμαρμαι, ὅθεν καὶ εἱμαρμένη. Διατί ἐπενοήσαν οἱ Ἀθηναῖοι τὸν Ἀττικὸν παρακείμενον; ἐπειδὴ ὁ παρακείμενος πέφυκε διὰ συμφώνου ἀναδιπλασιάζεσθαι, οἷον τέτυφα, πεποίηκα, τούτου χάριν ἐπενόησαν οἱ Ἀθηναῖοι ἴδιον παρακείμενον, ἵνα εὑρεθῇ καὶ διὰ φωνήεντος ἀναδιπλασιαζόμενος ὁ παρακείμενος, οἷον ἀλήλιφα, ἐλήλυθα.

Μέσος παρακείμενος.

Πόθεν τὸ δέδοικα; ἔστι δείω τὸ σημαῖνον τὸ φοβοῦμαι, ὁ μέλλων δείσω, ὁ παρακείμενος δέδεικα, ὁ μέσος δέδοια, καὶ πλεονασμῷ τοῦ κ δέδοικα. Πόθεν τὸ εἴωθα; ἔστιν ἔθω τὸ ἐξ ἔθους τί διαπράττομαι, ὁ μέλλων ἔσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶθα, καὶ πλεονασμῷ τοῦ ω εἴωθα. Πόθεν τὸ ἔμμορε; ἔστι μείρω τὸ μερίζω, ὁ μέλλων μερῶ, ὁ παρακείμενος μέμαρκα, ὁ μέσος μέμορα, καὶ καθ' ὑπερβιβασμὸν τῶν στοιχείων γίνεται ἔμμορα. Πόθεν τὸ οἶδα; ἔστιν εἴδω τὸ σημαῖνον τὸ γινώσκω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶδα, καὶ Αἰολικῶς ἐτράπη τὸ ε εἰς ο, καὶ ἐγένετο οἶδα, καὶ ἐν τῷ σύνοιδα ἀνεβίβασε τὸν τόνον ὡς Αἰολικόν.

Πόθεν τὸ οἶσθα; ἔστιν εἴδω τὸ γινώσκω, ὁ μέσος παρακείμενος οἶδα, ὁ ὑπερσυντελικὸς οἴδειν, τὸ δεύτερον οἴδεις, καὶ κατ' ἐπέκτασιν τῆς θα συλλαβῆς οἴδεισθα, καὶ ἐν συγκοπῇ οἶσθα. οἱ δὲ λέγουσιν ὅτι γίνεται ῥῆμα οἰδῶ, καὶ ἐκ τούτου οἴδημι, τὸ β οἴδης, καὶ κατ' ἐπέκτασιν τῆς θα συλλαβῆς καὶ ἐν συγκοπῇ οἶσθα. Πόθεν ἔοικα; ἔστιν εἴκω τὸ ὁμοιῶ, ὁ μέσος παρακείμενος εἶκα, καὶ διαλύσει τῆς ει διφθόγγου ἔϊκα, καὶ πλεονασμῷ τοῦ ο ἔοικα. ἢ παρὰ τὸ εἴκω, καὶ μέσος παρακείμενος οἶκα καὶ πλεονασμῷ τοῦ ε ἔοικα. Πόθεν τὸ πέπονθα; ἔστι πονῶ, πονήσω, ὁ μέλλων παρακείμενος πεπόνηκα, ὁ μέσος πέπονα, καὶ πλεονασμῷ τοῦ θ πέπονθα.

Διατί εἰσὶν ἓξ χρόνοι, ἐνεστώς, παρατατικός, παρακείμενος, ὑπερσυντελικός, ἀόριστος, καὶ μέλλων; ἐπειδὴ καὶ ἡ καθ' ἡμᾶς κίνησις ἑξαχῶς γίνεται. ἢ γὰρ ἔμπροσθεν κινούμεθα, ἢ ἐπὶ τὰ

ὀπίσω, ἢ δεξιὰ ἢ ἀριστερὰ, ἢ ἄνω ἢ κάτω, καὶ τούτου χάριν ἡ χρονικὴ κίνησις παρὰ τοῖς γραμματικοῖς ἐν τοῖς ῥήμασιν ἐξαχῶς γίνεται. Τί ἐστι μέση διάθεσις; ἡ ἑκατέρου μετέχουσα, ὥσπερ τὸ φαιὸν ὁ λευκοῦ καὶ μέλανος ἑκατέρων μετέχει.

Πόσα οὐδέτερα ῥήματα; τρία, ζῶ, πλουτῶ, ὑπάρχω. πόθεν τὸ σκάπτω καὶ βλάπτω; ἀπὸ τοῦ σκάφω καὶ βλάβω, ἐξ οὗ καὶ βλάβεται, καὶ κατὰ πλεονασμὸν τοῦ τ, καὶ τροπῇ τοῦ μ εἰς π καὶ τοῦ φ εἰς π, γίνεται βλάπτω καὶ σκάπτω. Τοῦ ἐνεστῶτος ἐκφερομένου διὰ τοῦ β συμφώνου, καὶ τὸ ῥηματικὸν ὄνομα ὁμοίως διὰ τοῦ β συμφώνου, ὁ μέσος παρακείμενος διὰ ποίου συμφώνου σύγκειται; ὁμοίως αὐτὸς διὰ τῶν αὐτῶν συμφώνων ἐκφέρεται, οἷον ὡς ἐπὶ τοῦ ῥέγκω, ἀφ' οὗ ῥηματικὸν ὄνομα ῥόγχος, ὁ μέσος παρακείμενος ἔραγχα. Πόθεν τὸ ἤϊε, ὅθεν τὸ

ὅδ' ἤϊε νυκτὶ ἐοικώς;

παρὰ τὸ εἴω τὸ σημαῖνον τὸ πορεύομαι, ὁ μέλλων εἴσω, ὁ μέσος παρακείμενος εἶα, καὶ ἐν διαλύσει τῆς ει διφθόγγου ἔϊα, καὶ τροπῇ τοῦ ε εἰς η ἤϊα, καὶ τὸ γ ἤϊε.

Πότε ἐπιλιμπάνουσιν οἱ μέσοι παρακείμενοι; ἡνίκα ἀπὸ περισπωμένων ῥημάτων εὑρεθῇ ὁ ἐνεργητικὸς παρακείμενος τρισύλλαβος ἀπὸ συμφώνου ἀρχόμενος, ἢ ἀπὸ τοῦ ε, οἷον θλῶ, θλάσω, τέθλακα· σμῶ, σμήσω, ἔσμηκα· δρῶ, δράσω, ἔδρακα· ζῶ, ζήσω, ἔζημα. Διατί οὐκ ἐγένετο τὸ ἐπὶ τούτων μέσος παρακείμενος; ἐπειδὴ εἰ ἐγένοντο τὸ ἐπὶ τούτων μέσοι παρακείμενοι, ἤμελλον οἱ μέσοι μιᾷ συλλαβῇ [ἢ] ἐνδεῖν τῶν ἐνεργητικῶν παρακειμένων. καὶ εἶχον εἰς δισυλλαβίαν περιπεσεῖν, ὅπερ ἐστὶν ἄτοπον. σπανίως γὰρ εὑρίσκεται δισύλλαβος μέσος παρακείμενος.

Ἐπὶ ποίας συζυγίας τῶν περισπωμένων εὑρίσκονται μέσοι παρακείμενοι καὶ ἀόριστοι δεύτεροι; ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν περισπωμένων σπανίως εὑρίσκονται μέσοι παρακείμενοι, καὶ ἀόριστοι δεύτεροι, οἷον κτυπῶ κτυπεῖς, ἔκτυπα· δουπῶ δουπεῖς δέδουπα· μυκῶ μυκᾷς, μέμυκα. ἐπὶ δὲ τῆς τρίτης τῶν περισπωμένων, οὔτε μέσος παρακείμενος εὑρίσκεται, οὔτε δεύτερος ἀόριστος. Πότε ἰσοσυλλαβεῖ ὁ μέσος παρακείμενος τῷ ἐνεργητικῷ παρακειμένῳ καὶ πότε ἐνδεῖ; ἡνίκα ὁ ἐνεστὼς καὶ ὁ μέλλων ἰσοσυλλαβῶσιν ὡς ἐπὶ τῶν βαρυτόνων, οἷον λέλειφα, λέλοιβα,

ἐὰν δὲ περιττοσυλλαβῇ ὁ μέλων τοῦ ἐνεστῶτος, τότε καὶ ὁ μέσος παρακείμενος ἐνδεῖ τοῦ ἐνεργητικοῦ, οἷον κτυπῶ κτυπήσω ἐκτύπηκα· ὀφειλῶ ὀφειλήσω ὠφείληκα ὤφειλα. Πόθεν πέφρικα; ἔστι φρίσσω φρίξω πέφριχα, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων ἐτράπη τὸ χ εἰς κ καὶ ἐγένετο πέφρικα.

Πόθεν λέγει ὁ Ἀπολλώνιος τὸ δέδοικα; ἔστι δίδω ἐνεστὼς, ὁ μέλλων δείσω, ὁ μέσος παρακείμενος δέδοιδα, καὶ διὰ τὴν ἐπαλληλίαν τοῦ δ ἐτράπη τὸ τελευταῖον δ εἰς κ, καὶ γέγονε δέδοικα. Πόθεν ἔοργα; ἔστι ῥέζω, ὁ μέλλων ῥέξω, ὁ μέσος παρακείμενος ἔρρογα, καὶ τοῦ μὲν ἑνὸς ρ ἀποβληθέντος, τοῦ δὲ ἑτέρου καθυπερβιβασθέντος, γίνεται ἔοργα. Πόθεν τὸ ἔολπα; ἔστιν ἔλπω, ὁ μέλλων ἔλψω, ὁ μέσος παρακείμενος ἦλπα, καὶ πλεονασμῷ τοῦ ο ἤολπα, καὶ κατὰ συστολὴν τοῦ η εἰς ε ἔολπα. ἢ ἐκ τοῦ ἔλπω λόγῳ παραληγούσης, ὁ μέσος παρακείμενος ὄλπα, καὶ πηεονασμῷ τοῦ ε ἔολπα. Πόθεν τὸ ἔμμορε; ἐκ τοῦ μορῶ τοῦ σημαίνοντος τὸ ἐπιτυγχάνω. ὁ μέλλων μορήσω, ὁ παρακείμενος μεμόρηκα, ὁ μέσος μέμορα, καὶ ὁ δεύτερος ἀόριστος ἔμορον, καὶ πλεονασμῷ τοῦ μ ἔμμορον, καὶ τὸ τρίτον ἔμμορε.

Πόθεν τὸ πέποσθε;

Ἐπεὶ κακὰ πολλὰ πέποσθε.

πήθω τὸ σημαῖνον τὸ πανθάνω, ὁ μέλλων πήσω, ὁ παρακείμενος πέπηκα, ὁ παθητικὸς πέπησμαι, καὶ τὸ πρῶτον τῶν πληθυντικῶν πεπήσμεθα, καὶ τὸ δεύτερον πέπησθε, καὶ κατὰ τροπὴν τοῦ η εἰς ο πέποσθε. Πόθεν τὸ ἐγρηγόρθασεν; ἔστιν ἐγείρω, ὁ μέλλων ἐγερῶ, ὁ παρακείμενος ἤγερκα, ὁ μέσος ἤγερα, καὶ ὁ Ἀττικὸς ἐγήγερα, καὶ τροπῇ τοῦ η εἰς ο καὶ πλεονασμῷ τοῦ θ, καὶ ἐπενθέσει τοῦ ρ ἐγρήγορθα, καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἐγρηγόρθασιν.

Ὑπερσυντελικός.

Εἱστήκειν, παρὰ τὸ ἑστήκω ἑστήξω, ἐξ οὗ τὸ

ἑστήξω τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις

παρὰ Καλλιμάχῳ. τοῦ δὲ ἑστήκω ὁ μέσος παρακείμενος ἕστηκα, ὁ ὑπερσυντελικὸς ἑστήκειν, καὶ διὰ τὸ μὴ συνεμπεσεῖν κατὰ τοῦ δευτέρου καὶ τρίτου προσώπου τοῦ ἐνεστῶτος, προσέλαβε τὸ ι καὶ γέγονεν εἱστήκειν. Καὶ διατί μὴ κατὰ τὸ δεύτερον καὶ τρίτον

πρόσωπον μόνον προσέλαβε τὸ ι ἀλλὰ καὶ κατὰ τὸ πρῶτον. ἐπειδὴ οὐκ ἠδύνατο μόνον κατὰ τὸ β καὶ γ πρόσωπον προσλαβεῖν τὸ ι, ἀλλὰ καὶ κατὰ τὸ πρῶτον· τὰ γὰρ τρία πρόσωπα συνάρχεσθαι θέλουσιν ἀλλήλοις, οἷον τύπτω τύπτεις τύπτει· ἔτυπτον, ἔτυπτες, ἔτυπτε, καὶ ἐπὶ τῶν ὁμοίων. τούτου χάριν προσέλαβε τὸ ι κατὰ τὸ πρῶτον, καὶ γέγονεν εἱστήκειν, εἱστήκεις, εἱστήκει.

Διατί ὅτε ἀπὸ φωνήεντος ἄρχεται ὁ ἐνεστὼς, οὐκ αὔξάνει τὴν ἄρχουσαν τοῦ ὑπερσυντελικοῦ ὁ παρακείμενος, ὥσπερ ὁ ἐνεστὼς τοῦ παρατατικοῦ καὶ ὁ μέλλων τοῦ ἀορίστου; ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι καθόλου οἱοσδήποτε ἐκ τῶν παρῳχημένων, ἐὰν ἀπὸ μακρᾶς αὔξηται ἢ φύσει ἢ θέσει, ἀπὸ τῆς αὐτῆς ἔχει ἀρχομένους καὶ τοὺς λοιποὺς παρῳχημένους, οἷον ἔστελλον, ἔσταλκα, ἔστειλα. ἔφθειρον, ἔφθαρκα, ἔφθειρα· ἔρραπτον, ἔρραφα, ἔρραψα· ἠλέουν· ἠλέηκα, ἠλέησα. καὶ διὰ τοῦτο ὅτε ἀπὸ φωνήεντος ἄρχεται ὁ παρακείμενος, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ ὑπερσυντελικός. Καὶ πῶς ὅτε ὁ Ἀττικὸς παρακείμενος ἄρχεται ἀπὸ φωνήεντος, αὔξάνει τὴν ἄρχουσαν τοῦ ὑπερσυντελικοῦ, οἷον ἀλήλιφα, ἠληλίφειν· ἀγήγοχα ἠγηγόχειν; ἰστέον ὅτι ταῦτα διαλέκτων εἰσὶν ἰδιώματα, καὶ οὐκ ἀναγκαῖα εἰσὶν εἰς ἀνατροπὴν τῶν κοινῶν. σεσημείωται δὲ ἐν τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις Ἀττικοῖς παρακειμένοις ὁ ἐληλύθειν ὑπερσυντελικός. οὐκ αὔξάνει γὰρ τὴν ἄρχουσαν. Καὶ πῶς ὁ ἐώλπειν καὶ ὁ ἐώργειν καὶ ὁ ἐώκειν ὑπερσυντελικοὶ ὄντες οὐ μεγεθύνουσι τὴν ἄρχουσαν; ἰστέον ὅτι ταῦτα ὑπερβιβασμὸν ἀνεδέξατο τοῦ χρόνου. ἔστι γὰρ ὁ μέσος παρακείμενος ἔολπα, ἔοργα, ἔοικα. καὶ ὀφείλει εἶναι ὁ ὑπερσυντελικὸς ἠόλπειν, ἠόργειν, ἠοίκειν, ἀλλὰ τῆς προτέρας συλλαβῆς συσταλείσης εἰς τὸ ε, καὶ τῆς δευτέρας ἐκτανθείσης εἰς τὸ ω, γέγονεν ἐώλπειν, ἐώργειν, ἐώκειν.

Πῶς διαλύουσιν οἱ Ἴωνες τὴν ει δίφθογγον τὴν οὖσαν ἐν τῷ ὑπερσυντελικῷ εἰς ε καὶ α, ἐτετύφειν, ἐτετύφεα. ἐπεποιήκειν, ἐπεποιήκεα, τοῦ ν ἀποβληθέντος; ἐπειδὴ τὸ α ἀποβλητικόν ἐστιν, οἷον Ξέρξην Ξέρξεα· ἣν ἕα· οἷον

ἧκε ζῶσα μενηνὸς ἕα χαλκοῖο τυπῇσιν.

τὸ δὲ ἔμυσαν καὶ ἔτυψαν ἀπὸ κλίσεως ἔχουσι τὸ ν, καὶ οὐ κατὰ πάθος, ὥσπερ καὶ ταῦτα. Καὶ διατί οἱ Ἴωνες ἐπὶ μὲν τοῦ πρώ-

του προσώπου τὴν ει δίφθογγον εἰς εα διαλύουσιν, ἐπὶ δὲ τοῦ τρίτου εἰς δύο εε; ἐπειδὴ τὸ α χαρακτηριστικόν ἐστι πρώτου προσώπου, οὐ μὴν τὸ ε, οἷον ἔγραψα, ἔτυψα. καὶ διὰ τοῦτο ἐπὶ τοῦ πρώτου προσώπου εἰς ε καὶ α διαλύουσι. τὸ δὲ ε τρίτου προσώπου, οἷον ἔτυπτε, ἔλεγε. τὸ γὰρ ἐβόα ἀπὸ τοῦ ἐβόαε γέγονε, καὶ τούτου χάριν ἐπὶ τοῦ τρίτου προσώπου τὴν ει δίφθογγον εἰς δύο εε διαλύουσι.

Ποῦ συναιροῦσιν οἱ Ἀθηναῖοι τὸ διαλυθὲν ἐκ τῆς ει διφθόγγου. παρὰ τοῖς Ἴωσιν εἰς η, ἐπεποιήκεα ἐπεποιήκειν· ὅθεν καὶ τὸ ἐκεχήνην ἐγὼ διὰ τοῦ η παρὰ Ἀριστοφάνει,

ὅτε δὴ ἐκεχήνην προσδοκῶν τὸν Αἰσχύλον.

Διατί τὰ περισπώμενα οὐ ποιοῦσιν ἐπὶ τοῦ παρατατικοῦ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν εἰς αν, οἷον ἐποιοῦσαν; ἐπειδὴ οὐκ ἦν ἐν αὐτοῖς μακρὰ τοῦ πρώτου προσώπου τῶν ἑνικῶν φύσει, ἀλλ' ἐκ συναιρέσεως· ἀπὸ γὰρ τοῦ ἐποίεον γέγονε τὸ ἐποίουν, καὶ ἀπὸ τοῦ ἐβόαον τὸ ἐβόων, καὶ ἀπὸ τοῦ ἐχρύσοον τὸ ἐχρύσουν, καὶ διὰ τοῦτο οὐ ποιοῦσι τὸ τρίτον τῶν πληθυντικῶν εἰς αν.

Περὶ ἀορίστου πρώτου.

Πότερον ὁ πρῶτος ἀόριστος φύσει μακρᾷ παραλήγει ἢ θέσει; Ἰστέον ὅτι ὁ πρῶτος ἀόριστος ποτὲ μὲν φύσει μακρᾷ παραλήγει, ὡς ἐπὶ τοῦ ἐποίησα, ἐνόησα, ἐστεφάνωσα· πότε δὲ θέσει, ὡς ἐπὶ τοῦ ἔτυψα, ἔγραψα, ἔνυξα· πότε δὲ καὶ φύσει καὶ θέσει, ὡς ἐπὶ τοῦ ἤλειψα, ἤμειψα. ταῦτα γὰρ καὶ φύσει μακρᾷ παραλήγει καθὰ ὅτι τῇ ει διφθόγγῳ παραλήγει, καὶ θέσει καθὸ ἔχουσι διπλοῦν σύμφωνον ἐπιφερόμενον. πότε δὲ βραχείᾳ παραλήγει, ὡς ἐπὶ τοῦ ἐτέλεσα, ἐσύρισα, ἐγέλασα. ὅθεν ἀναλογώτεροι εἰσὶν οἱ ποιηταὶ διπλασιάζοντες τὸ σ, ἵνα μακρᾷ παραλήγωνται, ἐτέλεσσα γὰρ καὶ ἐσύρισσα ἐστὶ, καὶ ἐγέλασσα λέγουσιν.

Διατί σεσημείωται ὁ εἶπα καὶ ὁ ἤνεγκα καὶ ἔδωκα, καὶ ἔθηκα, ἧκα, ἀόριστοι; ἐπειδὴ οὐκ ἐφύλαξαν τὸ σύμφωνον τοῦ μέλλοντος, καὶ ὅτι διὰ ἀφώνου ἐξηνέχθησαν. οὐδέποτε δὲ ὁ πρῶτος ἀόριστος διὰ ἀφώνου ἐκφέρεται, ἀλλὰ δι' ἑνὸς τῶν ζ ἡμιφώνων, λ μ ν ρ σ ξ ψ. Διατί πέντε ὄντων σεσημειωμένων ἀορίστων, λέγω δὴ τοῦ εἶπα, καὶ ἤνεγκα, ἔθηκα, ἔδωκα, ἧκα, ὁ μὲν εἶπα καὶ ἤνεγκα κλί-

νονται εἰς τὰς μετοχὰς καὶ εἰς τὰς λοιπὰς ἐγκλίσεις, ὁ δὲ ἔθηκα, ἔδωκα, ἧκα οὐ κλίνονται; ἐπειδὴ ὁ εἶπα καὶ ὁ ἤνεγκα οὐκ ἔχουσι μέλλοντας ἐν χρήσει τοὺς ὀφείλοντας ἐλέγξαι τὴν παραλογίαν αὐτῶν, ὁ γὰρ ἔψω καὶ ἐνέξω μέλλοντες οὐκ εἰσὶν ἐν χρήσει· τούτου χάριν οὐ κωλύονται κλίνεσθαι καὶ εἰς τὰς μετοχὰς καὶ εἰς τὰς λοιπὰς ἐγκλίσεις. ὁ δὲ ἔδωκα, ἔθηκα, ἧκα, ἐπειδὴ ἔχουσι μέλλοντας ἐν χρήσει, τοὺς ὀφείλοντας ἐλέγξαι τὸν παραλογίαν αὐτῶν, τὸν δώσω, θήσω, ἥσω, τούτου χάριν κωλύονται κλίνεσθαι καὶ εἰς τὰς μετοχὰς καὶ εἰς τὰς λοιπὰς ἐγκλίσεις.

Πόθεν τὸ δόσαν;

δόσαν δέ μοι υἷες Ἀχαιῶν.

ἔστι δίδωμι, δώσω, καὶ ὁ δεύτερος ἀόριστος ἔδων· τὸ πρῶτον τῶν πληθυντικῶν ἔδομεν, καὶ τὸ τρίτον ἔδοσαν, καὶ ποιητικῶς δόσαν. οἱ γὰρ ποιηταὶ πολλάκις συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσιν, οἷον ἔτυπτον, ἔτυπτες, ἔτυπτε, τύπτε.

Ἀορίστου δευτέρου.

Διατί οἱ ἓξ μόνον χρόνοι ἀριθμοῦνται, οἷον ἐνεστὼς, παρατατικὸς, παρακείμενος, ὑπερσυντελικὸς, ἀόριστος, καὶ ὁ δεύτερος ἀόριστος καὶ ὁ μέλλων οὐκ ἀριθμοῦνται; διὰ τὸ τὸν πρῶτον καὶ δεύτερον ἀόριστον ὑπὸ ἕνα χρόνον ἄγεσθαι, καὶ διὰ τὸ τὸν πρῶτον καὶ δεύτερον μέλλοντα ὁμοίως ὑπὸ ἕνα χρόνον ἐνάγεσθαι, δύο γὰρ σημαινόμενα εἰς τοὺς δ. Διατί ἀπὸ μὲν βαρυτόνων θεμάτων ἰσοσυλλαβεῖ ὁ δεύτερος ἀόριστος τῷ πρώτῳ ἀορίστῳ, ἀπὸ δὲ περισπωμένων μιᾷ αὐτοῦ ἐνδεῖ; ἐπειδὴ ἡνίκα βαρύνεται τὸ θέμα ὁ πρῶτος μέλλων καὶ ὁ δεύτερος ἰσοσυλλαβοῦσιν, οἷον τύπτω, τύψω, τυπῶ, κείρω κερῶ, καρῶ. τούτου χάριν τότε καὶ ὁ πρῶτος ἀόριστος καὶ ὁ δεύτερος ἰσοσυλλαβοῦσιν. ἡνίκα δὲ περισπᾶται, τὸ θέμα ἐνδεῖ μιᾷ συλλαβῇ ὁ β μέλλων τοῦ πρώτου μέλλοντος, οἷον κτυπῶ, κτυπήσω, κτυπῶ· δουπῶ, δουπήσω, δουπῶ. τούτου χάριν τότε καὶ ὁ δεύτερος ἀόριστος ἐνδεῖ τοῦ πρώτου μιᾷ συλλαβῇ, οἷον ἐκτύπησα, ἔκτυπον· ἐδούπησα, ἔδουπον.

Πόθεν διακρίνονται οἱ β μέλλοντες ἀπὸ τῶν περισπωμένων; ἐκ τῶν ἰδίων ἐνεστώτων ἐκ τῆς ἐντελείας. οἱ γὰρ β μέλλοντες οὐκ ἔχουσιν ἐντέλειαν, οἷον κτυπέω, δουπέω. οἱ δὲ ἐνεστῶτες ἔχουσι,

κτυπέω κτυπῶ, δουπέω δουπῶ, ποιέω ποιῶ, καὶ ἐκ τούτου διακρίνονται. Πόθεν διακρίνονται οἱ β ἀόριστοι ἀπὸ τῶν παρατατικῶν συνεμπίπτοντες αὐτοῖς, ὡς ἐπὶ τοῦ ἔγραφον, ἔλεγον; ἐκ τῶν μετοχῶν. αἱ γὰρ μετοχαὶ τῶν παρατατικῶν βαρύνονται, οἷον ἔτυπτον τύπτων, ἔκοπτον κόπτων, ἔρραπτον ῥάπτων. αἱ δὲ τῶν β ἀορίστων ὀξύνονται, οἷον τυπὼν, λαβὼν, φαγὼν, δραμὼν, χωρὶς τοῦ πέφνων, τέμνων, κάμνων, λέγων, γράφων. ταῦτα γὰρ δευτέρου ἀορίστου ὄντα βαρύνονται. ὅθεν τοῦ ἔγραφον καὶ ἔλεγον β ἀορίστου τὰ παθητικὰ ἐγράφην καὶ ἐλέγην.

Πότε συστέλλεται ἡ παραλήγουσα τοῦ δευτέρου ἀορίστου ἐπὶ τῶν περισπωμένων, καὶ πότε φυλάττεται μακρά; ὥς φησι Φιλόπονος, ὅτι τὰ ἔχοντα δύο σύμφωνα φυλάττουσι μακρὰν τὴν παραλήγουσαν τοῦ β ἀορίστου ἐπὶ τῶν περισπωμένων, οἷον χραισμῶ ἔχραισμον, ὀλισθῶ ὤλισθον, βλαστῶ, ἔβλαστον, ἁμαρτῶ, ἥμαρτον. τὰ δὲ μὴ ἔχοντα σύμφωνον β συστέλλουσι τὴν παραλήγουσαν τοῦ β ἀορίστου, οἷον λήκω ἔλακον. χωρὶς τοῦ δουπῶ, ἔδουπον, καὶ ποιῶ ἔποιον καὶ εὑρῶ εὗρον. Διατί τὸ ἦλθον καὶ εἶπον ἀπὸ βαρυτόνων θεμάτων ὄντα φύσει μακρᾷ παραλήγεται; ἐπειδὴ ταῦτα λόγῳ ἀρχούσης ἐφύλαξαν τὴν μακρὰν, καὶ γὰρ δισύλλαβα ὄντα τὴν αὐτὴν ἔχουσιν ἄρχουσαν καὶ παραλήγουσαν. Καὶ διατί τὸ εἶπον, εἰ λόγῳ ἀρχούσης προσέλαβε τὸ ι, οὐκ ἀποβάλλει αὐτὸ ἐν ταῖς μετοχαῖς καὶ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι; τὰ γὰρ λόγῳ ἀρχούσης αὐξανόμενα ἀποβάλλονται καὶ ἐν ταῖς μετοχαῖς καὶ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι.

Διατί ἡ εἰπὼν μετοχὴ οὐκ ἀποβάλλει τὸ ι καὶ γίνεται ἐπών; ἵνα μὴ συνεμπέσῃ τῇ ἐπὼν μετοχῇ τῇ σημαινούσῃ τὸ ὑπάρχω. ἔστι γὰρ ὢν, καὶ ἐν συνθέσει γίνεται ἐπὼν ὥσπερ συνὼν καὶ παρών. καὶ ἄλλως, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶς δεύτερος ἀόριστος συναρχόμενος τῷ πρώτῳ ἔχων ἀόριστον ἐν τῇ ὁριστικῇ ἐγκλίσει, συνάρχεται αὐτῷ καὶ ἐν ταῖς μετοχαῖς καὶ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, οἷον ἔτυψα, ἔτυπον, τύψαι, τυπεῖν, τύψαιμι, τύποιμι, τύψον, τύπε, ἐὰν τύψω, ἐὰν τυπῶ, τύψας, τυπὼν, οὕτω καὶ εἶπα, εἰπών. καὶ τούτου χάριν ὁ εἰπὼν β ἀόριστος οὐκ ἀποβάλλει τὸ ι ἐν ταῖς μετοχαῖς οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι. Καὶ διατί ὁ εἶπα ἀόριστος οὐκ ἀποβάλλει τὸ ι ἐν ταῖς μετοχαῖς καὶ

ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν; ἐπειδὴ οὐ προσέλαβε τὸ ι λόγῳ ἀρχούσης, ἀλλὰ λόγῳ παραληγούσης τῆς θέσει μακρᾶς μετελθούσης εἰς φύσει μακράν. τὰ δὲ λόγῳ παραληγούσης μετερχόμενα οὐ μεταβάλλονται οὔτε ἐν ταῖς μετοχαῖς οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, οἷον κερῶ, ἔκειρον, κείρας, κείραιμι, κείρων, ἐὰν κείρω.

Πότε τὸ ἴδον δευτέρου ἀορίστου γράφεται διὰ τοῦ ι, καὶ πότε διὰ τῆς ει διφθόγγου; λόγῳ μὲν ἀρχούσης διὰ τῆς ει διφθόγγου γράφεται, οἷον

> εἶδον γὰρ σκοπιὴν ἐς πεπαλόεσσαν ἐλθών.

λόγῳ δὲ παραληγούσης διὰ τοῦ ι γράφεται,

> οὐκ ἴδον, οὐ πιθόμην.

Διατί τὸ ἰδοῦ προστακτικὸν μέσου ἀορίστου ὂν περισπᾶται, ὥς φησιν Ἡρωδιανός; ὅτι οὐ πάντα τὰ προστακτικὰ τοῦ μέσου ἀορίστου δευτέρου περισπῶνται, καὶ παρατίθεται αὐτοῦ τὸ ἰδοὺ δεικτικὸν καὶ τὸ ἀφίκου. ἄλλοι δὲ λέγουσιν ἵνα μὴ συνεμπέσῃ τῷ ἰδοὺ δεικτικὸν ἐπίρρημα. Πόθεν τὸ ἤμβροτον, ὃ σημαίνει τὸ ἥμαρτον; ἔστιν ἁμαρτῶ, ὁ μέλλων ἁμαρτήσω, ὁ β ἀόριστος ἥμαρτον, καὶ καθ' ὑπερβιβασμὸν τοῦ ρ, καὶ τροπῇ τοῦ α εἰς ο, καὶ πλεονασμῷ τοῦ β ἤμβροτον. Καὶ διατί ἐπλεόνασε τὸ β; ἐπειδὴ τὸ μ πρὸ τοῦ ρ, οὔτε ἐν συλλήψει δύναται εἶναι οὔτε ἐν διαστάσει. ἐν συλλήψει μὲν, ἐπειδὴ ἀμετάβολον ἀμεταβόλου οὐ προηγεῖται κατὰ σύλληψιν, πλὴν τοῦ μ τοῦ ν, οἷον μνᾶ, μνεία. ἐν διαστάσει δὲ οὐκ ἠδύνατο εἶναι τὸ μ πρὸ τοῦ ρ, ἐπειδὴ τὸ ρ οὐ θέλει ἕτερον σύμφωνον πρὸ ἑαυτοῦ, εἰ μὴ τὸ ρ, οἷον ἔρριπτον, ἐπίρρημα, ἄρρωστος, καὶ διὰ τοῦτο ἐπλεόνασε τὸ β, καὶ γέγονεν ἤμβροτον.

Πότε δεῖ λέγειν ἔπληγον καὶ πότε ἔπλαγον; εἰ μὲν σωματικῶς ᾖ, δεῖ λέγειν ἔπληγον διὰ τοῦ η, ἐξ οὗ καὶ τὸ ἐπλήγην· εἰ δὲ ψυχικῶς ᾖ, δεῖ λέγειν ἔπλαγον, ἐξ οὗ καὶ τὸ ἐπλάγην καὶ ἐξεπλάγην καὶ κατεπλάγην. ὁ δὲ ποιητὴς ἐπὶ τῆς ψυχικῆς διαθέσεως κατεπλήγην εἶπε διὰ τὴν ἀνάγκην τοῦ μέτρου. τὸ αὐτὸ δὲ λέγω καὶ ἐπὶ τοῦ πονῶ, πονέσω, καὶ πονήσω. δεῖ λέγειν σωματικῶς μὲν διὰ τοῦ ε, ψυχικῶς δὲ διὰ τοῦ η.

Πόθεν τὸ ἔπεφνον; ἔστι φένω καὶ σημαίνει τὸ φονεύω. ὅπερ

γέγονεν ἐκ τοῦ φῶ τοῦ φονεύω, ὁ β ἀόριστος ἔφενον, καὶ ἐπέφενον, καὶ κατὰ συγκοπὴν ἔπεφνον. Πόθεν τὸ τετύκοντο, ὃ σημαίνει τὸ κατεσκεύασαν; ἔστι τεύχω τὸ κατασκευάζω, ὁ β ἀόριστος ἔτυχον, ὁ μέσος ἐτυχόμην, καὶ τὸ γ τῶν πληθυντικῶν ἐτύχοντο, καὶ κατὰ διπλασιασμὸν τοῦ τ καὶ τροπῇ τοῦ χ εἰς κ τετύκοντο, οἷον

τετύκοντο δὲ δαῖτα.

Πῶς συστέλλεται ἡ παραλήγουσα τοῦ β ἀορίστου; ἰστέον ὅτι ὁ β ἀόριστος διχρόνῳ ὀφείλει παραλήγειν, ὅτι καὶ ἐπὶ τοῦ τρώγω ἔτραγον, τὸ ω εἰς α ἐτράπη· καὶ ἐπὶ τοῦ λήβω ἔλαβον τὸ η εἰς α, καὶ τοῦ μήθω ἔμαθον, καὶ φήγω ἔφαγον, καὶ πρήθω ἔπραθον· ὡσαύτως ἐὰν εὑρεθῶσι β δίχρονα ἐν τῷ ἐνεστῶτι, ποῖον ἀποβάλλεται ἐν τῷ δευτέρῳ ἀορίστῳ; τὸ δεύτερον ἀποβάλλεται, καὶ φυλάττεται τὸ πρῶτον, οἷον καίω ἔκαον, ἐξ οὗ τὸ ἐκάην· χαίρω ἔχαρον ἐξ οὗ τὸ ἐχάρην· μαίνω ἔμαινον ἐξ οὗ τὸ ἐμάνην· φαίνω ἔφανον ἐξ οὗ τὸ ἐφάνην· παύω ἔπαυον ἐξ οὗ τὸ ἐπάην καὶ ἀνεπάην ἐν τῇ συνηθείᾳ.

Ποῦ συστέλλεται ἡ ει δίφθογγος; ἐν τῷ β ἀορίστῳ, τὸ ε ἀποβάλλει καὶ φυλάττει τὸ ι, οἷον λείπω, ἔλιπον· πείθω, ἔπιθον, ἐξ οὗ καὶ τὸ ἀπεπίθην· λείβω, ἔλιβον. χωρὶς τῶν δισυλλάβων τῆς ε συζυγίας, ἐπ' ἐκείνων γὰρ τὸ ι ἀποβάλλεται, καὶ τρέπεται τὸ ε εἰς α κατὰ τὸν β ἀόριστον, οἷον κείρω, κερῶ, ἔκαρον, ἐξ οὗ καὶ τὸ ἐκάρην· φθείρω, φθερῶ, ἔφθαρον, ἐξ οὗ καὶ τὸ ἐφθάρην· σπείρω, ἔσπαρον, ἐξ οὗ τὸ ἐσπάρην· κτείνω κτενῶ, ἔκτανον, ἐξ οὗ τὸ ἐκτάνην.

Πόθεν τὸ ἔπεσον; ὡς φησὶν Ἡρωδιανὸς, ἐκ τοῦ πεσῶ περισπωμένου γίνεται ὁ μέλλων πεσήσω, ἐξ οὗ καὶ ῥηματικὸν ὄνομα πέσημα, καὶ ὁ ἀόριστος β ἔπεσον, ὥσπερ καὶ ἐκ τοῦ χραισμῶ ἔχραισμον, καὶ κτυπῶ, ἔκτυπον. Καὶ διατί μὴ ἐκ τοῦ πέσω βαρυτόνου γέγονε τὸ ἔπεσον; ἐπειδὴ οὐ δύναται ἓν σ χαρακτηριστικὸν εἶναι βαρυτόνου ἐνεστῶτος. ἡ γὰρ δ συζυγία τῶν βαρυτόνων διὰ τοῦ ζ ἢ δύο σσ ἐκφέρεται, οὐ μὴν δι' ἑνὸς σ, οἷον φράζω, ὀρύσσω.

Μέλλων πρῶτος.

Διατί ὁ θρέψω καὶ θρέξω καὶ ἕξω μέλλοντες οὐ συνάρχονται τοῖς ἰδίοις ἐνεστῶσιν; ὁ μὲν θρέψω καὶ θρέξω οὐ συνάρχονται. ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι οὐδέποτε δισύλλαβος λέξις θέλει εἶναι ἐν χρήσει, τῆς προτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος. καὶ ἐπειδὴ ἕτερος κανών ἐστιν ὁ λέγων, ὅτι τὸ ρ μετὰ δασέων δασύνεται, καὶ μετὰ ψιλῶν ψιλοῦται. καὶ εἰ ἐγένετο θρέφω καὶ θρέχω, ὤφειλε δασύνεσθαι τὸ ρ, καὶ διὰ τοῦτο ἐτράπη τὸ ψιλὸν εἰς δασὺ, καὶ ἐγένετο τρέφω καὶ τρέχω. τὸ δὲ ἕξω οὐ συνάρχεται, ἐπειδὴ δασύνεται τοῦ ἐνεστῶτος ψιλουμένου. Ποῖα ῥήματά βαρύτονα ὄντα ποιοῦσιν ὡς ἀπὸ περισπωμένων τοὺς μέλλοντας; τὰ ἔχοντα ἐν λ. ἐπὶ τούτων γὰρ μιᾷ συλλαβῇ περισσεύει ὁ μέλλων τοῦ ἐνεστῶτος, οἷον θέλω, θελήσω· βούλω, βουλήσω· μέλω, μελήσω,

μελήσουσι δέ μοι ἵπποι.

καὶ τὸ ὀφείλω ὀφειλήσω καὶ τὰ ὅμοια.

Διατί ἡνίκα ὁ ἐνεστὼς διὰ τοῦ β ἢ π ἢ φ ἢ πτ ἐκφέρεται, τότε ὁ μέλλων διὰ τοῦ ψ; ἐπειδὴ ἀναλογεῖ ὁ μέλλων τῇ εὐθείᾳ, ὁ δὲ ἐνεστὼς τῇ γενικῇ. καὶ ἡνίκα ἡ εὐθεῖα διὰ τοῦ ψ ἐκφέρεται, τότε καὶ ἡ γενικὴ διὰ τοῦ β ἢ π ἢ φ ἐκφέρεται, οἷον Ἄραψ Ἄραβος, Κύκλωψ Κύκλωπος, Κίνυψ[c] Κίνυφος. καὶ τούτου χάριν ὅταν ὁ ἐνεστὼς διὰ τοῦ β ἢ π ἢ φ ἢ πτ ἐκφέρεται, τότε καὶ ὁ μέλλων διὰ τοῦ ψ ἐκφέρεται. Πότε ὁ μέλλων τῆς δ συζυγίας διὰ τοῦ ξ ἐκφέρεται, καὶ πότε διὰ τοῦ σ; ἡνίκα μὲν ὁ ἐνεστὼς διὰ τῶν δύο σσ ἐκφέρεται, τότε καὶ ὁ μέλλων διὰ τοῦ ξ ἐκφέρεται, χωρὶς τοῦ ἱμάσσω, ἱμάσω· ἰνάσσω, ἰνάσω· πάσσω πάσω· πλάσσω, πλάσω· λεύσσω, λεύσω, καὶ ἐρέσσω, ἐρέσω. ἡνίκα δὲ διὰ τοῦ ζ ἐκφέρεται ὁ ἐνεστὼς ὑπὲρ δύο συλλαβὰς ὑπάρχων, τότε καὶ ὁ μέλλων διὰ τοῦ σ ἐκφέρεται, χωρὶς τοῦ οἰμώζω οἰμώξω· αἰάζω αἰάξω· θρυλλίζω, θρυλλίξω· στηρίζω, στηρίξω· στενάζω, στενάξω· ἀλαλάζω, ἀλαλάξω· ὀλολύζω, ὀλολύξω· καὶ ἀλαπάζω, ἀλαπάξω. τὰ δὲ διὰ τοῦ ξ ἐκφερόμενα δισύλλαβα ὄντα διφορεῖται. πότε μὲν γὰρ διὰ τοῦ ξ ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον

[c] Cod. κίνυξ.

κράζω, κράξω· στίζω, στίξω· φράζω, φράξω· παίζω, παίξω. πότε δὲ διὰ τοῦ σ, οἷον φράζω, φράσω· πρίζω, πρίσω· κτίζω, κτίσω.

Διατί περισπῶσιν οἱ Ἀθηναῖοι τὸν μέλλοντα ἐπὶ τῶν διὰ τοῦ ιζω ῥημάτων ὑπὲρ δύο συλλαβάς; ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι ἡ παραλήγουσα τοῦ βαρυτόνου μέλλοντος ἢ ἴση θέλει εἶναι πρὸς τὴν παραλήγουσαν τοῦ βαρυτόνου ἐνεστῶτος, ἢ μείζων, οὐδέποτε δὲ ἐλάττων, χωρὶς τοῦ πνίγω πνίξω· ἐρύκω ἐρύξω· ψύχω ψύξω. ἐπεὶ οὖν ἐπὶ τῶν διὰ τοῦ ιζω ὑπὲρ δύο συλλαβὰς ἐλάττων εὑρίσκεται ἡ παραλήγουσα τοῦ μέλλοντος τοῦ ἰδίου ἐνεστῶτος, τούτου χάριν περισπῶσιν αὐτήν. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ἡνίκα ὁ μέλλων ἐλάττονα ἔχει τὴν ἰδίαν παραλήγουσαν τῆς παραληγούσης τοῦ βαρυτόνου ἐνεστῶτος, περισπᾶται, οἷον κείρω κερῶ, φθείρω φθερῶ, μαίνω μιανῶ.

Τιμοθέου Γάζης κανόνες καθολικοὶ περὶ Συντάξεως.

Πᾶν σύμφωνον μεταξὺ δύο φωνηέντων ἐν ἑνὶ μέρει λόγου, ἤγουν ἐν μιᾷ λέξει, τῷ ἐπιφερομένῳ φωνήεντι συνάπτεται, οἷον ἄγω, φέρω, δέρω, χαίρω, Πλάτωνος, Θέωνος, πρόσοδος, ἔξοδος, εἴσοδος, δυσώδης. ἰδοὺ ἐπὶ τούτων τὸ σύμφωνον μεταξὺ δύο φωνηέντων ὑπάρχον, τῷ ἐπιφερομένῳ φωνήεντι συνάπτεται, καὶ οὐ τῷ προηγουμένῳ. ἐπὶ μὲν γὰρ τοῦ ἄγω, τὸ γ μετὰ τοῦ ω ἐστὶ καὶ οὐ μετὰ τοῦ α. ἐπὶ δὲ τοῦ φέρω τὸ ρ μετὰ τοῦ ω ἐστι, καὶ οὐ μετὰ τοῦ ε. καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως. Πρόσκειται ἐν τῷ κανόνι ἐν ἑνὶ μέρει λόγου, ἤγουν ἐν μιᾷ λέξει. ἐπειδὴ ἐὰν εὑρεθῶσι δύο μέρη λόγου, ἤγουν δύο λέξεις, οὐ συνάπτεται τὸ σύμφωνον τῷ ἐπιφερομένῳ φωνήεντι, ἀλλὰ χωρὶς εὑρίσκεται τὸ σύμφωνον τῆς προηγουμένης λέξεως, καὶ χωρὶς τὸ φωνῆεν τῆς ἐπιφερομένης, οἷον ὑπὲρ Ἀπολλωνίου, σὺν Ἀπολλωνίῳ, πρὸς Ἀπολλώνιον. ἐπὶ τούτων γάρ, ἐπειδὴ δύο λέξεις εἰσὶν, οὐ συνάπτεται τὸ σύμφωνον τῷ ἐπιφερομένῳ φωνήεντι, ἀλλὰ χωρὶς ἐστὶ τὸ σύμφωνον, καὶ χωρὶς τὸ φωνῆεν. ἐπὶ μὲν γὰρ τοῦ ὑπὲρ Ἀπολλωνίου τὸ ρ χωρὶς ἐστὶ καὶ τὸ α χωρὶς, ἐπὶ δὲ τοῦ σὺν Ἀπολλωνίῳ τὸ ν χωρὶς καὶ τὸ α χωρίς, ἐπὶ δὲ τοῦ πρὸς Ἀπολλώνιον τὸ σ χωρὶς καὶ τὸ α χωρίς. Δεῖ προσθεῖναι χωρὶς τῶν ἐχόντων ἔκθλιψιν· ἐπὶ τούτων γὰρ τὸ σύμφωνον τῷ ἐπιφερομένῳ φωνήεντι συνάπτεται, οἷον κατ' Ἀπολλω-

νίου, μετ' Ἀριστάρχου, ἐπ' αὐτῷ, κατ' αὐτὸν, καθ' ἡμῶν. ἰδοὺ γὰρ ἐπὶ τούτων εἰ καὶ δύο λέξεις εἰσι, τὸ σύμφωνον τῷ ἐπιφερομένῳ φωνήεντι συνάπτεται, ἐπειδὴ ἔκθλιψις ἐγένετο. ἀλλ' ἐπειδὴ ἐκθλίψεως ἐμνημονεύσαμεν, μάθωμεν τί ἐστιν ἔκθλιψις.

Δεῖ γινώσκειν ὅτι ἔκθλιψις ἐστὶν, ἡνίκα εὑρεθείη λέξις εἰς φωνῆεν ἢ εἰς φωνήεντα καταλήγουσα, τῆς ἐπιφερομένης λέξεως ἀπὸ φωνήεντος ἢ φωνηέντων ἀρχομένης· τότε γὰρ διὰ τὸ κεχηνὸς, ἤγουν διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων, ἐκθλίβεται, καὶ οἱονεὶ ἀποβάλλεται τὸ τέλος τῆς προηγουμένης λέξεως, ἤγουν τὸ φωνῆεν ἢ τὰ φωνήεντα, οἷον κατὰ ἐμοῦ, κατ' ἐμοῦ, ἀπὸ Ἀριστάρχου, ἀπ' Ἀριστάρχου, κατὰ εὐέργου, κατ' εὐέργου. ἔστι δὲ τὸ εὔεργος ὄνομα θηλυκόν· βούλομαι ἐγὼ, βούλομ' ἐγώ.

Τὰ ἄφωνα πρὸ τῶν ἀμεταβόλων ἐν συλλήψει εἰσὶν, ἤγουν ὁμοῦ εἰσι· καὶ οὐκ ἔστι χωρὶς τὸ ἄφωνον, καὶ χωρὶς τὸ ἀμετάβολον, οἷον ἀκμὴ, ἀτμὸς, ὄγκος, ἀγρὸς, ἔκλαιον, ἔθνησκον, ἔπλεον, ἁβρός· ἰδοὺ ἐπὶ τούτων δύο σύμφωνα ὁμοῦ εἰσιν, ἐπειδὴ ἄφωνον πρὸ ἀμεταβόλου ἐστί. Δεῖ προσθεῖναι χωρὶς τῶν ὄντων ἀπὸ τῆς ἐξ προθέσεως. ταῦτα γὰρ ἐν διαστάσει ἔχουσι τὸ ἄφωνον μετὰ τῶν ἐπιφερομένων ἀμεταβόλων, ἤγουν ἐν ἄλλῃ συλλαβῇ τὸ ἄφωνον, καὶ ἐν ἄλλῃ τὸ ἀμετάβολον, οἷον ἐκλῦσαι, ἐκνευρίσαι, ἐκρεῦσαι, ἐκμάξαι. ἰδοὺ ἐπὶ τούτων οὐκ ἔστιν ὁμοῦ τὸ ἄφωνον καὶ τὸ ἀμετάβολον, ἀλλ' ἐν ἄλλῃ συλλαβῇ τὸ ἄφωνον καὶ ἐν ἄλλῃ τὸ ἀμετάβολον, ἀλλὰ ἀπὸ τῆς ἐξ προθέσεως εἰσίν. ἄφωνα δὲ ὡς καὶ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν ἐννέα εἰσὶν, β, γ, δ, κ, π, τ, θ, φ, χ· ἀμετάβολα δὲ τέσσαρα, λ, μ, ν, ρ.

Τὰ σύμφωνα τὰ ἐν ἀρχῇ λέξεως εὑρισκόμενα, ἀεὶ ἐν συλλήψει εἰσι, καὶ οὐ χωρὶς, οἷον κτύπος, κτῆμα, πτῶσις, σθένος, θρόνος· οὐδὲ γὰρ προηγεῖται αὐτῶν φωνῆεν τὸ ὀφεῖλον τοῦ ἑνὸς συμφώνου τὴν σύνταξιν ἀναδέξασθαι. Τὸ σ πρὸ πάντων τῶν ἀφώνων ἐν συλλήψει ἐστὶν, ἤγουν ὁμοῦ εἰσὶ τὰ δύο, τὸ σ καὶ τὸ ἐπιφερόμενον ἄφωνον, οἷον ἔσβεσε, φάσγανον· σημαίνει δὲ τὸ ξίφος· θεόσδοτος, ἀσκὸς, ἀστὴρ, ἀσπὶς, ἀσθενὴς, ἀσχημοσύνη, ἑωσφόρος· ἰδοὺ ἐπὶ τούτων τὸ σ μετὰ τῶν ἐπιφερομένων ἀφώνων ὁμοῦ ἐστι. Δεῖ προσθεῖναι χωρὶς τῶν ὄντων ἀπὸ τῆς εἰς προθέσεως, καὶ ἀπὸ τῆς πρὸς, καὶ ἀπὸ τοῦ δυς ἐπιρρήματος· ταῦτα γὰρ ἐν διαστάσει

ἔχουσι τὸ σ μετὰ τῶν ἐπιφερομένων ἀφώνων, ἤγουν ἐν ἄλλῃ συλλαβῇ ἔχουσι τὸ σ, καὶ ἐν ἄλλῃ τὸ ἐπιφερόμενον ἄφωνον, οἷον εἰσφέρω, προσφορὰ, δυστυχής· ἰδοὺ ἐπὶ τούτων οὐκ ἔστιν ὁμοῦ τὸ σ μετὰ τῶν ἐπιφερομένων ἀφώνων, ἀλλ' ἐν ἄλλῃ συλλαβῇ ἐστὶ τὸ σ καὶ ἐν ἄλλῃ τὸ ἐπιφερόμενον ἄφωνον.

Τὸ σ μετὰ πάντων τῶν ἁπλῶν συμφώνων κατὰ σύλληψιν θέλει εἶναι, ἤγουν ὁμοῦ· καὶ ἢ κατὰ πρόταξιν εὑρίσκεται, ἢ καθ' ὑπόταξιν. καὶ προηγεῖται μὲν οἷς οὐχ ὑποτάττεται, οἷον σθένος, σκιὰ, σπῶ, στῆναι, σφαῖρα, σχίζω· ὑποτάττεται δὲ ὧν οὐ προηγεῖται, οἷον Ἄπυς[z], Τίρυνς, ἔστι δὲ ὄνομα πόλεως, μάκαρς, σημαίνει δὲ τὸν μακάριον. Δεῖ προσθεῖναι χωρὶς τῶν ὄντων ἀπὸ τῆς εἰς καὶ τῆς πρὸς προθέσεως καὶ ἀπὸ τοῦ δυς ἐπιρρήματος· ταῦτα γὰρ ἐν διαστάσει ἔχουσι τὸ σ πρὸς τὸ ἐπιφερόμενον σύμφωνον, οἷον προσφέρω, εἰσβολὴ, δυστυχής.

Ἐπεὶ δὲ ἁπλῶν συμφώνων ἐμνημονεύσαμεν, δεῖ γινώσκειν ὅτι πάντα τὰ σύμφωνα ἁπλᾶ εἰσὶ χωρὶς τῶν γ διπλῶν, φημὶ δὴ ζ, ξ, ψ. Τὰ σύμφωνα τὰ ἐν ἀρχῇ λέξεως εὑρισκόμενα, καὶ ἐν τῷ μέσῳ ἐὰν εὑρεθῶσιν, ἐν συλλήψει εὑρίσκονται, οἷον ἐν τῷ κτῆμα, τὸ κτ ἐν ἀρχῇ λέξεώς ἐστιν, ἀλλὰ δὲ ἐν τῷ ἔτικτον εὑρεθέντα ἐν τῷ μέσῳ τὸ κ καὶ τὸ τ ὁμοῦ ἐστίν· πάλιν κλαίω ἔκλαιον, πρίζω ἔπριζον, βδέλλα, ἑβδομὰς, χθὼν, ἐχθὲς, φθείρω, ἐφθόνουν· ἰδοὺ ἐπὶ τούτων τὰ σύμφωνα τὰ ἐν τῇ ἀρχῇ τῆς λέξεως ὄντα, εὑρεθέντα καὶ ἐν τῷ μέσῳ ὁμοίως εἰσί. Δεῖ προσθεῖναι χωρὶς τῶν ὄντων ἀπὸ τῆς εἰς προθέσεως καὶ τῆς πρὸς καὶ τῆς ἐξ καὶ τοῦ δυς ἐπιρρήματος, ἐπὶ τούτων γὰρ τὰ σύμφωνα εὑρίσκονται ἐν ἀρχῇ λέξεως, καὶ ὅμως ἐν τῷ μέσῳ οὐχ εὑρίσκονται ἐν συλλήψει, ἀλλ' ἐν διαστάσει, τουτέστιν ἐν ἄλλῃ συλλαβῇ τὸ ἓν σύμφωνον, καὶ ἐν ἄλλῃ τὸ ἕτερον, οἷον ἐν τῷ σφαῖρα τὸ σ καὶ τὸ φ ἐν ἀρχῇ εἰσι, καὶ ὅμως ἐν τῷ εἰσφέρω καὶ προσφορὰ ἐν τῷ μέσῳ εὑρεθέντα, οὐκ εἰσὶν ὁμοῦ ἀλλ' ἐν διαστάσει, τουτέστιν ἐν ἄλλῃ συλλαβῇ τὸ ἓν σύμφωνον καὶ ἐν ἄλλῃ τὸ ἕτερον. καὶ πάλιν ἐν τῷ στῆναι τὸ σ καὶ τὸ τ ἐν ἀρχῇ εἰσι, καὶ ὅμως ἐν τῷ δυστυχὴς, ἐν τῷ μέσῳ εὑρεθέντα οὐκ εἰσὶν ὁμοῦ ἀλλ' ἐν διαστάσει. καὶ πάλιν ἐν τῷ

[z] Fors. leg. Ἄρυνς aut ἄλς.

κλαίω, τὸ κ καὶ τὸ λ ἐν ἀρχῇ εἰσι, καὶ ὅμως ἐν τῷ ἑλκύσαι ἐν τῷ μέσῳ εὑρεθέντα, οὐκ εἰσὶν ὁμοῦ ἀλλ' ἐν διαστάσει.

Τὰ ψιλὰ ψιλῶν ἡγοῦνται, καὶ τὰ δασέα δασέων, καὶ τὰ μέσα μέσων κατὰ σύλληψιν, οἷον ἔπιπτον, ἔτικτον· τὸ γὰρ π καὶ τ ψιλὰ ὄντα, ἅμα εἰσὶ, καὶ τὸ κ καὶ τὸ τ ὁμοίως· καὶ πάλιν ἔφθειρον, ἐχθαίρω τὸ μισῶ· τὸ γὰρ φ καὶ θ δασέα ὄντα ἅμα εἰσι, καὶ τὸ χ καὶ θ ὁμοίως· καὶ πάλιν ἑβδομὰς, ὄγδοος· τὸ γὰρ β καὶ δ μέσα ὄντα ἅμα εἰσὶ, καὶ τὸ γ καὶ δ ὁμοίως. Δεῖ προσθεῖναι χωρὶς τῶν ὄντων ἀπὸ τῆς ἐξ, διὰ τὸ ἐκτείνω ὃ σημαίνει τὸ ἕλκω· ἐνταῦθα γὰρ τὰ ψιλὰ ἐν διαστάσει εἰσὶν, ἐν ἄλλῃ γὰρ συλλαβῇ ἐστὶ τὸ κ καὶ ἐν ἄλλῃ τὸ τ· πρόσκειται ψιλὰ ψιλῶν, διὰ τὸ Γότθος καὶ Βάκχος καὶ Σαπφώ. ταῦτα γὰρ ἐν διαστάσει εἰσὶν, ἀλλ' οὐχ ἡγοῦνται ἐνταῦθα ψιλὰ ψιλῶν, ἀλλὰ ψιλὰ δασέων· τὸ μὲν γὰρ κ π τ ψιλά εἰσι, τὸ δὲ θ φ χ δασέα· πρόσκειται δὲ καὶ μέσα μέσων, διὰ τὸ ἀγκὼν καὶ ἔγχος· ἐνταῦθα γὰρ ἐν διαστάσει εἰσὶ τὰ σύμφωνα, ἐν ἄλλῃ δὲ συλλαβῇ ἐστὶ τὸ ἓν σύμφωνον, καὶ ἐν ἄλλῃ τὸ ἕτερον, ἐπειδὴ οὐχ ἡγοῦνται μέσα μέσων, ἀλλὰ πῇ μὲν μέσον ψιλοῦ, ὡς ἐν τῷ ἀγκὼν, τὸ γὰρ γ μέσον ἐστὶ, τὸ δὲ κ ψιλὸν, πῇ δὲ μέσον δασέος, ὡς ἐν τῷ ἔγχος· τὸ μὲν γὰρ γ μέσον ἐστὶ, τὸ δὲ χ δασύ· οὐχ ὡς ἔτυχε δὲ ψιλὰ ψιλῶν ἡγοῦνται καὶ δασέα δασέων καὶ μέσα μέσων κατὰ σύλληψιν. οὐδὲ γὰρ τὸ κ ψιλὸν ὂν προηγεῖται τοῦ π ψιλοῦ ὄντος κατὰ σύλληψιν· οὐδὲ τὸ θ δασὺ ὂν, προηγεῖται τοῦ φ δασέος ὄντα κατὰ σύλληψιν· οὐδὲ τὸ β, μέσον ὂν, προηγεῖται τοῦ γ, μέσου ὄντος κατὰ σύλληψιν. ἀλλὰ τὰ τῆς πρώτης καὶ δευτέρας συζυγίας ψιλὰ, δασέα, μέσα προηγοῦνται τῶν τῆς τρίτης συζυγίας δασέος, ψιλοῦ, μέσου.

Σαφηνίσωμεν οὖν τὸ λεχθὲν ὡς ἐν τῇ τέχνῃ Διονυσίου μεμαθήκαμεν. ἡ πρώτη συζυγία τῶν βαρυτόνων ἐκφέρεται διὰ δασέος ψιλοῦ καὶ μέσου, οἷον διὰ τοῦ β ἢ π ἢ φ, ὡς ἐπὶ τοῦ λείβω, ὃ σημαίνει τὸ σπένδω, γράφω, τέρπω. καὶ ἔχει ψιλὸν μὲν τὸ π, δασὺ δὲ τὸ φ, μέσον δὲ τὸ β. ὡσαύτως καὶ ἡ δευτέρα συζυγία τῶν βαρυτόνων ἐκφέρεται διὰ δασέος ψιλοῦ καὶ μέσου, οἷον διὰ τοῦ γ ἢ κ ἢ χ, ὡς ἐπὶ τοῦ λέγω, πλέκω, τρέχω· καὶ ἔχει ψιλὸν μὲν τὸ κ, δασὺ δὲ τὸ χ, μέσον δὲ τὸ γ· ὡσαύτως καὶ ἡ τρίτη συζυγία τῶν βαρυτόνων ἐκφέρεται διὰ δασέος καὶ ψιλοῦ καὶ

μέσου, οἷον διὰ τοῦ δ ἢ θ ἢ τ, ὡς ἐπὶ τοῦ ἄδω τοῦ σημαίνοντος τὸ τραγῳδῶ, καὶ τοῦ πλήθω τοῦ σημαίνοντος τὸ πλημμυρῶ, καὶ τοῦ ἀνύτω τοῦ σημαίνοντος τὸ ἀνύω. τούτων οὕτως ἐχόντων τὰ τῆς πρώτης καὶ δευτέρας συζυγίας ψιλὰ, δασέα, μέσα προηγοῦνται τῶν τῆς τρίτης συζυγίας δασέος, ψιλοῦ, μέσου, οἷον τὸ π τὸ ψιλὸν τῆς πρώτης συζυγίας, τὸ κ τὸ ψιλὸν τῆς δευτέρας συζυγίας προηγοῦνται τοῦ τ τοῦ ψιλοῦ τῆς τρίτης συζυγίας, ὡς ἐπὶ τοῦ πτῶσις, ἔπιπτον, κτῆμα· καὶ πάλιν τὸ φ τὸ δασὺ τῆς α συζυγίας, καὶ τὸ χ τὸ δασὺ τῆς β συζυγίας, προηγοῦνται τοῦ θ τοῦ δασέος τῆς γ συζυγίας, ὡς ἐπὶ τοῦ φθόνος, φθείρω, χθὼν, ἐχθαίρω. καὶ πάλιν τὸ β τὸ μέσον τῆς α συζυγίας, καὶ τὸ γ τὸ μέσον τῆς δευτέρας συζυγίας, προηγοῦνται τοῦ δ τοῦ μέσου τῆς τρίτης συζυγίας, ὡς ἐπὶ τοῦ βδέλλα, ἑβδομὰς, ὄγδοος· σεσημείωται τὸ λάγβατα καὶ τὸ λακπάτητον. ἐνταῦθα γὰρ τὸ γ καὶ τὸ β τῆς β ὄντα συζυγίας προηγοῦνται τοῦ β καὶ τοῦ π τῆς πρώτης ὄντα συζυγίας, ὅπερ ἄτοπον. ὡς γὰρ προείρηται τὰ τῆς πρώτης καὶ δευτέρας συζυγίας δασέα, μέσα, ψιλὰ τῶν τῆς τρίτης συζυγίας δασέος, ψιλοῦ, μέσου προηγοῦνται. οὐ μὴν τὰ τῆς δευτέρας τῶν τῆς πρώτης ἢ τὰ τῆς πρώτης τῶν τῆς δευτέρας· σημαίνει δὲ τὸ μὲν λάγβατα τὸν ἀπὸ λακτίσματος τόπον βαινόμενον· τὸ δὲ λακπάτητον σημαίνει τὸν ἀπὸ λακτίσματος τόπον πατούμενον.

Τὰ ἀμετάβολα πρὸ τῶν ἀφώνων ἐν διαστάσει εἰσὶν, οἷον ἕρπω τὸ βαδίζω, ἕλκω, ἄνθος, ἄρτος, ἔργον, ἔμβολος, σύμφωνον, σύμπονος.

Τὰ ὑποταττόμενα τινὶ ἐν συλλήψει, ἐὰν ἀντιπροηγήσωνται, ἐν διαστάσει εἰσίν. ἀντιπροηγοῦνται, οἷον ἐν τῷ πρῶτος, τὸ ρ τῷ π ὑποτέτακται κατὰ σύλληψιν. ἀντιπροηγησάμενον δὲ τοῦ π ἐν τῷ ἕρπω κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγήσατο. πάλιν ἐν τῷ θνήσκω τὸ ν τῷ θ ὑποτέτακται κατὰ σύλληψιν, ἀντιπροηγησάμενον δὲ τοῦ θ ἐν τῷ ἄνθος, κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγήσατο.

Πᾶσα συλλαβὴ καταλήγουσα εἰς σ ἔχει καὶ τὴν ἑξῆς συλλαβὴν ἀρχομένην ἀπὸ τοῦ σ, οἷον ἀνάσσω, ἑλίσσω, νύσσω, ὀρύσσω, τινάσσω. δεῖ προσθεῖναι χωρὶς τῶν ἀπὸ τῆς εις προθέσεως καὶ τῆς πρὸς καὶ τοῦ δυς ἐπιρρήματος. ἐπὶ τούτων γὰρ πολλάκις λήγει εἰς σ ἡ συλλαβὴ, καὶ οὐκ ἄρχεται ἡ ἐπιφερομένη συλλαβὴ ἀπὸ τοῦ σ, οἷον προσφορὰ, εἰσφορὰ, δυστυχής· ἀμετάβολον ἀμε-

ταβόλου οὐ προηγεῖται κατὰ σύλληψιν, ἀλλὰ κατὰ διάστασιν, οἷον ἀρνὸς, Ἑρμῆς, ἅλμη, ἔρνος, ὄλμος· ἰδοὺ ἐπὶ τούτων τὸ ἓν ἀμετάβολον ληκτικόν ἐστι τῆς προηγουμένης συλλαβῆς, και τὸ ἕτερον ἀρκτικὸν τῆς ἐπιφερομένης, καὶ οὐκ εἰσὶν ὁμοῦ. δεῖ προσθεῖναι χωρὶς τοῦ μ καὶ ν, ταῦτα γὰρ εὑρίσκονται κατὰ σύλληψιν, ὡς ἐπὶ τοῦ μνᾶ, μνημεῖον· ἐνταῦθα γὰρ τὸ μ καὶ τὸ ν ὁμοῦ εἰσιν. ἡμίφωνον ἡμιφώνου οὐ προηγεῖται κατὰ σύλληψιν ἀλλὰ κατὰ διάστασιν, οἷον πλήσσω, τίλλω, πανσέληνον, ἄλσος, θάλψαι, ἄρξαι, μέμψαι· ἰδοὺ γὰρ ἐπὶ τούτων δύο ἡμίφωνα, ὧν τὸ μὲν ἓν ληκτικόν ἐστι τῆς προηγουμένης συλλαβῆς, τὸ δὲ ἕτερον ἀρκτικὸν τῆς ἐπιφερομένης. Δεῖ προσθεῖναι χωρὶς τοῦ μ καὶ τοῦ ν καὶ τοῦ σ καὶ τοῦ μ, καὶ τῶν συλλαβῶν τῶν οὐσῶν ἐν τέλει λέξεως, ἐπὶ τούτων γὰρ εὑρίσκονται ἡμίφωνα ἡμιφώνων προηγούμενα κατὰ σύλληψιν. καὶ ἐπὶ μὲν τοῦ μ καὶ ν ὡς ἐπὶ τοῦ μνᾶ καὶ μνημεῖον, ἐπὶ δὲ τοῦ σ καὶ μ, ὡς ἐπὶ τοῦ σμῶ καὶ σμιλίον καὶ κόσμος· ἐπὶ δὲ τῶν συλλαβῶν τῶν οὐσῶν ἐν τέλει λέξεως, οἷον ἅλς, μάκαρς, Τίρυνς, ἕλμινς. ἰδοὺ ἐπὶ τούτων εὑρέθησαν ἡμίφωνα ἡμιφώνων προηγούμενα κατὰ σύλληψιν, ἐπειδὴ οὐκ ἔχουσι φωνῆεν ἐπιφερόμενον τὸ ὀφεῖλον τοῦ ἑνὸς συμφώνου τὴν σύνταξιν ἀναδέξασθαι.

Ἐπειδὴ δὲ ἡμιφώνων ἐμνημονεύσαμεν, δεῖ γινώσκειν ὅτι ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, ἡμίφωνα ἐστὶν ὀκτὼ, ζ, ξ, ψ, λ, μ, ν, ρ, σ, διπλᾶ τε ὄντα καὶ ἀμετάβολα.

Οὐδέποτε τὰ ἁπλᾶ σύμφωνα μετὰ τῶν διπλῶν συμφώνων εὑρίσκονται κατὰ σύλληψιν, ἀλλ' ἐν διαστάσει, οἷον θάλψαι, πέμψαι, ἄρξαι, ἄγξαι· ἰδοὺ γὰρ ἐπὶ τούτων τὸ μὲν ἁπλοῦν σύμφωνον τῆς προηγουμένης συλλαβῆς ληκτικόν ἐστι, τὸ δὲ διπλοῦν ἀρκτικὸν τῆς ἐπιφερομένης. Δεῖ προσθεῖναι χωρὶς εἰ μὴ ἐν τέλει λέξεως, πολλάκις γὰρ ἐν τέλει λέξεως εὑρίσκονται τὰ ἁπλᾶ μετὰ τῶν διπλῶν κατὰ σύλληψιν, ὡς ἐπὶ τοῦ σὰρξ, σάλπιγξ· ἐπὶ τούτων γὰρ ἐν συλλήψει εἰσὶ τὰ σύμφωνα, καὶ τοῦτο ἐξ ἀνάγκης· οὐδὲ γὰρ ἔχουσι φωνῆεν ἐπιφερόμενον τὸ ὀφεῖλον τοῦ ἑνὸς συμφώνου τὴν σύνταξιν ἀναδέξασθαι. Δεῖ γινώσκειν ὅτι οὐδέποτε δύο τὰ αὐτὰ σύμφωνα ἐν συλλήψει εὑρίσκονται, ἀλλ' ἐν διαστάσει, οἷον πάλλω, τίλλω, πλήσσω, σάκκος, πυρρὸς, ἄγγελος, συμμίγδην· ἰδοὺ ἐπὶ τούτων, τὸ μὲν ἓν σύμφωνον ληκτικόν ἐστι τῆς προηγουμένης συλλαβῆς, τὸ δὲ ἕτερον ἀρκτικὸν τῆς ἐπιφερομένης.

ΠΑΡΑΚΟΛΟΥΘΗΜΑΤΑ ΚΑΙ ΖΗΤΗΜΑΤΑ ΓΡΑΜΜΑΤΙΚΑ ΑΝΑΓΚΑΙΑ.

COD. 2720.

Βούλησις ἐπὶ ἀγαθοῦ, προαίρεσις δὲ ἐπὶ ἀμφοτέρων ἀγαθοῦ τε καὶ κακοῦ.

Εἰκὼν καὶ ὁμοίωμα ἐπὶ τῶν φύσει ὄντων παρὰ πᾶσιν ὅπερ (sic) εἰσιν· οἷον ἐπὶ ἀνθρώπου καὶ ἵππου καὶ λέοντος, καὶ ἐπὶ τῶν ἄλλων ὅσα εἰσὶ φύσει παρὰ πᾶσιν ἔθνεσι τὰ αὐτά· εἰκόνας λέγομεν καὶ ὁμοιώματα αὐτῶν τὰ παρὰ τῶν ζωγράφων γραφόμενα ἢ τῶν λιθοξόων. σύμβολον δὲ καὶ σημεῖον λέγεται ἐπὶ τῶν θέσει ὄντων ὅπερ εἰσιν, ἅπερ οὐδὲ παρὰ πᾶσιν ἔθνεσιν εἰσὶ τὰ αὐτὰ, οἷον σύμβολον καὶ σημεῖον εἰρήνης ἢ πολέμου, τὸ δὲ τοιῶσδε μὲν παρὰ Ῥωμαίοις ἀνατεῖναι τὸ δόρυ καὶ σαλπίσαι, τοιῶσδε δὲ παρὰ Πέρσαις ἢ ἄλλοτι ποιῆσαι ἔθιμον.

Μορφὴ ἐπὶ ἐμψύχου, σχῆμα δὲ ἐπὶ ἀψύχων.

Ὑγιεινὸν σῶμα τὸ μὴ ῥᾳδίως τρεπόμενον πρὸς νόσον, ὑγιὰς δὲ τὸ ἤδη μὴ νοσοῦν.

Μανθάνει τις ἃ οὐκ οἶδε, γνωρίζει δὲ ἃ εἰδὼς πρότερον ἐπελάθετο.

Σοφοκλῆς τὸ σύαγρος ἐπὶ κυνὸς τάσσει ἀπὸ τοῦ σὺν ἀγρεύειν· παρ' Ἡροδότῳ δὲ ὄνομα κύριον τὸ Σύαγρος· ἕτεροι δὲ ἐπὶ συὸς ἀγρίου τάττουσιν αὐτό.

Τὸ μὲν λαγὸς κοινὸν ὂν εὕρηται παρὰ Σοφοκλεῖ,

γλαῦκες ἰκτὶς καὶ λαγοί.

ὥσπερ δὲ ναὸν καὶ λαὸν λεγόντων τῶν κοινῶν οἱ Ἀττικοὶ νεὼν καὶ λεὼν φασὶν, οὕτω καὶ τὸν λαγὸν λαγὼν φασὶν, καὶ Εὔπολις,

βλιτίδες καὶ λαγῷ καὶ γυναῖκες εἰλίποδες.

τὸ δὲ λαγωὸς Ἰωνικόν ἐστι.

Πάντες οἱ ἀρχαῖοι ἀντὶ τοῦ ο στοιχείου τῷ ου ἐχρῶντο, ἀντὶ δὲ τοῦ ε τῷ ει· καὶ δῆλον κἀκ τοῦ ει τοῦ ἐν Δελφοῖς ἀντὶ τοῦ ε λαμβανόμενον.

Κόνδυ ποτήριον Ἀσιατικὸν, στρουθίον ποτήριον Περσικὸν, κώθων

ποτήριον Λακωνικὸν, ὅθεν κωθωνισμὸς ἡ πολυποσία, καὶ κωθωνίζει ἀντὶ τοῦ μεθύει· ἀντιγονὶς καὶ αὐτὸ εἶδος ποτηρίου ἀπὸ τοῦ βασιλέως Ἀντιγόνου τὴν ἐπωνυμίαν εἰληφός. κοτύλη δὲ τὸ λεπτὸν ποτήριον· κοτύλη λέγεται καὶ ἰσχίου κοιλότης, καὶ παραγώγως κοτυληδόνες αἱ τοῦ πολύποδος ἐν ταῖς πλεκταίναις ἐπιφύσεις.

Τὸ πίομαι ἀνεὺ τοῦ υ λεκτέον ἐκτείνοντας τὸ ι· εὕρηται δὲ καὶ τὸ πιοῦμαι παρὰ Ἀριστοφάνει,

πικρότατον οἶνον τήμερον πιῇ.

καὶ παρὰ Συνεσίῳ·

ταχὺ τὸ κωνεῖον πιεῖται.

ἐνίοτε δὲ καὶ συστέλλεται τὸ ι, ὡς παρ' Ὁμήρῳ,

τῆ, πίε οἶνον.

Γρῖφος ὁ αἰνιγματώδης λόγος.

Τὰ ῥηματικὰ σύνθετα καὶ εἰς ψ λήγοντα ἐκ τοῦ διὰ δύο μμ παρακειμένου γινόμενα βαρύνονται, λέλειμμαι, αἰγίλιψ· τέτριμμαι, οἰκότριψ· κέκλεμμαι, βιόκλεψ· βέβλεμμαι κατώβλεψ· ἐντεῦθεν χέρνιβά τινες χερνίβα φασίν· Ἀττικοὶ δὲ χερνίβιον.

Τῆς ἐγχέλυος τὰς ἑνικὰς πτώσεις διὰ τοῦ υ προφέροντες οἱ Ἀττικοὶ τὰς πληθυντικὰς οὐκ ἐπακολούθως ἐπάγουσιν· Ἀριστοφάνης οὖν ἐν Ἀχαρνεῦσι φησὶ,

σκέψασθε παῖδες τὴν κρατίστην ἔγχελυν.

καὶ πάλιν,

λεῖος ὥσπερ ἔγχελυς.

τὰς μέντοι πληθυντικὰς οὐχ οὕτως, ἀλλὰ διὰ τοῦ ε, φησὶ γὰρ ἐν Ἵππευσιν,

ὥσπερ οἱ τὰς ἐγχέλεις [z] θηρώμενοι πέπομφας.

καὶ αὖτις,

οὐ χαίρω βατίσιν οὐδ' ἐγχέλεσι.

καὶ ἐν Νεφέλαις,

τὰς πλείους (φησὶ) τῶν ἐγχελέων.

ὁ δὲ ποιητὴς ἕτερον ἐβουλήθη δηλοῦν, ὡς διὰ βάθος ἐκαίετο ὁ ποταμὸς,

τείροντο δ' ἐγχέλυές τε καὶ ἰχθύς.

φησὶ διὰ τοῦ υ, ἐκ τοῦ ἰλὺς ἰλύος [a].

[z] ἔγχελις Cod. [a] Male Herm. Cod. διὰ τοῦ ἐκ τοῦ ἰλίς.

Ἑφθὸν λέγεται τὸ δι' ὑγροῦ ἑψόμενον, ὀπτὸν δὲ τὸ διὰ τῶν ἀνθράκων.

Ξενία ἡ φιλοφροσύνη καὶ ξενισμὸς, ὡς καὶ Λιβάνιος.

ἥσθη (φησὶ) Φιλόστρατος ἐπὶ τῷ ξενισμῷ.

Ὄψον κυρίως πᾶν τὸ διὰ πυρὸς εἰς ἐδωδὴν κατασκευαζόμενον.

Πολύπους, πολύποδος, ἡ αἰτιατικὴ τὸν πολύπουν, ὡς Ἀλκίνουν, Ἀριστοτέλης δὲ πολύποδα φησὶ, ὅ γε μὴν Ἀριστοφάνης καὶ πολύπους πολύπου κλίνει.

Τὸ βρέχειν λέγεται καὶ ἐπὶ τοῦ πίνειν, οἷον,

βεβρεγμένος ἥκει.

ὡς φησὶν Εὔβουλος.

Ὅτι οὐκ ἐπὶ θηρίων λέγει Ὅμηρος δαῖτα, ἀλλ' ἐπὶ μόνων ἀνθρώπων.

Ἀναξάγορας ἐν τοῖς ἠθικοῖς αὐτοῦ, ὀρνίθων γάλα τὸ ἐν τοῖς ὠοῖς λευκὸν εἶναί φησι.

Τὸ ἀναπίπτειν κυρίως ἐπὶ ψυχῆς λέγεται ἀντὶ τοῦ ἀθυμεῖν, ὡς καὶ Θουκυδίδης,

νικώμενοι ἀναπίπτουσι.

Τὸ πάσασθαι οἱ παλαιοὶ ἐπὶ τοῦ ἀπογεύσασθαι ἐλάμβανον, οἱ δὲ νεώτεροι ἐπὶ τοῦ κορεσθῆναι.

Τὰ συκάμινα Ἀλεξανδρεῖς καὶ Πελοποννήσιοι μόρα ὀνομάζουσι.

Μαλάχη κοινὸν, μολόχη Ἀττικόν.

Τραγήματα λέγεται τὰ εὐτελῆ βρώματα[b], οἷον ἐρέβινθοι, κύαμοι, ἰσχάδες, φάσηλοι, μῆλα, μύρτα, φηγοὶ καὶ ὅσα τοιαῦτα.

Ἀκρόδρυα καταχρηστικῶς λέγονται καὶ τὰ μῆλα καὶ τὰ κυδώνια, κυρίως ἀκρόδρυα ὅσα ἔχουσι τὸ ξυλῶδες ἐκτὸς καὶ περὶ τὰ ἄκρα, τὸ δὲ τρώξιμον ἐντός· ὀπῶραι δὲ τὸ ἐναντίον, ὅσα τὸ ξυλῶδες καὶ τραχὺ ἐντὸς περιέχουσι, τὸ δὲ ἐδώδιμον καὶ τρώξιμον ἐντός. ἀκρόδρυα τοίνυν κυρίως κάρυα, ἀμύγδαλα, λεπτοκάρυα καὶ τὰ τοιαῦτα, ὀπῶραι δὲ κοκκύμηλα, κυδωνία, περσικὰ μῆλα, κέρασος, φοίνικες, καὶ τὰ τοιαῦτα πάντα.

Ὅπερ Ἀττικοὶ θριδακίνην καλοῦσιν, Ἐπίχαρμος θρίδακα φησὶν, ἀπὸ τοῦ θρίδαξ.

b βρώματα (εἱμα written above) Cod.

Ἰστέον ὅτι κώνειον καὶ ἀκόνιτον τὸ αὐτὸ φασί.

Ὀψονόμος λέγεται ὁ κοινῶς δομεστικὸς τῆς τραπέζης, ὀψωνητικὴ δὲ ἡ τούτου τέχνη.

Ὃν καλοῦσι Ῥωμαῖοι προνέστην, τοῦτον Ἕλληνες προτένθην ὠνόμαζον.

Οἱ Ἀττικοὶ οὐδετέρως τὸ τάριχος προφέρουσιν, ὡς καὶ Χιονίδης φησί,

> ἆρ' ἂν φάγοιτε τάριχος, ὦ θεοί.

καὶ Μένανδρος ὁμοίως φησι,

> ἐπέπασα[c] ἐπὶ τὸ τάριχος ἅλας, ἂν οὕτω τύχῃ.

ὁ δὲ Ἀριστοφάνης ἀρσενικῶς προφέρει,

> οὐκ αἰσχύνομαι τὸν τάριχον τουτονὶ πλύνων
> εἰπεῖν ἅπασιν ὅσα σύνοιδ' αὐτῷ κακά.

ἀλλὰ καὶ Ἡρόδοτος ἐν θ' ἀρσενικῶς προφέρει,

> "οἱ τάριχοι ἐπὶ τῷ πυρὶ κείμενοι ἐπάλλοντο καὶ ἤσπαιρον."

Ἡ Δημήτηρ πόλεώς ἐστι καταρκτική, οἱονεὶ ἡ γῆ, ὅθεν καὶ πυργοφόρον αὐτὴν γράφουσιν· λέγεται δὲ καὶ Κυβέλη ἀπὸ τοῦ κυβικοῦ σχήματος· κατὰ γεωμετρίαν ἡ γῆ, διὰ τὸ βάσιμον καὶ στάσιμον, εἰ καὶ σφαιρικὴν οἱ Στωικοὶ ταύτην ὁρίζονται.

Τρύφων Ἀλεξανδρεὺς ἄρτων γένη ἐκτίθεται διάφορα, ζυμίτην, ἄζυμον, σεμιδαλίτην, ἐγκρυφίαν καὶ κλιβανίτην, ὃν κριβανίτην φασὶν Ἀττικοὶ διὰ τοῦ ρ.

Κατ' ἀντιστοιχίαν λέγεται ἡ φιάλη, πιάλη γάρ τις ἦν, ἡ τὸ πιεῖν ἅλις παρέχουσα.

Οἱ Ἀττικοὶ βραχύνουσι τοῦ καρὶς τὴν λήγουσαν, ἕτεροι δὲ ἐκτείνοντες τὴν παραλήγουσαν, ἐκτείνουσι καὶ τὴν λήγουσαν, ὁμοίως τὸ ψηφὶς, κρηπὶς, Τηθίς.

Ὁ χρόνος ἐνιαυτὸς ὀνομάζεται παρὰ τὸ ἐν ἑαυτῷ κινεῖσθαι αὐτὸν, κύκλος γὰρ οἱονεί τις ἐστὶν ἐφ' ἑαυτὸν εἰλούμενος.

Κυρίως ἀγωνία καὶ ἀγὼν ὁ τόπος λέγεται, ἐν ᾧ ἠγωνίζοντο οἱ ἀθληταὶ τῶν Ἑλλήνων, διὰ τὸ κυκλοτερὲς παρὰ τὸ μὴ ἔχειν γωνίαν εἰς τύπον. διὰ τοῦτο καὶ στέφανοι κυκλοτερεῖς τοῖς νικῶσιν ἐπετίθεντο.

[c] ἐπείτασα Cod.

Ἔλαχεν ἀντὶ τοῦ ἔτυχεν, συντάσσεται γενικῇ, ὡς τὸ ἔλαχε τιμῆς· ἔλαχε δὲ ἀντὶ τοῦ ἐκληρώσατο αἰτιατικῇ, ὡς Ἀριστείδης,

"τῆς Ἀθηνᾶς εἰληχυίας τὴν πόλιν τῶν Ἀθηναίων."

ἔλαχε δὲ ἀντὶ τοῦ ἐκληρώθη δοτικῇ, ὡς τὸ

ἔλαχον τῷ βασιλεῖ.

Πωλεῖ ἀντὶ τοῦ πιπράσκει, συζυγίας πρώτης τῶν περισπωμένων· ἐμπολᾷ δὲ τὸ αὐτὸ συζυγίας δευτέρας τῶν περισπωμένων, καὶ Ἑλένη φησὶ Εὐριπίδης,

Ἄργος βαρβάροις ἀπημπόλα.

Καραδοκῶ τὸ ἐλπίζω.

Ὀρνιθευτὴς λέγεται ὁ τὰς ὄρνεις θηρεύων, ὀρνιθοσκόπος δὲ ὁ μάντις.

Λῆμα ἡ ἀνδρία καὶ ἡ φρόνησις, λῆμμα δὲ τὸ κέρδος.

Λαμβάνει τις τόδε, μηδενὸς διδόντος, δέχεται δὲ παρὰ τοῦ, ὅθεν καὶ δεξία.

Ἕνεκα ἀντὶ τοῦ χάριν· οὕνεκα ἀντὶ τοῦ διότι.

Θεάτης ἀγώνων καὶ θεάτρων. Θεωρὸς δὲ ὁ εἰς θεῶν ἑορτὰς πεμπόμενος, ὅθεν καὶ θεωρικὰ χρήματα, τὰ τοῖς τοιούτοις διδόμενα μισθός.

Τὸ νυνὶ ἐπὶ μόνου τοῦ ἐνεστῶτος τάττεται, ὡς ἐπὶ τὸ πλεῖστον· τὸ δὲ νῦν ἐπὶ τῶν τριῶν χρόνων.

Σικελὸς ὁ Σικελίας οἰκήτωρ, Σικελιώτης δὲ ὁ ἐξ ἀλλοδαπῆς εἰς Σικελίαν ἄποικος ἐλθών.

Πατρῷα καὶ μητρῷα λέγονται τὰ ἐκ πατέρων ἢ μητέρων ἀποθανόντων καταλειπόμενα τοῖς τέκνοις· πάτρια δὲ τὰ τῆς πατρίδος ἔθη.

Μόχθηρος καὶ πονηρὸς ὁ διὰ σώματος μοχθῶν καὶ πονῶν· μοχθηρὸς δὲ ὁ τὰ ἤθη φαῦλος· καὶ πόνηρος ὁμοίως.

Αὐχὴν μὲν τὸ ὄπισθεν τοῦ τραχήλου· δέρη δὲ τὸ ἔμπροσθεν, ἔνθα ὁ λάρυγξ.

Γεννᾷ ὁ ἀνὴρ κυρίως, τίκτει δὲ ἡ γυνή.

Γελοῖος ὁ γελωτοποιὸς, γέλοιον ὁ γέλως, εὐτράπελον δὲ τὸ ἀστεῖον, ἤγουν τὸ μετὰ σεμνότητος χαρίεν.

Ἀγγέλος μὲν πᾶς ὁ ἀγγέλλων τὰ ἔξωθεν, ἐξάγγελος δὲ ὁ τὰ

ἔσωθεν τοῖς ἔξω διαγγέλλων, ὃν Θουκυδίδης διάγγελον εἶπεν. αὐτάγγελος δὲ ὁ αὐτὸς δι' ἑαυτοῦ ἑαυτῷ κομίζων τὰς ἀγγελίας.

Ἀγροῖκος ὁ ἐν ἀγροῖς διατρίβων· ἄγροικος δὲ ὁ ἀπαίδευτος.

Πᾶν τὸ διατεταγμένον εἰς εὐθύτητα σχῆμα αὐλὸν καλοῦμεν, ὥσπερ τὸ στάκτον[f] καὶ τὴν περικεφαλιαίαν, ὅταν ἐκ τοῦ μέσου πρὸς ὀρθὸν ἀνατείνει, αὐλῶπιν. λέγονται δέ τινες καὶ ἱεροὶ αὐλῶνες Ἀθήνῃσιν· ἔστι δὲ καὶ αὐλὸς ὄργανον μελῳδίας ὁμοίως καὶ αὐλή.

Τῆς λύπης εἰσὶν εἴδη τέσσαρα· ἄχος, ἄχθος, φθόνος, οἶκτος. ὧν τὸ μὲν ἄχος ἐστι λύπη ἀφωνίαν ἐμποιοῦσα, ὡς καὶ Ὅμηρος φησὶ,

Πηλείωνι δ' ἄχος γένετο.

διὰ γὰρ τὴν ἐξαίφνης ἔφοδον τῶν ἀκουσθέντων ἢ θεαθέντων εἰς βάθος χωρεῖ τὸ λογιστικόν· τὸ δὲ ἄχθος, ἐστὶ λύπη βαροῦσα καὶ διενοχλοῦσα τὸν νοῦν, ἐπ' ἀβουλήτοις συμπτώμασιν. ὁ δὲ φθόνος λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ὁ δὲ οἶκτος λύπη ἐπ' ἀλλοτρίοις κακοῖς. τοῦ φόβου πάλιν εἴδη ἕξ· ὄκνος, αἴδως, αἰσχύνη, κατάπληξις, ἔκπληξις, ἀγωνία. καὶ ὄκνος μέν ἐστι φόβος μελλούσης ἐνεργείας· αἴδως δὲ φόβος ἐπὶ προσδοκίᾳ ψόγου· αἰσχύνη δὲ φόβος ἐκ μεγάλης φαντασίας· ἔκπληξις δὲ φόβος ἐκ δεινῆς ἀκοῆς καὶ μεγάλης ἀφαιρούσης τὴν αἴσθησιν· ἀγωνία δὲ φόβος ἀποτυχίας· φοβούμενοι γὰρ ἀποτυχεῖν ἀγωνιῶμεν.

Ἰστέον ὅτι τὸ Ἀθηνᾶ περισπᾶται, διότι κρᾶσιν ἔπαθε τῶν δύο αα. ἔστι μὲν γὰρ ἡ πρωτότυπος αὐτῆς εὐθεῖα Ἀθήνη, ἐξ ἧς κατὰ συστολὴν Ἀθάνα γέγονεν, ᾧ καὶ Σοφοκλῆς χρῆται καὶ Εὐριπίδης καὶ ἕτεροι πολλοί· ἐπεὶ δὲ πολλὰ τῶν εἰς α καὶ εἰς η θηλυκῶν διὰ τοῦ αια προφέρονται, ὡς ἁμαξαία ἡ ἅμαξα καὶ σεληναία ἡ σελήνη, οὕτω κατὰ παραγωγὴν Ἀθήναια ἐλέχθη ἡ Ἀθήνη· ἐξελόντες δ' ἔτι οἱ ὕστερον ἐκ τοῦ Ἀθηναία τὸ ι Ἀθηνάα εἶπον, ὥσπερ καὶ τὴν ἐλαίαν ἐλάαν Ἀττικῶς, τοῦτο μὲν οὖν ἄχρηστον εἴασαν, κρᾶσιν δὲ ποιησάμενοι τῶν δύο αα, Ἀθηνᾶν καλοῦσι περισπωμένως.

Ἰστέον ὅτι πολλαὶ λέξεις ἀλλοιούμεναι ἐναλλάσσουσι καὶ τόνους καὶ πνεύματα· μεταπίπτουσι γὰρ εἰς ἑτέρους κανόνας, οἷον ἥλιος δασύνεται, ἀπὸ τοῦ ἕλη ἡ θέρμη, ἤελιος δὲ γενόμενον ψιλοῦ-

[f] στίκτον vel στάκτον Cod.

ται· διότι τὸ α, ε, η, ι, ο, πρὸ φωνήεντος ὄντα κατὰ διάστασιν ψιλοῦται· ὁμοίως καὶ ἄλλω τὸ παιδῶ[g] δασυνόμενον ποιεῖ μέσον ἀόριστον πρῶτον τὸ ἥλατο, ὅπερ συγκοπτόμενον εἰς τὸ ἆλτο ψιλοῦται· τὸ γὰρ α λῆγον εἰς λ, ἐπιφερομένου ἑνὸς τῶν τῆς τρίτης συζυγίας τῶν βαρυτόνων συμφώνων ψιλοῦται· οἷον ἀλδαίνω τὸ αὔξω, ἀλθαίνω τὸ θεραπεύω, καὶ ἆλτο ἀντὶ τοῦ ἐπήδησε, ὁμοίως καὶ τὸ ἕρμα συγκοπτόμενον ἀπὸ τοῦ ἐρείδω, καὶ τὸ ἅρμα γινόμενον ἀπὸ τοῦ αἴρω τὸ ἐπαίρω δασύνεται· τὸ ρ γὰρ, ὅτε πρὸ αὐτοῦ μὲν ἔχει βραχὺ ἤγουν α, ε, ο, μεθ' ἑαυτὸ δὲ μ ἢ π, δασύνει τὸ βραχὺ, οἷον ἕρμα, ἅρμα, ὅρμοι, ἕρπω, ἅρπαξ, ὅρπηξ.

Πολλὰ ῥήματα ἀπὸ μελλόντων εἰς ἐνεστῶτα παράγονται κατ' ἀναδρομὴν, καὶ τρέπουσι τὸ σ τοῦ μέλλοντος εἰς χ ἢ εἰς κ, οἷον σμῶ, σμήσω, σμήχω τὸ καθαίρω· ὀλῶ, ὀλέσω, ὀλέκω, ὅθεν,

ὀλέκοντο δὲ λαοί.

δείδω, δείσω, δείκω τὸ φοβοῦμαι, ὅθεν δέδοικα μέσος παρακείμενος, καὶ εἴδω εἴσω, εἴκω τὸ ὁμοιῶ, καὶ ἔω τὸ ὑπάρχω, ἔσω, ἔσκω, ποιητικῶς τὸ ὑπάρχω.

Ἐλύσιον πεδίον παρ' Ἕλλησιν ὁ παράδεισος ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ λύω, ἤγουν τὸ μὴ ἔχον λύσιν καὶ φθορὰν πεδιόν.

Ὥσπερ τὸ μένω πλεονάσαντος καὶ ἑτέρου συμφώνου ἔτρεψε τὸ ε εἰς ι, καὶ ἐγένετο μίμνω, οὕτω καὶ τὸ γέννω ἐγένετο γίγνω, καὶ ῥέπω ῥίπτω καὶ πέτω πίπτω.

Ἀπὸ τοῦ πρωῒ γίνεται πρωΐτερον ἐν χρήσει, καὶ ἀπὸ τῆς πρωΐας πρωϊαίτερον ἐν χρήσει καὶ αὐτό· ἀπὸ δὲ τοῦ ὀψὲ ὀψίτερον σπανίως, ἀπὸ δὲ τῆς ὀψίας γίνεται ὀψιαίτερον ἐν χρήσει.

Ἑταῖρος ὁ φίλος καὶ ἑταῖρα ἡ πόρνη φασὶ, καὶ ἀμφότερα παραγίνονται ἀπὸ τοῦ ἔθας ὁ συνήθης, ἐθάρος καὶ ἑταῖρος· ἀλλ' ἐπειδὴ ἐπὶ μὲν τῶν ἀνδρῶν ἁρμόζει τὸ συνήθεις εἶναι καὶ φίλους τοῖς πολλοῖς, ἐπὶ δὲ τῶν γυναικῶν ἁρμόζει τὸ θαλαμεύεσθαι, καὶ μὴ συνήθεις εἶναι τοῖς πολλοῖς, διὰ τοῦτο ἐπὶ μὲν τῶν ἀνδρῶν ἐπαινεῖται, ἐπὶ δὲ τῶν γυναικῶν κακίζεται.

Τὸ ἀλείφω τιθέασι πολλάκις ἀντὶ τοῦ διεγείρω, πλὴν οὐχ ὡς τοῦτο σημαινούσης τῆς λέξεως, ἀλλ' ἐπειδὴ ἔθος ἦν τοῖς παλαιοῖς

[g] Leg. πηδῶ.

κατὰ γυμνικοὺς ἀγῶνας ἐλαίῳ ἀλείφεσθαι πρότερον, κἀντεῦθεν τὸ ἀλείφεσθαι σύμβολον ἐγίνετο τοῦ μέλλοντος ἀγῶνος· διὰ τοῦτο ἀντὶ τοῦ διεγείρω παρειλήφασι τὸ ἀλείφω.

Ὥσπερ ἀπὸ τοῦ ἐστὶν ἀντὶ τοῦ ὑπάρχει καὶ τοῦ ὅτε γίνεται ἐσθ' ὅτε ἀντὶ τοῦ ποτὲ, οὕτως ἀπὸ τοῦ ἔνι οἳ καὶ τινὲς τὸ ἔνιοι καί τινες (sic).

Τὸ εἰ συντάσσεται παρεληλυθότι, ἐνεστῶτι καὶ μέλλοντι ἐν τοῖς ὁριστικοῖς· συντάσσεται δὲ καὶ εὐκτικοῖς χρόνοις.

Τὸ εἶναι, καὶ τὸ εἶτα ἔστιν ὅτε ὡς παρέλκον τίθεται κατὰ τοὺς Ἀττικούς.

Προκινδυνεύω τοῦ φίλου, προκινδυνεύω τὰς μάχας παρ' Ἀριστείδῃ ἀντὶ τοῦ ἀγωνίζομαι· καὶ προκινδυνεύω πρὸς τὸν ἐχθρὸν παρὰ τῷ αὐτῷ.

Διαφέρει τὸν πόλεμον ἀντὶ τοῦ ἀνύει· διαφέρει μοι τόδε τὸ πράγμα, ἀντὶ τοῦ ἀνήκει μοι· καὶ διαφέρει ὁ δεῖνα τοῦ δεῖνος, ἀντὶ τοῦ διαφοράν τινα καὶ διαχωρισμὸν ἔχει.

Ἀφαιροῦμαί σε τὰ χρήματα, καὶ ἀφαιροῦμαί σε τῶν χρημάτων, καὶ ἀφαιροῦμαι τὰ χρήματα.

Πιστευώ σοι τὰ πράγματα, καὶ πιστεύω σοι εἰς ἃ λέγεις.

Θαυμάζω τὸ δι' ἐπαίνου καὶ θαύματος ἄγω συντάσσεται αἰτιατικῇ· θαυμάζω ἐπὶ κατηγορίας καὶ μέμψεως γενικῇ, ὡς παρ' Ἀριστείδῃ· "θαυμάζω τῶν τὰ Μηλίων καὶ Σκιωναίων τολμώντων "προφέρειν τῇ πόλει."

Διαγράφω τὸ συγγράφω· διαγράφω καὶ τὸ ἐμβάλλω, ὡς τὸ "διαγράφουσι τὸν Ἰούδαν τοῦ κύκλου τῶν μαθητῶν."

Πυθέσθαι ἀντὶ τοῦ ἐρωτῆσαι συντάσσεται γενικῇ· πυθέσθαι ἀντὶ τοῦ ἀκοῦσαι αἰτιατικῇ, ὡς παρὰ Λιβανίῳ, "δέδοικα γὰρ μὴ διατριβῆς ἐν τῷ λόγῳ γινομένης, τὸ πρᾶγμα ἡ γύνη πυθομένη τὴν γλῶτταν ἡμῖν ἐκείνην ἐπιστήσῃ.

Παρῆλθεν ἀντὶ τοῦ παρέδραμε καὶ ἐξῆλθε· καὶ παρῆλθεν ἀντὶ τοῦ εἰς μέσον ἦλθεν, ὡς τὸ, παρελθὼν εἰς τὸ δικαστήριον ἔλεξε τοιάδε.

Διαιροῦμαι παθητικὸν ἀντὶ ἐνεργητικῆς σημασίας παρ' Ἀριστείδῃ, οἷον, "λέγω δὲ, οὐχ ὡς εἴτις Ἕλληνας προσείποι, πρὸς βαρβάρους ἀντιδιαιρούμενος.

Μηδίζειν καὶ Ἀττικίζειν σημαίνει μὲν τὸ κατὰ Μήδους καὶ Ἀττικοὺς λέγειν, τουτέστι κατὰ τὴν ἐκείνων διάλεκτον· σημαίνει δὲ καὶ τὸ τὰ ἐκείνων φρονεῖν.

Καθαιρῶ τὸ καταβάλλω, καθαίρω δὲ τὸ ἀποπλύνω.

Ἐτίμησαν οἱ Ἀθηναῖοι τὸν δεῖνα ἀντὶ τοῦ ἔντιμον ἐποίησαν· ἐτίμησαν δὲ τῷ δεῖνι θανάτου, ἀντὶ τοῦ ἄξιον ἔκριναν θανάτου.

Τὰ συγκριτικὰ πολλαχῶς προφέρονται, οἷον κρείττω ὁ δεῖνα τοῦ δεῖνος, κρείττω ὁ δεῖνα ἢ ὁ δεῖνα· κρείττω ὁ δεῖνα ἢ κατὰ τὸν δεῖνα· καὶ κρείττων ὁ δεῖνα παρὰ τὸν δεῖνα· καὶ κρείττων ὁ δεῖνα ἢ ὥστε παθεῖν τόδε.

Πρεσβεύομαι πρὸς τὸν Πέρσην, τὸ πρέσβεις πέμπω καὶ διαπρεσβεύομαι· πρεσβεύω δὲ τὸ πρέσβεις πέμπομαι· πρεσβεύω δὲ λέγεται καὶ τὸ τιμῶ, ὡς παρ' Ἀριστείδῃ· "βουλομένων τῶν θεῶν "πανταχῇ τὰς Ἀθήνας πρεσβεύειν." καὶ παρὰ Συνεσίῳ "τὸν "θεὸν ὃν φιλοσοφία πρεσβεύει."

Θρᾶκες τὸ α μακρὸν, Θρῇκας γὰρ ἦν, τραπέντος τοῦ η εἰς α, μὴ μείναντος καὶ τοῦ ι προσγεγραμμένου.

Καθήκοντα τὰ κατερχόμενα, οἷον, "καὶ σιωπῶ τείχη καθήκοντά "ποτε ἐπὶ θάλατταν·" καθήκοντα τὰ ἁρμόζοντα καὶ ἀκόλουθα, οἷον, "παρὰ τὰ καθήκοντα λέγεις."

Βουλὴ λέγεται τὸ βούλευμα καὶ ἡ σκέψις· βουλὴ καὶ τὸ ἄθροισμα τῶν βουλευτῶν· ἀπὸ τούτου καὶ ὁ τόπος ἐν ᾧ κάθηνται οἱ βουλευταί.

Νομίζω τὸ ὑπολαμβάνω· νομίζω τὸ νόμιμον κρίνω, νομίζω καὶ τὸ νόμισμα ποιῶ, ὡς τὸ, "ἀργύρῳ νομίζουσιν Ἕλληνες."

Παύω σε τοῦ ἔργου, καὶ παύω ἀντὶ τοῦ παύομαι, ὅπερ οὐ μεταβαίνει εἰς πρόσωπον.

Λόγος σημαίνει δώδεκα· λόγος ὁ ἐνδιάθετος λογισμὸς καθ' ὃν λογικοὶ ἐσμέν· λόγος ὁ προφορικός· λόγος ἡ φροντὶς, ὡς ποιοῦμαι αὐτοῦ λόγον· λόγος ὁ λογαριασμὸς, ὡς, ὁ ἡγεμὼν πρὸς τοὺς ἑαυτοῦ ἐπιτρόπους ἔχει λόγον· λόγος ὁ καθόλου ὁ περιέχων ἐν ἑαυτῷ πᾶσαν λέξιν καθ' ὃ σημαινόμενον πᾶν μέρος λόγου· λογὸς ὁ ὅρος, ὡς λέγομεν, ἀπόδος τὸν τοῦ ζώου λόγον· λόγος τὸ ἐγκώμιον, ὡς ἐποίησέ τις λόγον εἰς τὸν βασιλέα· λόγος καὶ ἡ ἀναλογία, ὡς, ὃν λόγον ἔχει τὰ δυὸ πρὸς τὰ τέσσερα, τὸν αὐτὸν ἔχει καὶ τὰ τέσ-

σαρα πρὸς τὰ ὀκτώ· λόγος ἡ ἀντιλογία, ὡς τὸ δίχα τινὸς λόγου καὶ προφάσεως· λόγος καὶ ἡ αἰτία, ὡς τὸ κατὰ τίνα λόγον ὕβρισαι τὸν δεῖνα· λόγος ἰδίως καὶ κατ' ἐξαίρετον ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ.

Ἰστέον ὅτι τὸ λαμβάνομαι κεῖται καὶ ἐπὶ καταγνώσεως γενικῇ συντασσόμενον, ὥσπερ τὸ ἐπιλαμβάνομαι, ὡς Ἀριστείδης φησὶ ἐν τῷ Παναθηναϊκῷ· οἷον, "ὅταν δ' ἐξετάζων διὰ πάντων, ἑνὸς καὶ "δυοῖν λαμβάνῃ, λέληθας ἐπαινῶν οἷς ἀφίης."

Τὸ ἂν ὅτε παραπληρωματικὸς σύνδεσμος συντάσσεται μετὰ εὐκτικοῦ, οἷον, ποιήσαιμι ἄν· καὶ μετὰ παρεληλυθότος ὁριστικοῦ, ἐποίησα ἄν, καὶ μετὰ ἀπαρεμφάτου· οἷον παρ' Ἀριστείδῃ· "πάν-"τας ἂν ἡγοῦμαι φῆσαι μὴ εἶναι καλλίω τοῖσδε λαβεῖν ἀριστο-"κρατείας εἰκόνα."

Προϊστάμενος λαοῦ ὁ ἔμπροσθεν ἱστάμενος, καὶ προϊστάμενος ἀντὶ τοῦ εἰς προστασίαν ἄγων τινὰ ἕτερόν τις, ὡς παρ' Ἀριστείδῃ οἷον, "ὁ δῆμος εἴ τινα εὕροι που τῶν πολλῶν ὑπερέχοντα ἐθελοντὴς "ἑαυτοῦ προϊστάμενος καὶ χρώμενος οἷον ἄρχοντι διηνεκεῖ."

Σκοπῶ καὶ σκοποῦμαι τὸ αὐτὸ ἀντὶ τοῦ βλέπω καὶ διανοοῦμαι ἀμφότερα.

Γινόμενον τὸ εἰς γένεσιν ἧκον· γινόμενον καὶ τὸ προσῆκον.

Πλημμελὴς λόγος καὶ πλημμελὲς πρᾶγμα τὸ ἔξω τοῦ καθήκοντος μέλους καὶ ῥυθμοῦ· παράγεται δὲ ἀπὸ τοῦ πλὴν ἀντὶ τοῦ χωρὶς καὶ τοῦ μέλους.

Τίθεμαι καὶ προστίθεμαι τῷ πλούτῳ ὡς παρ' Ἀριστείδῃ· "καὶ "μὴν ἐκεῖνό γε ἡ πόλις πρώτη κατέδειξε μὴ τίθεσθαι πλούτῳ μηδὲ "θαυμάζειν." Ἀνατίθεμαι τὸ διαβαστάζω, ὡς παρὰ Συνεσίῳ, οἷον "ἡ κάμηλος καὶ ψωριῶσα πολλῶν ὄνων ἀνατίθεται φορτία." Ἀνατίθεμαι καὶ τὸ ἀνατρέπω παρὰ Λουκιανῷ, οἷον "εἰ μὴ μεταμέλησοι "καὶ ἀνατίθεσθαι αὖθις τὰ εἰρημένα·" κατ' ἐνέργειαν δὲ προφερόμενα ἀναλλάσσουσι· οἷον προστίθημι ἐπὶ τῷδε τόδε, καὶ ἀνατίθημι τῷ θεῷ τήνδε τὴν προσαγωγήν· ἐξ οὗ καὶ ἀνάθημα.

Προφέρω λόγους ἀντὶ τοῦ ἔμπροσθεν καὶ εἰς μέσον φέρω· προφέρω δὲ τῶν πολλῶν ἀντὶ τοῦ κρείττων εἰμὶ, ὥσπερ καὶ ὑπερφέρω.

Κομίζω τὸ φέρω, ἐξ οὗ καὶ κομιδὴ εὔχρηστον παρ' Ἀριστείδῃ

ἡ εἰσφορά· κομίζομαι δὲ τὰ κεχρεωστημένα ἀντὶ τοῦ λαμβάνω· ὅπερ παθητικὴν μὲν ἔχει τὴν προφορὰν, ἐνεργητικὴν δὲ τὴν σημασίαν· κομίζω καὶ τὸ ἐπιμελοῦμαι, ὡς ἐν Ὀδυσσείᾳ φησὶν ὁ Τηλέμαχος πρὸς τὴν Πηνελόπην·

τὰ σαυτῆς ἔργα κόμιζε.

ἀφ' οὗ γίνεται καὶ κομιδὴ ἡ ἐπιμέλεια.

Τὸ καίω καὶ κλαίω κοινὸν, τὸ κάω δὲ καὶ κλάω Ἀττικὸν, ἅπερ ἐπὶ τοῦ μέλλοντος λαμβάνουσι τὸ υ κατὰ Ἀττικὴν συνήθειαν· οἱ γὰρ Ἀττικοὶ ἐπὶ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων ὡς ἐπιτοπλεῖστον προστιθέασι τῷ μέλλοντι τοῦ υ, οἷον κλάω κλαύσω, κάω καύσω, πλέω πλεύσω, θέω θεύσω καὶ θευσοῦμαι.

Γραφὴ τὸ γράμμα καὶ ἡ λογογραφία, γραφὴ καὶ ἡ κατηγορία, ἀντιγραφὴ δέ ἐστιν ὄνομα δίκης, ὅταν τις ὡς ἄπαιδος ὄντος τοῦ τετελευτηκότος ἑαυτῷ προσήκειν φάσκῃ τινὰ κλῆρον, κατὰ γένους μετουσίαν· παραγραφὴ δέ ἐστιν περὶ τῶν ἤδη κεκριμμένων καὶ κατὰ νόμους ἀποπεφασμένων δευτέρα πολυπραγμοσύνη καὶ ἀμφισβήτησις.

Δίκη ἐπὶ τῶν ἰδιωτικῶν ἐγκλημάτων, γραφὴ δὲ ἐπὶ τῶν δημοσίων.

Ἔφεσις λέγεται ἡ ἐπιθυμία· ἔστι δὲ ἔφεσις καὶ ὄνομα δίκης, ὅταν τις ἀπὸ μικροῦ δικαστηρίου εἰς ἕτερον μεῖζον ἔλθῃ κατὰ δευτέραν ἐξέτασιν.

Ἐξούλης ἐστὶ καὶ αὐτὸ ὄνομα δίκης, ὅταν ἐκβάλῃ τις ἐκ τῶν οἰκείων τινὰ παραλόγως, ἀπὸ τοῦ ἐξίλλειν ἀντὶ τοῦ ἐκβάλλειν.

Διώκω τὸ ἀποπέμπω. Διώκω καὶ τὸ κατηγορῶ, ὅπερ συντάσσεται γενικῇ, πρόσωπον αἰτιατικῇ, εἰς δὲ τὸ πρᾶγμα γενικῇ. Διώκω καὶ τὸ ποθῶ, οἷον ἡσύχιον διώκω βίον· φεύγω δὲ τὸ κατηγοροῦμαι.

Εἰκὸς τὸ πρέπον καὶ τὸ ἁρμόδιον καὶ τὸ ἀκόλουθον.

Ἀνέχω τὸ ἀναβαστάζω, ὡς τὸ ἀνέχει ὁ κίων τὴν οἰκίαν. ἀνέχω καὶ τὸ ἀφορῶ, ὡς παρ' Ἀριστείδῃ, "τοὺς ἐπὶ τῶν λόγων ἀνέχοντας, καὶ χωρὶς τούτων οὐδ' ἂν ζῆν δεξαμένους." Ἀνέχομαι τὸ ὑπομένω συντάσσεται αἰτιατικῇ καὶ γενικῇ· αἰτιατικῇ μὲν, ὡς τὸ "οὐκ ἀνέχομαι γυμνῇ τῇ κεφαλῇ τὴν θερμήν." γενικῇ δὲ ὡς παρὰ Λιβανίῳ "μή με ἐς μακρολογίαν ἐμβάλητε τούτων ἀνεχόμενοι τῶν κομψῶν ῥητόρων."

Τὸ μὲν ἤδη τοῖς τρισὶ χρόνοις συντάσσεται, ἐνεστῶτι, παρεληλυθότι καὶ μέλλοντι· τὸ δὲ ἄρτι τοῖς δυσὶν, ἐνεστῶτι καὶ παρεληλυθότι.

Σκοπῶ τὸ βλέπω ἐνεργητικῶς, ἐξ οὗ καὶ σκόπος ὁ θεωρός· σκοποῦμαι δὲ τὸ διανοοῦμαι καὶ σκέπτομαι, ὡς παρὰ Λουκιανῷ· "ὁ δὲ "παρεσκοπεῖτο μετὰ τῶν φίλων ὅτι καὶ διδάξαιτό με·" ἔστι καὶ παρὰ Λιβανίῳ ἐνεργητικῶς "εἰ πάνυ πόλυν χρόνον ἐπεσκοπεῖς."

Ἔχω τὸ διάκειμαι μετὰ γενικῆς καὶ ἐπιρρήματος κατ' εὐτελῆ σύνταξιν, "ὡς ἕκαστος γνώμης ἢ ἐμπειρίας εἶχεν."

Γνώμη ἡ διάνοια ὡς τὸ "μὴ μεταβαλέτω σου τὴν μεγαλό- "φρονα γνώμην ἡ τῶν πραγμάτων μεταβολή." Γνωμὴ καὶ ἡ διάκρισις, ὡς ἐλέγομεν συμφωνοῦσιν αἱ γνῶμαι τῶν ἀρχιερέων ἐν τῷ τοιῷδε ζητήματι. γνώμη καὶ τὸ ἀπόφθεγμα, ὡς λέγομεν ὅτι γνῶμαι παλαιῶν ἀνδρῶν ἤτοι ἀποφθέγματα.

Τὸ ὁπότε εὐκτικῷ συντάσσεται· λαμβάνεται δὲ ἀντὶ παρωχημένου, ὡς παρὰ Λουκιανῷ, "ὁπότε ἀφεθείην ὑπὸ τῶν διδασκάλων "ἀνέπλαττον ἵππους, βόας, νὴ Δία γε, καὶ ἀνθρώπους." τὸ δὲ ὁπηνίκα ὁριστικῷ παρωχημένῳ.

Τεκμαίρομαι παθητικῶς ἀεὶ γράφεται, ἐνεργητικῶς δὲ οὐδ' ὅλως.

"Μὰ τὸν Δία οὐ σφόδρα τῷ πράγματι ἀχθόμενος," ἀντὶ τοῦ σφόδρα χαίρων.

Ἀποφράδας ἡμέρας καὶ ἀποφράδας ἀνθρώπους καλοῦμεν τοὺς σεσημειωμένους. παρήχθη δὲ ἡ λέξις ἀπὸ ἱστορίας τοιᾶσδε· ἔθος ἦν τοῖς Ἀθηναίοις τοὺς κακούργους καταδικαζομένους ἔξω φέρειν τῆς πόλεως, καὶ διδόναι αὐτοῖς τὴν ἀνήκουσαν δίκην. Ἐξῆγον γοῦν αὐτοὺς ἀπό τινων σεσημειωμένων πυλῶν καὶ οὐκ ἀπὸ τῶν συνήθων τοῖς ἄλλοις πολίταις, ἅτινα ἐκάλουν ἀποφράδας.

Ψῆφος λέγεται ἡ κρίσις, παρήχθη δὲ ἡ λέξις ἀπὸ ἱστορίας τοιαύτης· ἔθος ἦν τοῖς Ἀθηναίοις παλαιὸν κρινομένου τινὸς ποιεῖν τοιοῦτόν τι· ὁ τῶν δικαστῶν ὑπηρέτης παρεῖχεν ἑκάστῳ τῶν δικαστῶν καθημένων ἐν τῷ δικαστηρίῳ ἀνὰ δύο ψήφους, λευκὴν καὶ μέλαιναν, μετώρου οὔσης ἔτι τῆς δίκης· οἱ γοῦν καταδικάζοντες τὸν κατηγορούμενον, ἔβαλον ἐν τῷ δικαστικῷ τὴν μέλαιναν ψῆφον κρυφίως, οἱ δὲ ἀθωοῦντες ἔβαλον τὴν λευκήν· ἐκένουν ἐν τῇ τραπέζῃ,

καὶ εἰ εὑρίσκοντο πλείους αἱ λευκαὶ, ἀπήρχετο ὁ κατηγορηθεὶς ἀθῷος, εἰ δὲ τουναντίον ἐκολάζετο.

Κηλῆσαι τὸ θέλξαι· κηλῶσαι δὲ τὸ ἀμβλῶσαι ἐπὶ τῶν ἐμβρύων, ἐξ οὗ καὶ κηλωστὰ τὰ πορνεῖα παρὰ Λυκόφρονι.

Βοῆσαι τὸ τρανῶς φωνῆσαι, βοῶσαι δὲ τὸ εἰς βοῦν μεταποιῆσαι.

Ζηλῶσαι τὸ μακαρίσαι, ἀφ' οὗ ζηλωτὸς, ζηλῆσαι δὲ τὸ ζηλοτυπῆσαι, ἀφ' οὗ ζηλήμων ἐν Ὀδυσσείᾳ.

Κυκλῶσαί τινα ἀντὶ τοῦ κύκλῳ αὐτοῦ στῆναι· κυκλῆσαι δὲ τὸ κατὰ κύκλον στρέψαι καὶ ἀναπολῆσαι ἐπὶ λογισμοῦ, ὡς τὸ ἀνακυκλεῖ τις τὰ εἰρημένα.

Δεσμέω δεσμῶ τὸ ἐμπεδῶ· δεσμόω δεσμῶ τὸ εἰς εἱρκτὴν βάλλω, ἀφ' οὗ δεσμωτήριον ἡ εἱρκτή.

Σκηνήτης ὁ πρόσκαιρον ἔχων καὶ αὐτοσχέδιον οἴκημα.

Οἱ Ἀττικοὶ τὸ δέον καὶ ἐξὸν ἀντὶ γενικῆς λαμβάνουσι μετοχῆς, οἷον δέον ἀντὶ τοῦ δέοντος ὄντος καὶ ἐξὸν ἀντὶ τοῦ δυνατοῦ ὄντος.

Μνημονεύω τὸ εἰς μνήμην ἔχω τινα· ἀπομνημονεύω δὲ τὸ προφέρω τὰ ἐν τῇ μνήμῃ ὡς παρὰ Πλάτωνι· οἷον, "οἴει με ἃ Λυσίας "ἐν πολλῷ χρόνῳ κατὰ σχολὴν συνέθηκε, ταῦτα ἀπομνημονεύσειν "ἀξίως ἐκείνου;" καὶ ἀπομνημονεύω τὸ ἔξω βάλλω τῆς μνήμης τινά.

Ἀγωνία ὁ ἀγὼν καὶ ὁ φόβος καὶ ἡ λύπη, ἀφ' οὗ καὶ ἀγωνιᾶν ἀντὶ τοῦ λυπεῖσθαι καὶ φοβεῖσθαι.

Φεύγω τὸ ἀποδιδράσκω καὶ ἀφίσταμαι πρὸς αἰτιατικὴν ὡς παρὰ Λιβανίῳ, "φεύγω τὰς ἀρχάς·" φεύγω δὲ τὸ γυροῦμαι πρὸς γενικὴν, ὡς τὸ φεύγω φόνου, καὶ διώκω τὸ ἀποπέμπω πρὸς αἰτιατικήν· τὸ δὲ κατηγορῶ πρὸς αἰτιατικὴν κατὰ τὸ πρόσωπον· πρὸς γενικὴν δὲ κατὰ τὸ πρᾶγμα.

Οἱ Ἀττικοὶ τοὺς ἄνω τοῦ γένους ἡμῶν, πατόρας φημὶ καὶ προπατόρας, τίμια καὶ τιμίους ἐκάλουν, τοὺς δὲ κάτω τοῦ γένους υἱοὺς δηλαδὴ καὶ ἐκγόνους, φίλτατα καὶ φιλτάτους, τοὺς δὲ ἐκ πλαγίου, ἀδελφοὺς δηλάδη, ἐπιτηδείους ἐκάλουν.

Μοναυλίαν ἄγει τις ἀντὶ τοῦ μόνος αὐλίζεται ἐν τοῖς ἑαυτοῦ,

ξυναυλία δὲ λέγεται ἡ συνάθροισις δύο καὶ πλειόνων· λέγεται δὴ ξυναυλία καὶ ὅταν δύο αὐληταὶ τὸ αὐτὸ αὔλωσιν.

Ἀτιμάζω· τὸ περιφρονῶ παρὰ Λιβανίῳ, "μὴ ἀτίμαζε τὸν "γάμον·" ἀτιμῶ τὸ ὑβρίζω.

Καλῶ τὸ ὀνομάζω, ὡς παρὰ Πλάτωνι, "καλῶ δέ ἐγω αὐτοῦ "τὸ κεφάλαιον κολακείαν." καλῶ δὲ καὶ τὸ ἐπικαλοῦμαι, ὡς παρ' Ἀριστείδῃ· "καλῶ δὲ ἐπὶ τούτῳ τῷ τολμήματι καὶ Ἑρμῆν "Λόγιον καὶ Ἀπόλλωνα Μουσηγέτην.

Ἀσκῶ τὸ μανθάνω, ὡς τὸ ἀσκῶ σοφίαν. ἀσκῶ καὶ τὸ παιδεύω ἕτερον.

Τὸ πρὶν συντάσσεται μετὰ ὑποτακτικοῦ· παραδείγματα τούτων, οἷον, πρὶν ἐποίουν, καὶ ἐποίησα τόδε· καὶ πρὶν γενέσθαι τόδε· καὶ πρὶν ἂν ποιήσωμεν τόδε.

Τὸ μεθ' ἡμέραν λαμβάνεται ἀντὶ τοῦ κατὰ τὸν καιρὸν τῆς ἡμέρας· δοκεῖ δὲ οὐκ ὀρθῶς διὰ τὴν μετὰ πρόθεσιν ὑστεροχρονίαν δηλοῦσαν· ἐκαινοτομήθη ὑπὸ τοῦ χρόνου, οἱ γὰρ παλαιοὶ ῥήτορες νύκτωρ καὶ μεθ' ἡμέραν ἐτίθουν, ὅπερ ἐδήλουν ὡς ἂν εἴποι τις, μετὰ τὴν νύκτα τὴν ἡμέραν· οἱ δὲ μεταγενέστεροι τὸ παρηλλαγμένον ζητοῦντες τῆς φράσεως, κατελιμπάνοντες τὸ νύκτωρ, μόνον τιθέασι τὸ μεθ' ἡμέραν.

Ἕρμαιον λέγεται τὸ εὕρημα· παράγεται δὲ ἀπὸ τοῦ Ἑρμῆς ἑρμαῖον καὶ ἕρμαιον. οἱ γὰρ παλαιοὶ τὸν Ἑρμῆν ὡς ἔφορον τῶν ὁδῶν παρὰ τὰς ὁδοὺς ἔγραφον, ὥστε εἴ τι εὑρίσκοντας ἐν ταῖς ὁδοῖς τὰς αἰτίας τῷ Ἑρμῇ ἀνετίθουν, καὶ ἀπὸ τοῦ Ἑρμοῦ παρανόμαζον Ἑρμαῖον καὶ Ἕρμαιον.

Τὸ ἐκλελῆσθαι συντάσσεται καὶ γενικῇ καὶ αἰτιατικῇ· γενικῇ μὲν ὡς παρὰ Λιβανίῳ, οἷον "ὥσπερ ἐκλαθομένη τῶν μεγίστων." αἰτιατικῇ δὲ, ὡς παρὰ Λουκιανῷ "ἐοικάς μοι, ὦ φίλε, ἐκλελῆ-"σθαι τὴν ὁδόν."

Τὸ μέμνημαι συντάσσεται καὶ γενικῇ καὶ αἰτιατικῇ· αἰτιατικῇ μὲν ὡς παρ' Ἀριστείδῃ· οἷον "τὸν προβληθέντα λόγον μέμνημαι·" γενικῇ δὲ παρὰ πᾶσι.

Τὸ οἶδα ἀντὶ τοῦ ἴσημι λαμβάνεται, ὅπερ οὐκ ἐν χρήσει ἐν τοῖς ἑνικοῖς. λέγεται δὲ τοῦτο ἀντιχρονισμός.

Ἐν Δωδώνῃ χαλκοῦς λέβης ἔκειτο ἐφ' ὑψηλοῦ κιόνος, ἐφ' ἑτέρου κιόνος πλησίον ἵστατο νεανίας τις ὅμοιος χαλκὴν μάστιγα φέρων· πνεύματος δὲ σφοδροῦ ἐπιόντος φασὶν ἐμπίπτειν τὴν χαλκὴν μάστιγα ἐν τῷ λευκῷ σάκει, καὶ πολὺν τὸν ἦχον ἐξακούεσθαι· ὅθεν παροιμία ἐπὶ τῶν πολυλόγων, τὸ πλέον τοῦ ἐν Δωδώνῃ χαλκείου λέγει.

Ἀνάστασις λέγεται καὶ ἡ ἀνέγερσις καὶ ἡ ἀναστάτωσις, ὡς παρὰ Δημοσθένει.

Πανοῦργος λέγεται ὁ εἰς πᾶν ἔργον ἐπιβάλλων ἤγουν ὁ φρόνιμος, νῦν δὲ παρὰ τοῖς νεωτέροις, ἐπὶ τοῦ δολίου τίθεται ἡ λέξις.

Φράζομαι τὸ νοῶ παθητικῶς.

Προῆλθε ἀντὶ τοῦ ἐγεννήθη, καὶ ἀντὶ τοῦ προέβαλε καὶ ἀντὶ τοῦ ἐξῆλθεν, ὡς παρὰ Λιβανίῳ, "προσκαθημένη ταῖς θύραις ἡ "γυνὴ ἐπολιόρκησεν ἄν με, προελθεῖν οὐκ ἐῶσα."

Μῦθος καὶ αἶνος ὁ λόγος, ἀφ' ὧν προμύθιον καὶ παραίνεσις.

Ἀκμὴ λέγεται τὸ μεσαίτατον ὡς τὸ θέρους ἀκμή· ἀκμὴ καὶ ἡ ὀξύτης τοῦ ξίφους.

Ἀναβάλλομαι σημαίνει τρία, τὸ ἀνακρούομαι καὶ προοιμιάζομαι, ὡς τὸ "οἱ τέττιγες μουσικὴν ἀνεβάλοντο σύντονον· καὶ τὸ ἐνδύομαι, καὶ τὸ εἰς ἀναβολὰς τίθημι τὸ πρᾶγμα, ὡς τὸ ἀνεβάλετο τὴν ὑπόσχεσιν.

Ἐπειδὴ οἱ μαχόμενοι διὰ τῶν χειρῶν ἐκπληροῦσι τὴν ὁρμὴν τοῦ θυμοῦ, διὰ τοῦτο λέγομεν τοὺς κατ' ἀλλήλων ὁρμήσαντας εἰς χεῖρας ἐλθεῖν· ἀπὸ τούτου λέγομεν καὶ ἐχεχειρίαν τὴν ἄδειαν, ὅπερ γίνεται ἀπὸ τοῦ ἑκὰς καὶ μακρὰν εἶναι χερῶν, τουτέστι μακρὰν τῆς μάχης λέγομεν, καὶ εὐχερὲς πρᾶγμα τὸ εὔχολον (sic) εἰς τὸ ἐμβαλεῖν τινα χεῖρας αὐτῷ, λέγεται καὶ εὐχερὴς ἄνθρωπος, ὁ εὔκολος εἰς τὸ ἀπατῆσθαι.

Ἔσπεισεν ἀντὶ τοῦ δι' ὑγρῶν ἔθυσεν· ἐσπείσατο δὲ ἀντὶ τοῦ ἐφιλιώθη.

Ἀναιρῶ τὸ φονεύω αἰτιατικῇ· ἀναιρῶ τὸ μαντεύω, ὡς παρὰ Πλάτωνι, "τότε δεῖ ποιεῖν ἐὰν καὶ ἡ Πυθοῖ συναναιρεῖ·" ἀναιροῦ[g]

[g] Leg. ἀναιροῦμαι.

δὲ παθητικῶς ἀντὶ τοῦ φονεύομαι καὶ ἀντὶ τοῦ ἀναλαμβάνω, ὡς τὸ ἀναιροῦντο οἱ Μεγαρεῖς τὰ βρέφη τῶν Ἀθηναίων.

Ἀπαγγέλλομαι τὸ ὑπισχνοῦμαι· ὑπαγγέλλω δὲ τὸ διηγοῦμαι.

Μετῆλθεν ἀντὶ τοῦ ἐκόλασεν, καὶ ἀντὶ τοῦ μετέπεσε, ὡς τὸ "ῥόδον λευκὸν ὃν τὴν ἀρχὴν εἰς ὃ νῦν ὁρᾶται μετῆλθεν·" λέγεται καὶ μετελθεῖν ἀντὶ τοῦ μεταχειρίσασθαι.

Πορεύομαι ἐγὼ καὶ πορεύω ἕτερον, ὡς παρὰ Λιβανίῳ "μεγάλη "τοῖς θεοῖς ἡ χάρις οἵ σε ἐπόρευσαν πρὸς τὸν βάρβαρον, καὶ πά-"λιν ἀπώλεσαν."

Ἐξετάζω τὸ ἐρευνῶ καὶ ἐξετάζομαι τὸ ἀριθμοῦμαι, ὡς τὸ ἐξετάζομαι τοῖς στρατιώταις.

Παραβολὴ παραδείγματος διαφέρει, ὅτι ἡ μὲν παραβολὴ λαμβάνεται ἐπὶ τῶν ἀεὶ γινομένων πραγμάτων· τὸ δὲ παράδειγμα ἐπὶ τῶν ἅπαξ πραχθέντων.

Ὑπέχω σημαίνει δύο, τὸ δίδωμι, ὡς τὸ "νόμους ὑπεχέτω τὴν "κόλασιν" παρ' Ἀφθονίῳ· ὑπέχω καὶ τὸ ὑποβάλλω καὶ ὑποκάτω τίθημι, ὡς τὸ ὑπέχει τὰ νῶτα ἡ θάλασσα τῇ νηΐ.

Ἐπανατείνω τὰς χεῖρας εἰς εὐχὴν, καὶ ἐπανατείνω τῷ δεῖνι τὴν ῥάβδον.

Μαρτυρομαί σε ἀντὶ τοῦ μάρτυρα προβάλλομαί σε.

Παύω τοῦ ἔργου καὶ παύομαι ὁμοίως.

Τὸ κατάγεσθαι σημαίνει καὶ τὸ ξενίζεσθαι παρά τινος· τὸ δὲ ἀνάγεσθαι ἀντὶ τοῦ ἀναστρέφεσθαι. ἀπὸ τούτων γίνονται ὀνόματα καταγωγὴ ἡ ξενία καὶ ὁ κατάπλους, ἀναγωγὴ δὲ ὁ ἀνάπλους καὶ ἀναστροφή.

Φιλοτιμεῖται καὶ ἀντὶ τοῦ παρέχει, ὡς παρ' Ἀφθονίῳ ὁ γάμος φιλοτιμεῖται τὰ γένη μετὰ σωφροσύνης. ἀπὸ τούτων ὄνομα φιλοτιμία ἡ ἀπόδειξις καὶ ἡ παροχή.

Χρήζω τὸ χρείαν ἔχω γενικῇ· τὸ δανείζω δοτικῇ, Πλάτων, "χρῆσόν μοι τὴν χλαμύδα σου·" χρήζω δὲ τὸ θέλω αἰτιατικῇ· Σοφοκλῆς,

οἶσθ' ἃ χρήζεις.

Δόρασιν ἡ εὐθεία τὸ δόρας· ἄχρηστον δὲ ἡ τοιαύτη εὐθεία, λαμβάνεται δὲ ἀντ' αὐτοῦ τὸ δόρυ.

Κλαδὶ παρ' Αἰλιανῷ ἐν τῷ περὶ ζώων μεταπλασμός ἐστι, ἤγουν μετασχηματισμὸς λήξεως ὀνόματος ἢ ῥήματος ἢ ἐπιρρήματος εἰς ὁμοιομερὲς τελικόν.

Τὸ δοίην καὶ γνοίην καὶ εἰδείην κατὰ μεταπλασμόν ἐστι· οὕτω καὶ δίχα, τρίχα, τέτραχα, ἀπὸ τοῦ διχῇ, τριχῇ, τετραχῇ.

Πρόγονος, ὁ τοῦ πατρὸς ἢ τῆς μητρὸς πατὴρ ἢ πάππος, προγονὸς δὲ ὁ υἱὸς τῆς συζυγείσης τῷ δεῖνι ὃν ἔσχε μετὰ ἑτέρου ἀνδρός.

Πατρῷος κλῆρος ὁ ἀπὸ τοῦ πατρὸς, πατρωὸς δὲ τοῦ δεῖνος, ἤγουν ᾧ συνεζύγη ἡ μητὴρ τοῦ δεῖνος.

Νόμος μὲν ὁ τὸ δίκαιον διδοὺς, νομὸς δὲ ὁ τῆς νομῆς τόπος.

Πλείων ὁ χρόνος κατὰ περιοχήν.

Θάλαμος ὁ ἐνδότερος οἶκος· θαλάμη δὲ ἡ ὀπὴ ἢ καὶ τῶν οἰκίων κατοικία.

Ἐλπίζω ἐγὼ ἀμετάβατον, καὶ ἐλπίζω τινὰ, ἀντὶ τοῦ εἰς ἐλπίδας ἄγω, ὡς ἐν Ὀδυσσείᾳ,

πάντας μέν ῥ' ἐλπίζει.

Ἀφήγησις καὶ διήγησις καὶ ἔκθεσις πράγματος τὸ ὡς ἔτυχε διεξέρχεσθαι καὶ διηγεῖσθαι τὰ πράγματα· ὑφήγησις ἡ παραίνεσις, περιήγησις δὲ ἡ λεπτομέρης τοῦ πράγματος ἀφήγησις.

Δίκαιον τὸ τὰ προσήκοντα πρὸς ἀνθρώπους ποιεῖν, ὅσιον δὲ, τὸ τὰ προσήκοντα ποιεῖν πρὸς θεόν.

Προσηγορία λέγεται ἡ ὀνομασία, προσαγορία δὲ ὁ χαιρετισμός.

Οἱ Αἰγύπτιοι τὸν ἐνιαυτὸν ἀπὸ τῆς τοῦ Νείλου ἀναβάσεως τεκμαίρονται, διὰ τοῦτο φασὶν ὀνομασθῆναι καθ' Ἕλληνας οὕτω· τὸ γὰρ Νεῖλος ἀναλυόμενος εἰς ἀριθμοὺς τῶν τοῦ ἐνιαυτοῦ τξέ καὶ ἡμερῶν ἀποτελεῖ τὴν ποσότητα.

Ἐλέγχω ἀντὶ τοῦ παριστῶ, ὡς τὸ "ἐλέγχω σε δύσνουν ὄντα "τῇ πόλει." ἐλέγχω καὶ τὸ φαυλίζω παρ' Ἀριστείδῃ· "εἶτα "Πλάτων ἐλέγχειν μὲν βούλεται ῥητορικὴν, κατηγορεῖ δὲ καὶ "τῶν τυράννων τὰ ἄμικτα μιγνύς." ἐλέγχω καὶ τὸ ἐρωτῶ παρὰ Ξενοφῶντι, "οἱ δὲ τοὺς αἰχμαλώτους διαλαβόντες, ἤλεγχον εἴ "τινα εἰδεῖεν ὁδὸν ἄλλην ἢ τὴν φανεράν."

Παραιτοῦμαι τὸ ἀπαγορεύω καὶ τὸ συγγνώμην αἰτῶ.

Διακοῦσαι τὸ δι' ὅλου· ἡ διὰ γὰρ ἀντὶ τοῦ δι' ὅλου κεῖται. fin. Herm. p. 352.

Ἀναβάλλομαι σημαίνει τέσσαρα, τὸ ἐνδύομαι, τὸ προοιμιάζειν, τὸ βραδύνω καὶ τὸ ἀνακρούομαι.

Ἀκμὴ σημαίνει δύο, τὸ μεσαίτατον τοῦ καιροῦ τῆς ἡλικίας, καὶ τὸ ὀξὺ τοῦ δόρατος.

Τὸ χρῶ σημαίνει πέντε. χρῶ τὸ παρέχω, ἐξ οὗ καὶ χρηστὴς καὶ χρήστης ὁ δανειστής· χρῶ τὸ κτῶμαι, ἐξ οὗ καὶ χρῆμα· χρῶ τὸ μαντεύω, ἐξ οὗ καὶ χρησμὸς ἡ μαντεία καὶ χρηστήριον τὸ μαντεῖον· χρῶ τὸ βλάπτω, ἐξ οὗ καὶ χρῶμα· χρῶ τὸ πτήσσω ἐξ οὗ καὶ κατὰ παραγωγὴν χράνω (sic).

Τάφος σημαίνει δ', τὸ μνῆμα, τὴν νῆσον, τὴν ἔκπληξιν καὶ τὸ μνημόσυνον.

Τὸ ἕω σημαίνει ἐξ· δ' βαρύτονα καὶ δύο περισπώμενα· ἕω τὸ ἐνδύομαι, ἐξ οὗ καὶ εἷμα τὸ ἱμάτιον· ἕω τὸ πορεύομαι, ἐξ οὗ καὶ ὁδός· ἕω τὸ ὑπάρχω, ἐξ οὗ καὶ ἕστεται τὸ γενήσεται· ἕω τὸ τελειῶ, ἀφ' οὗ καὶ ἕως καὶ ἡ ἕσπερα ἡ τῆς ἡμέρας τελείωσις· τὰ δὲ περισπώμενα εἰσὶ ταῦτα, ἑῶ τὸ συγχωρῶ, ἑῶ τὸ καθέζομαι, ἐξ οὗ καὶ ἧμαι καὶ κάθημαι.

Ὤθω σημαίνει τρία· ὤθω τὸ ἀποδιώκω· ὄθω τὸ ἐπιστροφὴν ποιοῦμαι καὶ ὄθω τὸ λεπτύνω ἐξ οὗ καὶ ὀθόνη τὸ λεπτὸν ἱμάτιον.

Ἀρῶ τὸ ἁρμόζω, οὗ τὸ θάμα· ἄρω ἄχρηστον, ὡς παρὰ Αἰσχύλῳ,

> ἄραρεν ἡ δέ γ' ὠλένη δυσεκχύτως.

ἀντὶ τοῦ ἥρμοσται· ἀρῶ τὸ ἀροτριῶ, καὶ ἀράω ἀρῶ τὸ εὔχομαι.

Αἴρω σημαίνει τὸ ἐπαίρω, αἴρω τὸ προσφέρω, ἐξ οὗ καὶ ἄρτος ὁ προσφερόμενος καθ' ἑκάστην· αἴρω τὸ διαχωρίζω ἐξ οὗ καὶ διαίρεσις· αἱρῶ τὸ προαιροῦμαι καὶ καταβάλλω, ἐξ οὗ καὶ αἱρετικός· αἱρῶ τὸ κρατῶ, ἄρω τὸ κουφίζω.

Τὸ δρῶ σημαίνει δ', δρῶ τὸ κρατῶ, ἐξ οὗ καὶ δάκτυλοι· δρῶ τὸ ὑπηρετῶ, ἐξ οὗ καὶ δραπέτης ὁ δοῦλος ὁ ἀποδρὰν τῆς δουλείας· δρῶ τὸ βλέπω, ἐξ οὗ καὶ τὸ ὑπόδρα ἰδὼν, καὶ δρήθω τὸ κοιμῶμαι κατ' ἀντίφρασιν, οἱ γὰρ κοιμώμενοι οὐ βλέπουσι· δρῶ τὸ πράττω, ἐξ οὗ καὶ δρᾶμα.

Λῶ σημαίνει δ', τὸ λαλῶ, ἐξ οὗ καὶ λόγος· λῶ τὸ ἀπολαύω, ἐξ οὗ καὶ λάρυγξ· λῶ τὸ βλέπω, ἐξ οὗ καὶ λέων, λῶ τὸ ἐπιθυμῶ, ἐξ οὗ καὶ τὸ

λιλαιόμενοι χροὸς ἆσαι.

Γραφὴ σημαίνει δ'· τὴν κατηγορίαν καὶ τὴν ἅπλως ἐπιστολιμαῖον ἔχουσαν χαρακτῆρα· γραφὴν καὶ τὴν ζωγραφίαν.

Εὐθύνω σημαίνει ζ'. εὐθύνω παρὰ τὸ εὖ μόριον καὶ τοῦ θύω τὸ ὁρμῶ καὶ ἐξισῶ καὶ κανονίζω, ἐξ οὗ καὶ εὐθύτης ἡ ὁμοίωσις· εὐθύνω τὸ ἐλέγχω, καὶ εὐθύνη ἡ ἔλεγξις· εὐθύνω τὸ κρίνω καὶ εὐθύνη ἡ κρίσις· εὐθύνω τὸ τιμωρῶ, ἐξ οὗ καὶ εὐθύνη ἡ τιμωρία· εὐθύνω τὸ καταδικάζω, ἐξ οὗ καὶ εὐθύνη ἡ ἀπολογία, "εὐθύνας, δίκας, τιμωρίας."

Ἀνύω σημαίνει πέντε· τὸ πράττω, τὸ τελειῶ, τὸ ὁδεύω, τὸ ὠφελῶ, τὸ κατορθῶ.

Στέλλω σημαίνει δ', τὸ ἐπιστέλλω, ἐξ οὗ καὶ ἐπιστολὴ [h] καὶ τὸ πλέω, ἐξ οὗ καὶ στόλος· καὶ τὸ διαχωρίζω, ἐξ οὗ καὶ διαστολὴ ὁ χωρισμὸς, καὶ στελλέσθαι ἀπαρέμφατον, τὸ ἀφίστασθαι καὶ ἀναχωρεῖν, καὶ τὸ κοσμῶ, ἐξ οὗ καὶ στολή.

Εἴρω τὸ τύπτω, εἴρω τὸ λέγω, ἐξ οὗ καὶ εἰρήνη· εἴρω τὸ συμπλέκω, ἐξ οὗ καὶ εἱρμὸς, εἴρω τὸ κουφίζω, ἐξ οὗ καὶ ἀειρόμενος ὁ κουφιζόμενος.

Πρόνοια σημαίνει δ', τὴν φροντίδα καὶ τὴν κηδεμονίαν τοῦ παντὸς καὶ δύναμιν, τὴν πρᾶξιν καὶ τὴν πρόγνωσιν.

Ῥέξω σημαίνει γ'· τὸ πράττω, τὸ θύω, τὸ τῇ χειρὶ καταψῶ,

χειρί τε μιν κατέρεξεν.

Ἧι ὅπου, ᾗ καθὼς, ἦ ἤ τινι· ἦ ἆρα· ἦ ὄντως· ἢ ἀργὸν, ἢ παρό.

Ἀσκῶ τὸ κατασκευάζω καὶ κοσμῶ καὶ ὑφαίνω καὶ γυμνάζω.

Τὸ κρίνω σημαίνει τρία, τὸ διαχωρίζω, ὡς τὸ

κρίν' ἄνδρας κατὰ φῦλα.

καὶ τὸ κατακρίνω καὶ τὸ δοκιμάζω.

Τὸ φῶ σημαίνει δ'· φῶ τὸ λέγω, ἐξ οὗ καὶ φωνή· φῶ τὸ φονεύω, ἐξ οὗ καὶ φένω τὸ αὐτὸ καὶ φόνος· φῶ τὸ θάλπω, ἐξ οὗ καὶ

h Cod. male rep. ἐπιστέλλω.

φῶσαι τὸ θάλψαι· τὸ φύω σημαίνει τρία τὸ ἀναβλαστάνω, τὸ ὑπάρχω, καὶ τὸ κρατῶ.

Φάρος ἀρσενικῶς ὁ τόπος, θηλυκῶς ἡ πόλις, οὐδετέρως τὸ ἱμάτιον.

Σκορπίος σημαίνει τὸν χερσαῖον, τὸν θαλάσσιον, καὶ τὸν οὐράνιον, ἤτοι τὸν ἀστέρα.

Ὥρα σημαίνει δ′· τὴν φροντίδα, τὴν θεωρίαν, τὴν μεμερισμένην ὥραν τοῦ ἔτους, καὶ τὴν σωματοειδῆ θεάν.

Τέλος σημαίνει ἕξ· τὸ τάγμα· τὸ πεπληρωμένον ἔργον, τὸ ἀξίωμα καὶ δαπάνημα καὶ τὴν ἑορτήν.

Πόσα σημαίνει τὸ λέγω; ϛ· τὸ λαλῶ, ἐξ οὗ καὶ λόγος· λέγω τὸ διερῶ, ἐξ οὗ καὶ ὡρολόγιον, τὸ τὰς ὥρας μετροῦν· λέγω τὸ κοιμῶμαι, ἐξ οὗ καὶ λέχος ἡ κοίτη· λέγω τὸ συλλέγω, ἐξ οὗ καὶ πολλὰ ξύλα λέγεσθαι· λέγω τὸ λαγχάνω καὶ ὁ μέσος παρωχημένος λέλογχα κατὰ πλεονασμὸν τοῦ γ· λέγω τὸ φροντίζω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀλέγω, τὸ οὐ φροντίζω, ἀλέγω· ὁ β ἀόριστος ἔλεγον καὶ ὤφειλεν εἶναι ἔλαγον κατὰ τὸν κανόνα τὸν λέγοντα κἂν που τύχῃ τὸ ε σὺν ἀμεταβόλῳ, εἰς α αὐτὸ τρέπει ὁ β ἀόριστος, ἀλλὰ σεσημείωται τὸ λέγω ἔλεγον, φλέγω ἔφλεγον· ἀγείρω ἤγειρον, ὀφείλω ὤφελον.

Πόσα σημαίνει τὸ νέμω; β′, τὸ βόσκω, ἐξ οὗ καὶ νομεὺς ὁ βοσκὸς, τὸ πορεύομαι, ἐξ οὗ καὶ νέμεται τὸ ἐπιπορεύεται· τὸ μερίζω, ἐξ οὗ καὶ κρεανόμος· τὸ μέμφομαι, ἐξ οὗ καὶ νέμεσις ἡ μέμψις.

APPENDIX AD EXCERPTA POETICA.

CODEX 352. SUPPL.

Appendicis loco huc contuli quædam poematia e Cod. Reg. Supplement. 352, quem obiter tantum mihi inspicere contigerat cum priore anno Parisiis versarer. Codex autem est Bomb. Sæc. XIII. exaratus. Insunt in eo 1. Himerii Orationes. 2. Æliani de Propriet. Animal. libr. XVII. 3. Ejusdem Variæ Historiæ. 4. Theodosii Excidium Cretæ. 5. Philostrati Epistolæ. 6. Theoph. Simocattæ Epistolæ. 7. Bruti Epistolæ. 8. De Laconum breviloquio. 9. Alciphronis Rhetoris Epistolæ. 10. Encomium Agriculturæ. 11. Descriptio horti. 12. Collectio poematiorum omnis generis tam sacri quam profani ab Anonymo quodam Auctore coacervata. Horum vero Carminum longe major pars Christiani est Argumenti, et Byzantino cuidam serioris ætatis poetæ proculdubio ascribenda est. Illorum autem quædam omnino similia sunt iis quæ inter Christiana Epigrammata rettulit Jacobsius Anthol. Palat. T. I. pp. 1–34. Consimilia etiam habet liber MS. a Bandurio in Antiq. Constantinopol. satis accurate indicatus, et qui non diversus esse videtur ac Codex Regius 1630 e quo nonnulla dedit V. C. Boissonade in Anecd. Gr. Alia prolixiora sunt, nec quidem inconcinne aut pro ætate illa ineleganter scripta. Præter hæc autem in fine nonnulla inveniuntur Epigrammata; quorum major pars in edita Anthologia exstat, pauca vero inedita cæteris intermixta sunt. Ubique autem Poetarum nomina reticentur. Hæc omnia vulgata pariter ac non vulgata publicanda curavi, ut de tota hac collectione, rectius judicium ferre queat lector: quatuor tantum omissi sunt hymni vulgo Joanni Geometræ attributi, qui in Codice poeticæ huic farragini præfixi sunt. Forsan et alia sunt quæ eidem auctori assignari debeant.

ΝΥΞ τὴν σελήνην καὶ βίος γρηγορίαν,
εἶχέ σε λαμπρύνουσαν ἀκτῖσι τρόπων,
ὥρα τε μορφῆς καὶ φρενῶν εὐκοσμία,
ἀλλ' εἰς σκιὰν πέπτωκεν, οἴμοι, τοῦ τάφου,
καὶ γῆς ὁ κῶνος ἐφράγη (sic) τὸν φωσφόρον.
γῦναι γυναικῶν κόσμε, θάμβος ἀρρένων,
φίλανδρε καὶ φίλαγνε κρᾶμα θαυμάτων,
σιγῇ λόγους νικῶσα, τὴν σιγὴν λόγοις,
φιλεργίᾳ γυναῖκας, ἄνδρας ἀνδρίᾳ,
πράς (sic) πενιχρὰς εὐγενεία, πᾶν γένος
τὴν ἐκτὸς εὐγένειαν ἐκ τῆς ἐν βάθει
κεῖσαι πικρὸν θέαμα, τέκνον καὶ φίλοις·
κεῖσαι πικρὸν θέαμα τερπνῷ νυμφίῳ
καὶ πάντα λαμπρῷ, καὶ τὰ πάντα συζύγῳ.
ἀλλ' οἶδα φωστὴρ, οὐ τὸ πᾶν ἀπεκρύβης
μὴ γὰρ τοσοῦτον καὶ κατισχύσει [οι] Χάρων,
ἀλλ' ἡ σελήνη πρὸς νοητὸν φωσφόρον
ἄνω στρέφῃ νῦν, πρὸς δὲ τὴν χθόνα βρίθον
νεύειν ἀνάγκη τὸ σκιῶδες σαρκίον.

Εἰς τὸν κύριον Νικηφόρον[a] τὸν βασιλέα.

Μὴ χρώμασι ποικίλλε δεσπότου[b] θέαν,
ἀλλ' ἀδάμαντα, χρυσὸν, ἄργυρον, λίθον,
χαλκόν τε καὶ σίδηρον ἁρμόσας ἅμα·
μόρφου τὸ σῶμα· καρδίαν μὲν χρυσέαν
πρώτιστα πλάττε, στέρνα λαμπροῦ δ' ἀργύρου,
χεῖρας δὲ χαλκοῦ καὶ σθένη βραχιόνων,
τὴν ἰξὺν ἀδάμαντος, ἐκ λίθου πόδας,
κνήμας δὲ καὶ τὰ νῶτα καὶ στερρὰν κάραν,
τὸ πᾶν σιδηρᾶ. ταῦτά μοι ξενοτρόπως
μίξας τὰ πάντα καὶ κεράσας τῇ τέχνῃ,
ἄγαλμα καινὸν, αὐτόχυτον, ποικίλον,
ἵστη πρὸς αὐγὰς, ἔνθα φλογμὸς ἡλίου,
χιών τε καὶ χάλαζα καὶ κρυμοῦ βία,
τούτοις τὸ σῶμα δεσπότου τοὐμοῦ τύπου.

[a] Nicephorus Irenes successor ineunte Sæc. IX. [b] δεσπόυ [τ] Cod.

ἄμφω δὲ χεῖρες ἐκτάδην ἡπλωμέναι·
πρὸς τὴν ἕω μὲν δεξιὰ νικηφόρος·
πρὸς ἥλιον δὲ τὸν δύνοντα θατέρα,
γῆς ἄκρα δεικνύτωσαν, ὥσπερ Αὐσόνων
οὐ (sic) συγχρόνους [c] ἔτεινε πέντε τοὺς ὅρους,
τούτοις ἀπεικόνιζε σῶμα δεσπότου.
ψυχῆς δὲ κάλλος καὶ φρόνημα καὶ τρόπους,
οὐ πλοῦτος ὕλης, οὐδὲ κάλλος ἐκ τέχνης,
ἀλλ' εἰ τὸ κάλλος καὶ τὸ πλῆθος ἀστέρων
εἰς ἓν συνελθὸν καὶ κερασθὲν σὺν τέχνῃ
ῥυέν τε ῥυθμῷ πρὸς μέρη τε καὶ μέλη
ἓν συντελοίη φωτὶ ποικιλοχρόῳ,
μόρφωμα καινὸν, ὄψιν ἀστραπηβόλον,
μόλις τὸ λαμπρὸν εἰκάσειαν τοῦ τρόπου,
καὶ τὸ φῶς τοῦ νοῦ πᾶσαν ἀστράψαν χθόνα.
ἀλλ' ἄσπασαι μὲν τὸν σύναρχον φωσφόρε.
ἧς γὰρ κατάρχεις, ἦρξεν· εἶδεν ἣν τρέχεις.
σὺ δ' οὐρανὲ, τρόπαια δεσπότου γράφε.
νίκας γὰρ αὐτοῦ, σὸν πλάτος χωρεῖ μόνον.
ἐξ ἀστέρων στέφη δὲ πλέξας ποικίλα,
καὶ δειξὰν τὴν τοῦδε καὶ κάραν στέφε.

Εἰς τὸν κύριον Ἰωάννην [d] τὸν βασιλέα ἐπιτύμβια.

Ἐνταῦθά μοι στὰς μικρὸν, ὦ ξένε, χρόνον,
καὶ προσβαλὼν φίλοικτον ὄμμα τῷ τάφῳ,
κλαῦσον τὰ θνητὰ, τὰς ἐμὰς βλέπων τύχας.
καὶ σπένδε θερμὸν δάκρυόν μοι κειμένῳ.
ἐγὼ πατρὸς φὺς εὐγενοῦς ἐξ ὀσφύος,
βλάστημα ῥίζης, πτόρθος ἰσχύος γέμων,
πολλῷ παρῆλθον φύντας εἰς εὐτολμίαν·
οὔπω γὰρ ἦν παῖς, καὶ φρενῶν εὐανδρίᾳ
ἤστραπτον ὅπλοις, ἐν μέσῃ γῇ [e] βαρβάρων.
οὔπω μὲν ἱππεὺς, ἀλλ' ἀριστεὺς ἦν ἅμα.
οὔπω δὲ πυρσοῖς ἐσκίαζον τὴν γένυν

[c] σὺν χρόνους Cod. [d] Ioannes Stauracius. [e] τῇ pro γῇ Cod.

πρώτοις ἰούλοις, ἀλλ᾽ ἐπλήρουν τὴν χθόνα
ἐμῶν τροπαίων, πᾶσαν ἥν περ Εὐφράτης
κύκλῳ διαρρεῖ, καὶ περιρρέει Τίγρις.
ἐμὰς ὁ Χαβδᾶν χεῖρας ἔφριξε μόνας.
τὴν ἵππον ηὐτρέπισεν εἰς φυγὴν Ἄραψ.
ἐγὼ διδάσκω πρῶτος Αὐσόνων γένος
στῆναι πρὸς ἀστράπτουσαν αὐγὴν τοῦ ξίφους,
κράνος τὲ καὶ πρόσωπον ἐχθρῶν ἐν μάχαις.
ἐμὴ μάχαιρα καιρὸν οὐκ εἶχε μάχης.
οὐκ εἶχον ἔργον χεῖρες αὗται πολλάκις,
ἀλλ᾽ ἐξαφῆκεν ἔντρομα πρὸς γῆν ξίφος.
ὅπλων δὲ χρῆσις εὕρεσις νεωτέρων,
καὶ σχῆμα λαμπρὸν τῶν ἐμῶν παιδευμάτων,
πέφυκεν ἔργον τῶν ἐμῶν τολμημάτων.
οὐ σῶμα θνητὸν οὐδὲ τρωτὸν ἐν μάχαις
αὐτουργὸν ἂν δόξειεν, ἀλλ᾽ εἴ τις φύσις
ἄϋλος ἄλλη καὶ βροτῶν ὑπερτέρα.
ἕως μὲν οὖν ἦν δεξιὰ σκέπουσά με
ἄνωθεν, ἠρίστευον, ἤνθουν, ἐκράτουν,
πᾶσαν μικροῦ τέθεικα δούλην τῷ κράτει,
ἣν ἐξανίσχων ἥλιος πρῶτος φλέγει.
ἐπεὶ δ᾽ ἔρως με τῆς κακίστης ἐν βίῳ
τυραννίδος κατέσχε, φεῦ δυσβουλίας,
καὶ δεξιὰν ᾕμαξα καὶ σκῆπτρον κράτους
ἥρπασα, πύργον συγγενῆ κατασπάσας.
τἀντεῦθεν οἴμοι, ποῖα, καὶ πῶς ἂν φράσω;
πρῶτον μὲν ἔνδον ἡ κατήγορος φύσις
πικροῖς ἐκέντει νύγμασι τὴν καρδίαν.
ἐκοπτόμην ἔσωθεν, ἐσπαραττόμην,
δεινὸν δικαστὴν τὴν συνείδησιν φέρων.
ἔπειτα πάντας τοὺς ὑπηκόους τρέμων,
ψευδεῖς ὀνείρους καὶ σκιὰς ὑποβλέπων,
πικρὸν, πολυστένακτον, ἤντλουν τὸν βίον.
λαγὼ βίον ζῶν, ὁ πρὶν ἄτρομος λέων.
ζήσας δὲ πικροὺς καὶ βραχεῖς τάλας χρόνους,

φεῦ, τῷ τριπήχει νῦν κατῳκίσθην τάφῳ.
κεῖμαι δὲ νεκρὸς, ὁ πτερωτὸς ἱππότης.
ὁ πρὶν δὲ χρυσαῖς ἐκπρεπὴς πανοπλίαις,
ἑλικτὸς ἄρτι, νεκρικῶς ἐσταλμένος·
ὁ δοὺς δὲ νίκας τὰς ἐμὰς ᾠδὰς λύραις,
νῦν παίγνιον, φεῦ, κωμικῶν ἀθυρμάτων.
ἐμῶν δὲ χειρῶν ἡ πυρὸς πρὶν ὀξύτης,
στέρνων τε τούτων θυμοειδὴς στερρότης,
ψυχρὰ κόνις νῦν καὶ σαπρὰ δυσωδία.
ἄνθους δ' ἐκεῖνο καὶ τὸ κάλλος ἐρρύη.
στολαὶ δὲ λαμπραὶ σχῆμα σεμνὸν τοῦ κράτους,
καὶ σκῆπτρον καὶ τὸ στέμμα καὶ χρυσοῦς θρόνος·
ἔρρει τὰ πάντα· σὴ δὲ φρικτή μοι μόνη
φρικτὴ, δικαστὰ καὶ βασιλεῦ μου, μένει,
πρὸς πᾶσι τούτοις, τῷ κατακρίτῳ κρίσις.
ἀλλ' ἵλεών μοι σπλάγχνον ἐν δίκῃ νέμοις·
καὶ γὰρ Μανασσῆ, κἂν τὸ πλῆθος σφαλμάτων
νικᾷ τὸ πλῆθος ἀστέρων, κἂν τὴν ψάμμον,
σὸν πλάστα [d] κἀγὼ, πλάσμα καὶ σῶν δακτύλων.

Ὁ δραματουργὸς τοῦ τράγου τὸ παιδίον,
κήρυξον, εἰπὲ, τὴν νέαν τραγῳδίαν.
πῶς ἐξυβρίσθης, πῶς ἐτύφθης, πῶς μέσον
πάντων ἐσύρθης· πῶς ἐχρίσθης τὴν θέαν,
πῶς ἐρραπίσθης, πῶς ἐτίλθης τὰς τρίχας·
ταῦτα τραγῳδὲ νῦν τραγῴδει· καὶ τράγον
εἴπερ θέλοις, καὶ τοῦτον εὕροις ἐγγύθεν.
σὲ τὸν φύσαντα φημὶ τὸν κερασφόρον,
τὸν ἐκφύσαντα τεσσάρων πλέθρων [e] κέρας.
πλὴν μὴ κρεουργῇς, ἀλλὰ βόσκε καὶ τρέφε·
τροφεῖα τίνων τῷ γένους ἀρχηγέτῃ [f].
καὶ τοῖς χρόνοις ὢν Ἰαπετὸς καὶ γέρων
φρένας δικαίως, καὶ γὰρ ὡς τράγου τέκνον,
οὐκ ἔσχες ἀνθ' ὧν τοῦτο μηδεὶς θαυμάσοι.

[d] Sic Cod. [e] πλήθρων Cod. [f] ἀρχιγέτῃ Cod.

Θρηνῶν τὸ κοινὸν τῶν βροτῶν τέλος, ξένε,
καινόν τι δυστύχημα θρήνει καὶ πάθος,
κρύπτον παλαιὰ δυστυχημάτων πάθη·
μήτηρ θανοῦσα, παῖδα νῦν τεθνηκότα
ὃν γαστρὸς ἔνδον ἐξέθρεψε πρὶν βρέφος,
ὃν ἐκράτει πρὶν μητρικαῖς ἐν ὠλέναις,
ἔχει λαβοῦσα νεκρὸν ἐν ταῖς ἀγκάλαις.
εἷς τύμβος αὐτοῖς κοινὸς, ὡς γαστὴρ μία.
κοινὴ δὲ μήτηρ, μητρὸς ἡ γῆ καὶ τέκνου·
ἀρκεῖ μαλάξαι καὶ λίθων σκληρὰν φύσιν
καὶ ταῦτα πάντως· πλὴν τὸ πικρὸν τοῦ πάθους
οὔπω λέλεκται, κἂν τις ἴδῃ δακρύῃ.
ἡ μὲν γὰρ ἀνδρὶ συζυγεῖσα πρὸς γάμον,
οὗ περ τὸ κάλλος πᾶσαν ἥδυνε φρένα,
κράτους δὲ φήμη πᾶσαν ἐπλήρου χθόνα,
ἔργον μαχαίρας εἶδεν αὐτὸν καὶ ξίφους.
τοσοῦτον[g] συζήσασα τῷ πεφιλμένῳ
ὅσον φῦναι πρωτογέννητον κλάδον.
καὶ σὺν στεναγμοῖς προσβλέπουσαν τῷ τέκνῳ
μνήμην ἐκείνου τοῦ παθήματος φέρειν·
ἄμφω καταστένουσαν ἐκ θρηνημάτων.
πῆ μὲν τὸ τέκνον πατρὸς ὠρφανισμένον,
πῆ δ' αὖ γ' ἑαυτὴν ἀνδρὸς ἐστερημένην.
ὁ δ' ἐκφὺς αὐτῇ πρῶτος, ἢ μᾶλλον μόνος,
ἀναδραμὼν ὡς ἔρνος ὡραῖος νέος,
ἐπεὶ πρὸς ὥραν ἧκεν ἀκμῆς καὶ γάμου,
ἧψε δὲ λαμπρὰς λαμπάδας γαμηλίους,
εὐθὺς μὲν ἐστέρητο καὶ τοῦ συζύγου,
μηδ' ἐκφυέντος παιδὸς ἀντὶ μητέρος.
ζήσας δὲ λοιπὸν μικρὸν ἄζυγος χρόνον,
ἐπεὶ μετ' ἀνδρῶν συγκατηριθμημένος
πρώτοις ἰούλοις ἐσκίαζε τὴν γένυν·
καὶ κάλλος ἤνθει καὶ προσώπου τερπνότης.

[g] τοσοῦτο Cod.

ἤριζε φαιδρότητι τῇ τῶν ἀστέρων,
ἄφνω βαρείᾳ καὶ δυσαντήτῳ νόσῳ
ἐπὶ ξένης γῆς ἐκκόπτεται βίου·
ἄωρος οἴμοι, καὶ πρὸ καιροῦ τῆς τρύγης·
καὶ μητρὶ κοινὸν συγκατῴκησε τάφον.
διπλοῦν τὸ πένθος τῶν στεναγμῶν καὶ γόων
τῇ μητρὶ μητρὸς καὶ διπλᾶς λιπὼν φλόγας,
ἥτις τὸ τέκνον καὶ τὸ τοῦ τέκνου τέκνον
ἰδοῦσα κοινῷ νῦν λίθῳ κεκρυμμένα,
ἄλλης Νιόβης δυστυχοῦς ἕλκει βίον,
πικρὸν, πολυστένακτον, ἀντλοῦσα χρόνον.
ἀλλ' ὦ κάτοικοι τοῦδε τοῦ λαμπροῦ δόμου,
χορὸς φιλάγνων πανθέων [h] σεμνοτρόπων,
ὁ μὲν τεθνηκὼς δεξιοῦται πλουσίοις
ὑμᾶς ταλάντοις, ὡς ἂν αὐτοῦ τὸν τάφον
συχναῖς ἐπισκέπτοισθε [i] λαμπαδουχίαις.
ὑμῶν δὲ μήτις τόνδε κινήσοι λίθον,
μηδὲ φθονήσοι τῆσδε τῆς συσκηνίας.
μόνους δὲ κρύπτοι παῖδα καὶ τὴν μητέρα·
ὡς ἂν καθὼς πᾶν ἔσχεν ἡ μήτηρ νέα,
οὕτω πάλιν θανοῦσα, συμμένῃ μόνῳ.
εἰ δὲ πρὸς οὐδὲν τόνδε θεὶς τίς [k] τὸν νόμον,
κινεῖν ἕλοιτο τόνδε τὸν κοινὸν λίθον,
τὸ τῆς προνοίας ὄμμα τιμωρὸν λάβοι,
καὶ πῦρ γεέννης, καὶ τὸ τῆς δίκης ξίφος.

ΕἸΣ ΤῊΝ ΚΟΊΜΗΣΙΝ ΤῊΣ ΘΕΟΤΌΚΟΥ.

Σαῖς ἠγκαλίζου πρίν με χερσὶ, παρθένε,
θηλῆς δὲ σῆς ἔσπασα μητρικὸν γάλα.
τὸ πνεῦμα σου νῦν αὐτὸς ἠγκαλισμένος,
τὸ σῶμα πέμπω πρὸς τρυφῆς τὸ χωρίον.

ΕἸΣ ΤῊΝ ἈΠΌΣΤΑΣΙΝ.

Νῦν οὐρανὲ, στάλαξον ὄμβρους αἱμάτων,

[h] Dub. scr. est hæc vox. [i] Sic Cod. [k] τίσον Cod.

ἀὴρ ἐπενδύθητι πένθιμον σκότος,
ἡ γῆ καταξάνθητι καὶ ῥάγηθί μοι,
κόψον τὰ δένδρα, ῥίψον οἷα βοστρύχους,
ὅλην στολὴν μέλαιναν ἀντὶ τῆς χλόης,
τὸ σὸν πρόσωπον ἀμφιέσασα, στένε.
τὸ συγγενὲς μὲν αἷμα πᾶσαν τὴν ἕω
πρῶτον μένει, καὶ μερίζεται ξίφος
τὰ συμφυῆ, φεῦ, καὶ γένη τε καὶ μέλη.
πατὴρ μὲν ὀργᾷ πρὸς σφαγὴν τῶν φιλτάτων·
καὶ δεξιὰν παῖς πατρικῷ χραίνει φόνῳ·
αἴρει δὲ καὶ μάχαιραν, ὢ πικροῦ πάθους,
ἀνὴρ ἀδελφὸς εἰς ἀδελφοῦ καρδίαν·
ἡ γῆ δὲ πολλοῖς συσπαραχθεῖσα τρόμοις,
κάτω δονεῖται, καὶ κεραυνῶν αἱ φλόγες
ἄνωθεν αὐτὴν ἐκτεφροῦσι τὴν κόνιν.
πόλεις δὲ ῥώμης τὰς ἐπάλξεις ὡς κόμας
πρὸς γῆν βαλοῦσαι καὶ κατεσπαραγμέναι,
θρηνοῦσαι πικρὸν, οἷα πένθιμοι κόραι.
οἱ τῆς Ἄγαρ κρατοῦσιν· αἱ πάλαι πόλεις
φόρους τελοῦσαι, τῶν καθ' ἡμῶν νῦν φόνων
αἰτοῦσι μισθοὺς καὶ χορεύουσι μέγα.
καὶ ταῦτα μὲν δὴ ταῦτα πρὸς τὴν ἕω.
τὰ πρὸς δύσιν δὲ, ποῖος ἐξείποι λόγος;
Σκυθῶν μὲν αὐτὴν πλῆθος, ὡς μὲν πατρίδα
διατρέχει τε καὶ περιτρέχει κύκλῳ·
ὡς γῆν δὲ βλαστάνουσαν εὐγενεῖς κλάδους
ἀνδρῶν ἀτρέπτων καὶ σιδηρέαν φύσιν
πρόρριζον ἐκτέμνουσι, καὶ βρεφῶν γένη
ξίφος μερίζει· καὶ τὰ μὲν μήτηρ ἔχει,
τὰ δ' ἐχθρὸς ἐξέσπασε τῶν βελῶν βίᾳ.
αἱ δὲ κραταιαὶ πρὶν πόλεις, λεπτὴ κόνις.
ἱπποτρόφους δὲ τὰς πρὶν ἀνθρωποτρόφους,
οἴμοι βλέπων νῦν πῶς παύσομαι δακρύων;
χῶραι μὲν οὕτω πυρπολοῦνται καὶ τόποι.
σὺ δ' ἡ βασιλὶς τοῦ Βύζαντος ἑστία,

ποῦ μοι τύχης ἕστηκας, εἰπέ μοι πόλις;
πόλις κακοῖς κρατοῦσα, τοῖς καλοῖς ὅσον
νικῶσα τὸ πρίν. οὐ κλονῇ [m] *καθ᾽ ἡμέραν;*
οὐ βάθρα πίπτει καὶ σπαράσσεται τρόμῳ;
οὐ τοὺς φυέντας ἀγκάλαις ταῖς σαῖς κλάδος,
τοὺς μὲν μαχαίρας ἔργον εἶδες ἐν μάχαις
ἐκ συγγενῶν πίπτοντας; οἴμοι τοῦ πάθους·
τοὺς δ᾽ ἀντὶ λαμπρῶν καὶ καλῶν ἀνακτόρων
νήσους ἐρήμους καὶ φάραγγας καὶ πέτρας
κριθέντας οἰκεῖν, τὴν πνοὴν μετρουμένους;
καὶ ταῦτα, φεῦ, πάσχοντες, ὢ τῶν κριμάτων,
τῶν σῶν, δικαστὰ, τὴν λιθώδη καρδίαν
οὐδεὶς μαλάσσει, σπένδεται τῷ πλησίον,
καὶ δάκρυον χεῖ φάρμακον σωτηρίας.
ἀλλ᾽ ἥλιος μὲν εἰς σκότος μετεστράφη,
καὶ τῆς σελήνης φέγγος ἐξαπεκρύβη,
καὶ καινὸς ἀστὴρ θαῦμα πίστεως ξένον,
καινῆς δ᾽ ἀνήφθη, τῆς δ᾽ ἐμῆς ῥαθυμίας
λογισμὸς οὐδεὶς, οὐδὲ τῶν ἐγκλημάτων.
ἀλλ᾽ ἵλεών μοι δεῖξον, ἵλεων Λόγε,
σὸν ὄμμα χρηστὸν, παῦσον ἀλληλοφθόρους
σφαγὰς, ἁλώσεις δεσμίους, μάχας, στάσεις,
φυγὰς, διώξεις, ἁρπαγὰς, ποινὰς, κρίσεις·
ᾤκτειρας, οἶδα, καὶ Νινευῒ τὴν πόλιν,
καὶ λαὸν ἠλέησας ἡμαρτηκότα·
σὸν ποίμνιον γὰρ, ὤνιον σῶν αἱμάτων.
σὴ μάνδρα κἀγὼ, Χριστέ· ταῦτα σὴ πόλις
βοᾷ, πόλις σὴ, μὴ παραβλέψῃ, βλέπων
κακῶν ἀβύσσους· μέχρι γὰρ τίνος πόνοι.

Εἰς τοὺς ἁγίους πέντε, Εὐστράτιον καὶ τοὺς σὺν αὐτῷ.

Εἴληφε πεντὰς μαρτύρων πέντε στέφη.
Ὁ δ᾽ Εὐστράτιος πέντε λαμβάνει. μόνος

[m] *κλονᾶ* Cod.

Ἑλληνικὴν ἤλεγξε μυθοπλαστίαν·
ἤγρευσεν Εὐγένιον, ἤσκησε στόμα
τὸ Μαρδαρίου πρὸς δικαστὴν ὀξέως·
ἔρρωσε τὸ φρόνημα κάμνον Ὀρέστου
πρὸς τὴν ῥέουσαν καὶ σιδηρέαν φλόγα.
καὶ ταῦτα πράξας, καὶ παρ᾽ ἐχθροῖς τυγχάνει
αἰδοῦς ὁ κλεινός· ἀλλὰ τῆς προθυμίας
ἄκοντα τὸν τύραννον ἕλκει ποικίλως,
τὴν ψῆφον αὐτῷ τὴν δοκοῦσαν θεσπίσαι.
καὶ πρὸς τὸ πῦρ ἔσπευσεν ὡς πέμπτον στέφος.
Σὺ μὲν κάτω, τύραννε, τὴν σιδηρέαν,
ἄνω δὲ Χριστὸς χρυσέαν τιθεῖ κλίνην,
τὸ φῶς ἀπαυγάζουσαν, ὡς αὕτη φλόγα.

Εἰς τὴν τῶν Ῥωμαίων μάχην.

Ἀνῆκεν ἡ γῆ τοῦ δράκοντος καὶ πάλιν
σπαρτοὺς γίγαντας ἄνδρας ἀλληλοφθόρους·
θέαμα καινὸν, πρᾶγμα πίστεως ξένον.
πάνχαλκος ὄψις, πανσίδηρος ἡ φύσις,
ὅρμημα θηρῶν, βλέμμα δεινὸν γοργόνων.
τίς δ᾽ αὖ ἐκεῖνος τῶν γιγάντων ἐνστάτης,
ὁ δεινὸς οὗτος πᾶσιν ἐμπίπτων μόνος
ὡς ἀλλόμορφος καὶ παρεξηλλαγμένος,
χρυσοῦς τὸ κάλλος καὶ σιδηροῦς τὴν φύσιν;
κινούμενος, πῦρ, ἐκκαλούμενος, λέων,
ἑστὼς, ἀδάμας· ἄργος, ἐν κύκλῳ βλέπων,
βλέπων κεραυνὸς, αἷμα καὶ φόνον πνέων;
οὐκ ἀδάμας τίς, οὐ σίδηρος, οὐ λίθος,
ἀλλ᾽ οὐδὲ χρυσοῦς, οὐδὲ τῇ φύσει γίγας,
ἀλλ᾽ ἡ τριὰς κραθεῖσα τῶν ἐρασμίων,
εὐανδρία, φρόνησις, ἀλκὴ πρὸς πόνους,
ἔνυλος ὥσπερ συμπλακεῖσα πρὸς μάχην
τῆς ἀρετῆς δείκνυσι τὴν ἰσχὺν πόση·
πῶς καὶ γιγάντων καὶ τιτάνων ἐν μάχαις

κρατεῖ καθ' αὐτῶν καὶ χορὸς τῶν ἀστέρων.
ταῦτα βλέπων καθῆκε κάλλος ὑψόθεν,
τὰς ἀρετὰς κάλλιστα ταῖς νίκαις στέφων.

Εἴς τινα μουσικόν.

Ὀρφεύς τις ἢ Θάμυρις ἢ καὶ Κινύρας
ἔθελγον ᾠδαῖς δένδρα, θῆρας καὶ λίθους·
τῶν σῶν δὲ τερπνῶν ἐμμελῶν λιγυσμάτων
ἄθελκτον οὐδὲν, ἀλλὰ καὶ θαλασσίους
πέτρας, δοκῶ μοι, καὶ θάλασσαν ἀγρίαν
αὐτὴν κατευνάζουσι καὶ πνοῶν βίας.
ὁρᾷς γὰρ ὡς ἤκουσεν εὐθὺς τοῦ μέλους.
παύει μὲν αἰθὴρ συστροφὰς ἀντιπνόους,
ῥήσσει δὲ πυκνὰς τῶν νεφῶν ἀντιστάσεις.
ὁρᾷ δὲ φαιδρὸν, προσγελᾷ τὴν αἰθρίαν·
κάτω δὲ καὶ θάλασσα κυματουμένη,
ἐξυπτιοῦται νῦν κατεστορεσμένη·
τὴν ὕβριν ἐξέπτυσεν, ὡς φονεὺς ξίφος
ἔρριψεν εἰς γῆν, πᾶν κατηύνασε θράσος·
διΐσταται χαίρουσα πρὸς τὸ σὸν μέλος,
γελᾷ γαλήνην· λεῖον ἡδὺ προσβλέπει.
σκαίρουσιν ἰχθῦς· προσλαλεῖ σοι τῷ μέλει
φιλῳδὸς ἀντίμολπον ἀλκυὼν μέλος·
δελφὶς παραπλεῖ καὶ περιπλεῖ τὴν λύραν.
σκάρος δὲ φωνεῖ, προτρέχει δὲ ναυτίλος·
προσπλεῖ δὲ μικρὸν καὶ προπέμπει πομπίλος.
ἀλλ' ἐνδέδοικα μὴ χορεῦσαι πρὸς μέλος
καὶ τὴν φέρουσαν πάντα θέλξας ὁλκάδα,
ἄνω κάτω τὰ πάντα συστρέψῃς βίᾳ,
ἢ καὶ πρὸς αὐτὴν θῆρας ὄρνεις ἰχθύας
πηδᾶν βιάσῃ καὶ κατασπάσῃς κάτω.
ἢ καὶ τραπῶσι πρὸς λίθους οἱ ναυτίλοι·
ἢ πάντα μᾶλλον, εἰ τὰ Σειρήνων θέλοις.
ἄμφω γὰρ αὐτὸς καὶ λίθους κινουμένους

ὡς ἐμπνόους δείκνυσι, καὶ τοὺς ἐμπνόους
οὓς ἂν θελήσῃς, πρὸς λίθους πηγνυμένους [n].

Τί τοῦτο κάλλος; τίς πάλιν καινὴ κτίσις;
ἢ τίς μετῆξε τῆς Ἐδὲμ τὸ χωρίον;
οὐκ ἀρεταὶ γῆς, ἀλλὰ πάντων κτισμάτων
συνῆλθον ὧδε. μέμφομαι καὶ τῇ φύσει.
τί μοι γὰρ ἀρκέσουσιν ὀφθαλμοὶ δύο,
κάλλη τοσαῦτα πανταχοῦ περιβλέπειν;
τί μοι δὲ καὶ νοῦς, καὶ γλῶττα, καὶ φωνὴ μία
πλήθη τοσαῦτα θαυμάτων νοεῖν, λέγειν;
χρόνος δὲ ποῖος ἡμέρας περιτρέχειν
ἄνω κάτω τὰ πάντα καὶ περιγράφειν;
κάτω μὲν ἡ γῆ νυμφικῶς ἐσταλμένη,
καὶ μικρὸν ἐκ γῆς ὥσπερ ὕψος ἠρμένη,
πρόεισι φαιδρὰ πᾶσιν ἐξεσταλμένη,
δάφναις, φυτοῖς, θαλλοῖς τε, θάμνοις, ἀμπέλοις,
κιττοῖς, κορύμβοις, δένδρεσι καρποτρόφοις·
πηγαὶ, σκιαὶ, δόνακες, ἄλση, λιβάδες,
πόαι, νομαὶ, φάραγγες, ἄκραι, κοιλάδες,
δρυμῶνες ἢ λειμῶνες, ἄντρα καὶ νάπαι,
ἄνθη τὰ πάντα, πάντα κάλλη, πᾶν μῦρον,
πᾶν χρῶμα, βύσσος, πορφύρα, χρυσὸς, γάλα.
ῥοδωνιαὶ, κρινῶνες, ὀδμητῶν ἴων,
χρυσάνθεον, νάρκισσος ἡδὺς καὶ κρόκος,
ὁ πορφυρίζων ὑάκινθος ἡδίων,
ὁ δὲ φλογίζων ἐκπρεπέστερος πλέον.
ἄπεστιν οὐδὲν, ὧν παρεῖναι βέλτιον,
πάρεστιν οὐδὲν ὧ παρεῖναι [o] συμφέρον.
τὰ ῥεῖθρα, ποῖα ῥεῖθρα τῶν λόγων φράσοι;
χρυσᾶ, διειδῆ, ψυχρὰ, κοῦφα, μυρία,
μέλι πέτρας ῥέοντα, τερπνῷ σὺν μέλει.
ἢ λουτρὰ ταῦτα τῶν χαρίτων ὡς λόγος,

[n] Nulla est divisio in Cod.

[o] Vid. leg. ἂν ἀπεῖναι.

ἢ μᾶλλον αὐτὰ καὶ χάριτες εἰς χύσιν.
οὐ τρεῖς ῥέουσαι μᾶλλον, ἀλλὰ μυρίαι.
ἢ τέσσαρες ῥέοντες ἐξ Ἐδὲμ πάλαι
κρουνοὶ καταρδεύουσιν Ἐδὲμ τὴν νέαν.
κρῆναι, λίγναι, τέχναι δὲ τούτων μυρίαι
τὰς ἡδονὰς βλύζουσι τῶν ῥείθρων πλέον.
θέλγουσι ταῦτα καὶ λίθους καὶ θηρία.
ὁρᾷς τὰ πλήθη, θῆρας, ὄρνεις, ἰχθύας;
δοκῶ λιπόντα πάντα τοῦ κόσμου τόπον
ὡς οἶκον εὗρον κοινὸν ὧδε τὸν τόπον,
ἢ πρὸς τὸ κάλλος συνδραμόντα δεσπότου,
ὡς πρὸς μέλος μένουσι τὸ πρὶν Ὀρφέως.
ᾄδουσιν, ἀντᾴδουσιν, ἀηδὼν, κύκνος,
τέττιξ, χελιδών. ἡ τρυγὼν τρύζει μέγα,
πέρδιξ κεραδεῖ, λαμπροφωνεῖ στρουθία,
πίτυς μελίζει; ῥεῖθρον ἠχεῖ βλυστάνον,
τρέχει λαγὼς, σκιρτῶσι θῆρες, δορκάδες,
χαίρει τὰ πάντα, πάντα τῶν μουσῶν γένη
τέρπει, τὰ πάντα τέρπεται, τῷ δεσπότῃ
μέλπει τὰ πάντα καὶ δοκῶ τὸν δεσπότην.
ποῦ Πραξιτέλους ἔργα; ποῦ δὲ Φειδίου;
καὶ ποῦ Λυσίππου; ποῦ δὲ καὶ Πολυκλείτου;
λέγει τὰ γλυπτὰ ταῦτα, καὶ γὰρ καὶ λάλα,
κἂν μὴ λάλα κράζουσι ταῖς τέχναις ὅμως.
τίνος γὰρ ἄλλου ταῦτα; τίς πνοὴν γλύφει;
τίς σχῆμα καὶ τίς ἦθος ἢ τίς καὶ λόγον;
τὸν ἔνδον ᾆδε κόσμον, ἐλθὲ πρὸς δόμους·
τίς Βεσελεὴλ δημιουργὸς τῶν δόμων;
ὢ χειρὸς ἔργα, χειρὸς, ἀλλ᾽ ὑπὲρ τέχνην.
ὢ νοῦ πρὸ πάντων, νοῦ νόων ὑπερτέρου,
νοῦ κοσμοποιοῦ, νοῦ βασιλικωτάτου·
ἄφες τὰ τῆς γῆς, καὶ τὰ τῶν ἄνω σκόπει·
ὢ φαιδρὸς ἀὴρ, μικρὸν ἄφωτος χύσις.
ὢ κρᾶσις ὡρῶν, ὢ θεαμάτων βλύσις·
ὕλης, τέχνης, γῆς, ἀέρος, φωτὸς, πόλου.

τίς Σολομὼν ἤσκησε τήνδε τὴν κτίσιν;
τίς τὰς φύσεις συνῆξεν εἰς μίαν θέσιν;
τίς τὰς φύσεις μετῆξε μᾶλλον ἐκ τέχνης;
σοφὴ, σοφὴ φρὴν, ἡ βασίλειος φύσις,
τὸ θαῦμα τῆς γῆς, ὁ στέφων καὶ τὸ στέφος,
πάντων κρατήσας βαρβάρων τυραννίδος,
παθῶν, ἀναγκῶν, γαστρὸς, ὕπνου, φροντίδων
ζώων τε πάντων, ὑδάτων καὶ θηρίων,
καὶ τῶν λόγων νῦν ὡς ὁρῶ καὶ τῶν νόμων,
τὰ πάντα φαίνων ἥλιος καὶ καλλύνων
κάλλιστον αὐτός ἐστι χρῆμα τοῦ βίου.
καὶ πάντα κάλλη συλλέγων ὁ δεσπότης
τὸ κρεῖττον αὐτός ἐστι κάλλος τοῦ τόπου.
κάλλος δὲ μᾶλλον κάλλεσι τοῖς ἐν τόπῳ
λάμπουσι λαμπτὴρ, τερπνοτήτων τερπνότης.
τοῦτον δοκῶ μοι τὸν τόπον καὶ φωσφόρος
πρῶτος βλέπων ἵστησι τὸν χρυσοῦν δίφρον,
ὀκνῶν ἀπελθεῖν, καὶ δραμεῖν πρὸς ἑσπέραν.
οὐδ'[o] ἀντιλάμψῃ δεσπότης, ἡττημένος
ἄπεισιν εὐθὺς, καὶ τὸ κάλλος οὐ φέρει.

Ἄλλοι κατοικείτωσαν εἰς γῆν ὡς μύες·
ὡς ἑρπετῶν χείριστα καὶ τῶν κνωδάλων,
τρώγλας, χαράδρας· οὐ γὰρ οἰκίας λόγῳ[p]
σπήλαια καὶ σήραγγας ἢ μυωξίας,
ἢ σαθρὰ καὶ τρέμοντα παίγνια ξύλων,
ἄθυρμα παίδων, ἔργα καὶ πάσης βίας,
ὄμβρων, πυρὸς, σεισμῶν τε βρασμῶν, πνευμάτων.
ἡμῖν Θεὸς δέδωκε πύργον ἰσχύος,
πύργον βεβαίου, πύργον ἀρρήκτου βίου·
πάντων κρατοῦντα τῶν παθῶν τῶν τοῦ βίου,
καὶ βαρβάρων χειρῶν τε καὶ τεχνασμάτων·
πάντων καλῶν γέμοντα καὶ θεαμάτων·
πύργωμα κάλλους, πύργον ἀφράστου γάνους,

[o] Leg. credo εἰδ'. [p] Fors. λέγω.

ἐκ γῆς, θαλάττης, ἀέρος, φωτὸς, πόλου·
κάλλους δὲ μᾶλλον κρᾶμα τῶν ὡρῶν, ὅρον
γῆς καὶ θαλάττης δεσμός ἐστι, κἂν ὅρος
συνδεῖ κατ' αὐτὸ καὶ διείργει τὰς φύσεις·
ὕψος κολοσσὸς, καὶ τέμνων τὸν ἀέρα·
βιάζεταί πως καὶ πρὸς αἰθέρα φθάσαι.
τὸ δ' εὖρος εὐρὺς, καὶ τὸ μῆκος τί πλέον.
ἀμφοῖν δὲ τούτοιν κάλλος, ἀλλ' ὅσον πλέον.
κοσμεῖ λίθους τὸ σχῆμα τετραγωνία·
ἐξαισία τίς ἁρμογὴ καὶ πρὸς τρίχα
τὸ σχῆμα πύργου, σχῆμα λεπτοῦ κηρίου·
τὸ σχῆμα κάλλιστον ἑξαγωνία,
ἦρται πρὸς ἄστρα, καὶ τὰ κάλλη τοῦ πόλου.
μή μοι παλαιὰν φράζε πυργοποιΐαν·
ἐκεῖνος οὔπω πύργος, ἀλλ' εἶχε τέλος·
μέγιστος οὗτος καὶ πεπύργωται, μόνος
ἕστηκεν αὐτὸς, καὶ φυλάττει τὴν πόλιν.
τέρπει δὲ μᾶλλον πᾶσαν ὄψιν καὶ πόλιν,
τῶν θαυμάτων τίς χῶρος, ἀέρος μέσον
τῶν πνευμάτων τίς[q] κόλπος, οἶκος Αἰόλου·
καὶ κάλλος αὐτὸς, πᾶν δὲ κάλλος ὑψόθεν
κόσμου θεωρῶν, κόσμος ἐστὶν ὀμμάτων.
ἐκ γῆς μὲν ἄνθη, δένδρα, λειμῶνες, χλόαι,
κρῆναι, δρυμῶνες, ὀργάδες καὶ λιβάδες·
ἡ δ' ἄμπελος βρίθουσα καρπῷ μυρίῳ,
πολλὴ μὲν εὐθὺς ἡμερὶς μεθυτρόφος,
πολλὴ δὲ καὶ δενδρῖτις ὡραιοτρόφος·
ἔστι δ' ὅπου καὶ μίξις ὡραιυμένη.
ἡ δενδρὰς ἐστὶν ἄμπελος πυργουμένη·
κλάδοι κατ' αὐτὸ καὶ καλαὶ κληματίδες·
καρποὶ κατ' αὐτὸ, καὶ ῥάγες καὶ τὸ πλέον,
στιβάς τε φύλλων, καὶ στοαί τε καὶ στέγαι.
θέλεις τὸ πύργου πᾶν πρόσωπον μανθάνειν;

[q] τῶν πνεῦτ τίς (sic).

αἶρε πρὸς ὀρθὸν ὄμμα, βλέψον ἐγγύθεν
τὰς ἀρετὰς γῆς· εὖγε τοῦ κεκληκότος
προφητικῶς φύσαντος οὐκ ἦσαν πάλαι

Ty[r]

* * * * * * * *

τῶν μνῆσαι καὶ ἄλαλκε, πικρὰς δ' ἀπόπεμπε μερίμνας
πάντ' ἄμυδις ζῶσον, πάντα τέθνηκε μάκαρ,
ψυχὴ, σῶμα, νόος, βίος, ἥβη καὶ λόγος αἰπὺς,
αἵμασιν ὑμετέροις πάντα πλύνοιτε ῥύπον.
ἀθλοφόρων δυὰς, εἷς λαλέω καὶ ζώω δέρκομαι τ' ὅσσοις
αἵμασι καὶ λιταῖς, πάντ' ἂν ἐφ' ὑμετέραις,
* * νεύσειε Θεὸς ἄλκιμος ἠδ' ἐλεήμων.
κούρη παρθενίης μήτηρ, δεσπότις ὑμετέρη.

Εἰς ἑαυτοῦ πατέρα.

Ἐκ γενετῆς πολύμοχθος ἐς ἔσχατον ἤλασα γῆρας,
ὀτρηρὸς θεράπων, κοιρανίης στέφανος.
αἶαν ἐπῆλθον ὅσην, Ἀσιάτιδα δ' ὕστατα ἔσχον,
πόρρω συγγενέων, τῆλε φίλης ἀλόχου.
ἀλλά με τέκνων ζεῦγος ἐς ἱερὸν ἤγαγεν ἄστυ,
αὖθις καὶ χερσὶ θῆκαν ἀριστολόχοις.
εἴξατ' ἐμῶν τεκέων δυάδι Κλέοβίς τε Βίτων τε,
οἳ μικροὶ σταδίοις ἤγετε γειναμένην.

Μείλιχος ἡδυεπὴς πολιός τε κάρη πολιόφρων
ἧς στέφανος χαρίτων, ἀγλαΐη βιότου.
ἀλλά σε πόρρω πατρίδος ἠδ' ἀλόχου καὶ τέκνων
μοῖρ' ὀλοὴ μερόπων ἔσπασεν ἐς ἀΐδαν.

Χριστὲ ἄναξ, σοφίης σῆς ἴχνια οὐ μαστεύσω
ὀστέα δ' ὡς Ἀσίης νεύμασιν σοῖς ἀνάγοις,
οἷα πρὶν ἐξ Αἰγύπτου σοῦ θεράποντος Ἰωσὴφ,
ὡς δὲ καὶ οὐρανίοις πνεῦμα τεοῖσι θρόνοις.

[r] Id est ζήτει, nam deest folium unum vel plura.

Εἰς τὴν ἀνάληψιν.

Οὐρανόθεν κατέπλατο[s], ἐς οὐρανὸν δ' ἔδραμεν αὖθις
ὡς Θεὸς, ὢν βροτὸς, ἀμφότερ' εἰς Θεὸν ἀμφοτέρως.

Εἰς Ἀριστοτέλην.

Τὸν νοῦν ὁ νοῦς ἔγραψε, τὴν φύσιν φύσις,
Ἀριστοτέλην εἶπον, ὡς τούτων ὅρον.

Εἰς Πλάτωνα.

Ψυχὴν ἀνειπὼν ἀθάνατον ὁ Πλάτων,
ἀφῆκε δόξαν ἀθάνατον ἐν βίῳ.

Πλάτων ὁ κλεινὸς ὁ πλατύνων τὰς φρένας,
ὡς ἐπλάτυνε τῆς ψυχῆς δόγμα μέγα,
εἰν πᾶσαν ἐπλάτυνε τὴν δόξαν χθόνα.

Εἰς τὸν ἅγιον Γρηγόριον τὸν θεολόγον.

Ἔνθεος ἦν ὁ Σύρος, πολυγράμματος ἦν δὲ ὁ Φοῖνιξ,
Καππαδόκης δ' ἄμφω καὶ πλέον ἀμφοτέροις.

Εἰς Σιμπλίκιον τὸν ἐξηγητὴν τῶν δέκα κατηγοριῶν.

Σιμπλίκιος μέγ' ἄεισμα κατηγορίαισι φαάνθη,
ἐκδὸς (sic) κατηγορίας, λῦσεν Ἀριστοτέλους.

Σιμπλίκιος μέγας φῶς φύσιος περὶ κύκλον ἀνῆψε,
νοῦν δέ γ' Ἀριστοτέλους εὗρεν ἀριστοπόνως.

Εἰς τὰς ε φωνὰς καὶ εἰς τὰς ι κατηγορίας.

Μόλις διαδρὰς τῶν σοφιστῶν τὰς δίκας,
σοφοῖς δὲ μᾶλλον προσβαλὼν ὡς ἡμέροις,
φωνῶν ἐπλήσθην καὶ κατηγορημάτων.
οὐκ ἔστιν, ἔστι, πρός τι, ποιὸν, ποῦ, ποτε.
πάσχουσι, δρῶσιν ὡς θέλουσι μυρία.
στρέφουσι πάντα, συγχέουσι τὰς φύσεις.
ὡς ἐξ ἑαυτῶν πλάττουσι τραγελάφους,

[s] Leg. κατέπαλτο.

τὸν οὐρανὸν, γῆν· τὸ ξύλον φασὶ λίθον·
ὕλην ἄμορφον, εἶδος ὕλην οὐκ ἔχον.
κόσμους ἀπείρους, ἰδέας πρὸ τῶν ὅλων.
οἱ τῆς στοᾶς βάλλουσιν Ἀκαδημίαν·
Πύρρωνας οὗτοι, πάντας ὁ Σταγειρίτης·
ἄλλοι δὲ τοῦτον, Φοίνικές τε καὶ Σύροι.
τίς νοῦς τοσαύτας ἐνστάσεις διαδράμοι,
ἔθνη τοσαῦτα, καὶ φάλαγγας δυσμάχους;
γνῶναι τὰ κρυπτὰ τῶν ὅλων ζητῶν βάθη,
καὶ τῶν σαφῶν τις ἔσχε φυρμὸν αὐτίκα·
ἕν γνώσεως φῶς, Χριστέ μου, σύ μοι μόνος·
γνῶσις τελεία, μᾶλλον εἰδέναι μόνον
σὲ δημιουργὸν οὐσιῶν, χρόνων, τόπων,
ἄρρητον ὡς ἄληπτον ἕν τε καὶ τρία.
ἀφεὶς τὰ πάντα τοῦτο καὶ μόνον λέγω.

Εἰς τοὺς φιλοσόφους.

Τρεῖς σοφίης πολυΐστορος ἔκκριτοι ἀστέρες οἷοι
  ἐνθέμενοι βίβλοις ὄλβον ἀπειρέσιον.
Ἀρχύτας ἦρξε, Πλάτων πλάτυνε, τέλος δ' ἐπὶ πᾶσι
  ὡς ἔτυχε κληθεὶς θῆκεν Ἀριστοτέλης.

Εἰς τὰς τῶν Ἰβήρων ἁρπαγάς.

Οὐ Σκυθικὸν πῦρ ἀλλ' Ἰβηρικὴ βία
πρὸς τὴν ἑώαν νῦν κλονεῖ τὴν ἑσπέραν.
γῆς τοῦτο σεισμοὶ, τούς δε φαῦσις ἀστέρων
καινῶν ἐδήλου μάκετις γῆ. τί Σκύθαις
μέμφῃ ματαίως ὁππότ' ἂν τοὺς συμμάχους
τοιαῦτα δρῶντας καὶ φίλους τοὺς σοὺς βλέπεις[t];
φίλους

Εἰς τοὺς Βουλγάρους.

Κατὰ Σκυθῶν πρὶν συμμάχους, νῦν δὲ Σκύθας,
Λήψοισθε Θρᾷκες, συμμάχους πρὸς τοὺς φίλους.
Σκιρτᾶτε καὶ κροτεῖτε φῦλα Βουλγάρων,

[t] Sic.

καὶ σκῆπτρα καὶ τὸ στέμμα καὶ τὴν πορφύραν
κρατεῖτε καὶ φορεῖτε, καὶ φοινικίδας
(ζήτησον στίχον ἕνα)
μεταμφιάσει καὶ ξύλοις τοὺς αὐχένας
μακροῖς συνέξει, καὶ κυφῶσι τοὺς ποδας.
ξανεῖ δὲ πολλαῖς νῶτα καὶ τὴν κοιλίαν.
ἀνθ' ὧν ἀφέντες δημιουργεῖν,
τούτους φορεῖν τολμᾶτε καὶ φρονεῖν μέγα.

Εἰς τὴν νοητὴν οὐσίαν.

Ζητῶν ἀπεῖπον τὴν νοητὴν οὐσίαν.
τίς ἐστιν αὕτη, πῶς δὲ τέμνει τὰς δύο,
ἀσώματον καὶ σῶμα; πῶς δ' ἄμφω μόνη
ἔχουσα τῶν δυοῖν δὲ μηδὲν τυγχάνει;
πῶς πάντα δ' ἐστὶν, ἔστι πάντων δ' οὐδέτι;

Εἰς τὸν κομιτ[πλ]

Ἄνω κομίτης ἔφλεγε τὸν αἰθέρα,
κάτω κομήτης πυρπολεῖ τὴν ἑσπέραν.
ἀστὴρ ἐκεῖνος σύμβολον τοῦ νῦν σκότους·
ἐκεῖνος ἡμεροῦτο φωτὶ φωσφόρου.
ἀλλ' οὗτος ἤφθη τῇ δύσει Νικηφόρου.
τυφὼς ὁ δεινὸς οὗτος ἐξ ἀλαστόρων
τὰ πάντα πιμπρᾷ· ποῦ βρυχήματα κράτους
τοῦ σοῦ, στρατηγὲ, τῆς ἀνικήτου Ῥώμης;
φύσει βασιλεῦ πράγμασι νικηφόρε,
μικρὸν προκύψας τοῦ τάφου, βρύξον λέον,
δίδαξον οἰκεῖν τὰς ἀλώπεκας πέτραις.

Ὅρος τῶν ὄντων.

Ἕκαστον εἶναι τοῖς σοφοῖς τοῦτ' οὐσία·
ποσὸν δὲ, μέτρον κἀριθμὸς, ῥοπὴ, βάρος·
τὸ πρός τι δ' ἔστιν, ἡ πρὸς ἄλλο τι σχέσις·
ποιὸν, χαρακτὴρ, εἶδος, ἡ τοιουτότης·
ποῦ συμβεβηκὸς τοῦ τόπου, ποτὲ χρόνου·

ποιεῖν τὸ τί δρᾶν, εἴτε νοῦν, εἴτ᾽ οὐσίαν·
πάσχειν, δέχεσθαι τῶν παρ᾽ ἄλλων δὲ δράσαις[t]·
κεῖσθαι, κλίσις τί, ἢ θέσις τῶν κειμένων,
ἔχειν ἕκαστον οὗ περ ἐστὶ τὸ πλέον.

Εἰς τὴν γνωστικὴν καὶ πρακτικὴν φιλοσοφίαν.

Θεωρίας τις ἄκρον ἡ μοναρχία,
τί πράξεως ἡ κρᾶσις ἀρετῶν ὅλη.
μέσαι δὲ γνῶσις, δευτέρων ἠθῶν νόμοι,
δυοῖν ἐκείνων ταῦτα βαθμίδες δύο.
μιᾷ δ᾽ ἑκάστῃ καὶ συνάμφω καὶ μόλις.

Εἰς Σιμπλίκιον.

Ῥήτωρ ὁ Σιμπλίκιος ἢ φιλόσοφος;
ἄμφω δοκεῖ μοι, καὶ μὰ τοὺς λόγους ἄκρος.

Εἰς Πορφύριον.

Ὁ Πορφύριος λευκὸν Ἀριστοτέλους
τὸ πορφυροῦν ἔδειξε[u] γνώσεως βάθος.
ὄρνις πτερωτὸν, πῦρ δὲ κοῦφον τὴν φύσιν·
ἀνωφερὴς δὲ νοῦς Ἰαμβλίχου πλέον,
εἰ μὴ τιθεῖ τίς οὐσίας ἀσωμάτους.
τὰ τοῖς σοφοῖς δοκοῦντα τῶν ὄντων γένη,
ἐλεγχέτω τὸν ἄνδρα ὁ μήπω λέγων.
Ἰάμβλιχος ἄκρατος ὢν νοῦς καὶ μόνον.

Ὅς σου τέθηπα τὴν φύσιν Σύρος, Σύρε,
εἴης δὲ πιστὸς, τοῦ Σύρων Χριστὸς γένους.

Σοφῶν τοσαῦται τῶν παλαιῶν αἱρέσεις,
Πυθαγόρειοι, Στωϊκοὶ, Παρμενίδαι,
Κυρηναϊκῶν ἐσμὸς, οἱ τῶν Μεγαρέων,
χορὸς Πλάτωνος, οἵ τε τοῦ περιπάτου·
Ἐπικούρειοι, Κυνικοὶ, Πυρρωνίδαι,
δεκὰς τελεία τῶν δέκα στύλοι γενῶν.

[t] Leg. vid. δράσεις. [u] Prius erat ἔδειξε.

Εἰς τὴν κοίμησιν τῆς Θεοτόκου.

Ζῇς καὶ θανοῦσα, ζῶσα τίκτεις παρθένος.

Εἰς τὰς Μούσας.

Μουσάων ποθέων δύο μούνας, ὧν δέ γε κοσμεῖ
    Καλλιόπη γλῶτταν, Οὐρανίη δὲ φρένας.

Εἰς τὴν ἀποδημίαν[v].

Τρῶες μὲν καὶ Ἀχαιοὶ ἐπ᾽ ἀλλήλοισι θορόντες,
    σώματος οὕνεχ᾽ ἑνὸς εἰς δέκ᾽ ἔπιπτον ἔτη.
οἱ δὲ σοφοὶ καὶ ῥήματος ἢ καὶ γράμματος οἷου,
    μάρναντ᾽ εἰς ἐτέων καὶ χιλίων δεκάδας.
ἀλλά τ᾽ ἐμ᾽ ἐκ βελέων Θεὸς ἔξελεν, ἔκτε κυδοιμοῦ,
    ἐς Τριάδος γνῶσιν, ἐν Τριάδος με φάει.

    Καὶ συλλογισμοὺς καὶ λογισμοὺς καὶ λόγους
χαίρειν μακρὰν φράσας τίς, εἷς Θεὸς γινωσκέτω.
ἄναρχον ἀρχὴ, πνεῦμα, φῶτα τὰ τρία.

Εἰς τὸν ἅγιον Κήρυκον ἱστάμενον μέσον τῶν ἀμπέλων.

Ὡς εὐγενές τι κλῆμα μάρτυς ἀμπέλου,
Χριστοῦ φανεὶς, ἕστηκας ἀμπέλων φύλαξ.

Εἰς τὸν ἅγιον Βλάσιον.

Ὡς μόσχος ἡδὺς θρεμμάτων ἐκκλησίας
βοῶν ἐτάχθης, Βλάσιε, φρουρὸς μέγας.

Εἴς τινα κατελθόντα εἰς Ἑλλάδα καὶ ἀγροικισθέντα.

Οὐ βαρβάρων γῆν, ἀλλ᾽ ἰδὼν τὴν Ἑλλάδα,
ἐβαρβαρώθης καὶ λόγον καὶ τὸν τρόπον.

Εἰς ὄρος τὸν Ὄλυμπον.

Τὸν οὐρανὸν μὲν, ἄγγελοι, βροτοὶ, χθόνα,
ἄμφω δὲ κοινὸν ὡς ὅρον γῆς καὶ πόλεν
Ὄλυμπον ἔσχον, πείθομαι μίξιν βλέπων.

[v] An ἀκαδημίαν?

οὓς καὶ θεοὺς Ὅμηρος ὡς δοκῶ λέγων,
κοινὴν ἀφῆκε πᾶσι τούτων ἑστίαν.
προφητικῶς Ὄλυμπον εἶπε τὸν πόλον.

Εἰς τοὺς βασιλικοὺς στεφάνους τῆς χειρὸς αὐτοκράτωρ Ἰωάννης.

Ἔθραυσεν ἐχθροὺς δεξιὰ σὴ, Χριστέ μου.
Χριστοῦ δὲ τοῦ σοῦ δεξιᾶς ἐστεμμένης,
σοὶ πᾶς προσάπτει τῶν προτροπαίων τὴν χάριν.

Εἰς τὴν εἰκόνα τοῦ Σωτῆρος.

Νοῦς ὢν μέγιστος, σαρκὸς εἴληφας πάχος·
ταύτην γράφω νῦν, τῆς δ' ἄνω φύσιν σέβω,
οὐ χερσὶ γραπτὸν, οὐ περιγραπτὸν τόπῳ.

Εἰς τὴν τιμίαν ζώνην.

Ζώνη κόρης τὰ νεῦρα Ῥωμαίων γένους.

Εἰς τὴν τιμίαν ἐσθῆτα.

Κόρης ἀχράντοιο βασιλίδος ἄφθορον ἔσθος,
ἄφθορος ὅττι τέκε λόγον ἄφθορον, ἄχρονον υἷα.

Εἰς τὸν ἅγιον Ἰωάννην τὸν ῥοδανδήτην [u].

Ἦν λευκὸν, ὡς ἔφησαν [v] Ἕλληνες πάλαι,
ὃ νῦν ἐρυθρὸν Κύπρις ἤνθισε ῥόδον.
ἦν ἦν ῥοδανδοῦς [w], καὶ πάλιν λευκὸν ῥόδον
Ἰωάννης τὸ θαῦμα τῆς οἰκουμένης.
οὐδ' ἦν ἐρυθρὸν φοινίκων ἐξ αἱμάτων,
οὐδ' εἶχεν ὀδμὴν ὀρθοδοξίας μύρον.
ἀλλ' ἦν δυσώδους ἐν μέσῳ ῥιφὲν τόπου,
ὡς ἐκ ῥοδωνιᾶς περ ἐκ τῆς πατρίδος,
αἰσχρῶς βιασθὲν χερσὶ τῆς δούλης Ἄγαρ.
τὸ δ' ἄνθος ἤνθει καὶ βεβορβορωμένον.

[u] Leg. vid. ῥοδανθήτην. [v] Prius erat ἔφησεν. [w] Leg. vid. ῥοδανθεῦς.

ἀλλ' ὦ φυτουργὲ καὶ γραφεῦ τῶν ἀνθέων,
τὸ κάλλος οὐκ ἤνεγκας ἠρημωμένον·
νεύεις δὲ, καὶ σὸς εἶχε λειμὼν τὴν χάριν.
καὶ δὴ μυρίζεις πίστεώς σου τῷ μύρῳ,
καὶ φοινικόχρουν δεικνύεις παρ' ἐλπίδα,
ἐξ αἱμάτων τὸ χρῶμα, πλὴν αὐτορρύτων.
κρεῖττον χρόνου τὸ βάμμα παντὸς καὶ πάθους,
ὀδμὴ ῥέουσα μήδ' ἀπορρέουσά πω.
τοῦτο βλέπων ἥρπασε γῆθεν καὶ πόλος.
ὁ γῆς δὲ μᾶλλον δεσπότης σὺ καὶ πόλου,
παρ' αὐτὸν ἱστὰς τὸν φαεινόν σου θρόνον.

Λεπρὸς[x], τυφλὸς, πέφυκα, νεκρὸς, Χριστέ μου,
ὤμους κεκυφὼς, καρδίαν, νοῦν, καὶ λόγον.
ἔγειρε πάντα, σοὶ μόνῳ ζῶ, σὸς δ' ἔφυν.

ὅλος τ' ἔδυς ἄγριον οἶδμα
Θυμὲ τάλας τί πέπονθας καὶ ὅσα καὶ ὅσον οἶδμα μόγησας[y]
εἰς χρόνον ἐξ ἥβης ἐς βιότοιο δύσιν.
ὤλετο μέν σοι καὶ φάος, ὤλετο καὶ μένος ἐσθλὸν,
ὤλετο δ' ἡλικίη, χεὶρ δὲ λέλοιπε κράτος.
πᾶσαν δ' ἀμφοτέραις ἀρύουσι κακεργέες ἀστοὶ,
γείτονες, ὅς κ' ἐθέλοι κτῆσιν ἐμοῦ βιότου.
πάσης δὲ σκοπός εἰμι κακῆς γλώσσης· θάνον, οἱ δὲ
εἰς ἔτ' ἐμὴν κραδίην ἰοβολοῦσι τάλας·
τῶν πάντων, οὐ τόσσον ὀδύρομαι, ὅσσον ἑνός περ
αἰῶνα τρομέω ἀμφιπαρερχόμενον.
Οὐδέτι μοι περίκειμαι, μαψιδίως δ' ἀλάλημαι,
ἄλγεά τε στοναχὰς, κήδεα μοῦνα φέρων.
ἀμπλακιῶντ' ἐπὶ τοῖς φόρτον πολυειδέα ἄχθη,
οἷς μόνοις πλουτῶ πλοῦτον ἀπειρέσιον.
σήν τε δίκην τρομέω καὶ τάρταρον ἠερόεντα,
καὶ φλόγα τὴν σκοτίην καὶ ὀφέων δαπάνην·

[x] λεπτρὸς (sic).
[y] In marg. εἰς ἑαυτόν. ὤλεσας ἀργαλέοις κήδεσσ' ἀνιστάμενον
οἶδ' ἃ πέπονθας καὶ ὅσα καὶ ὅσον οἶδμα μόγησας.

ἐγγύθι τῆς Σκύλλης[z] χαλεπὴ παρέστηκε Χάρυβδις.
ἀμφότερα τρομέω, καὶ βίον ὡς θάνατον.
ἀλλά μ' ἄναξ ἐλέαιρε, καὶ ἀμφωτέρωθι σάωσον,
ἔνθεν ἀναστήσας εὔδιον εἰς λιμένα.
ἤ με φέρειν φορέοντα δίδαξον, ὅπῃ τέγε βούλει,
ῥήματι πάντα φέρων, πάντα χαλινὰ φέροις.
Θυμὲ τάλαν τί πέπονθας; ἀνέγρεο, μήσε χαλέψῃ
δαίμων ὁ ζωῆς βάσκανος ἡμετέρης·
μή σ' ὑπνώοντι, ζιζανίων σπόρον ἐγκαταμίξῃ,
ἢ κ' ἀρετῶν σκεδάσῃ πλοῦτον ἀπειρέσιον.
θυμὲ τάλαν, τί πέπονθας; ἀνέγρεο, οἶδας ἀπειλὰς
δεσποτικῶν στομάτων, ὀκναλέαις κραδίαις.
θυμὲ τάλαν, τί πέπονθας; ἀνέγρεο, μήπου τι κλείσῃ,
οὐρανίους θαλάμους νυμφίος ἐξαπίνης.
ἔγρεο θυμὲ τάλαν καὶ ἵστασο, καὶ γόνυ κάμπτε,
δάκρυα θερμὰ χέε, μύρεο σὰς ἀνίας.
Ἵλαθι μοι πανίλαε βασιλεῦ, ἥλιε δόξης,
ἵλαθι κοσμοφόρε[a], ἵλαθι οἰκτοπάτορ·
ἤλιτον ἐκ γενετῆς, ὅσσα ψάμμαθός τε κόνις τε.
ἤδ' ἔτι νῦν λαλέω, οὐδὲ πνέω καθαρόν.
ἀλλ' ἵλαθι τεὸν κατ' ἀθέσφατον οἶκτον, ἵλαθι
ἵλαθι, πόλλ' ἀνέτλην, ἄξια δ' οὐδὲ τάδε.
ἀμπλακιῶν φορυτοῦ, καὶ αἴσχεος ἡμετέροιο
τολμήσω μῦθον, οὐδὲ φλόγες σκότιαι,
οὐδὲ μυχοὶ χθόνιοι καὶ δαίμονες ἀγριόθυμοι,
οὐδὲ γ' ὅλη κεῖθι τῆς κακίης βάσανος.
τήν δε λίπω μετέπειτα καὶ ἐσσομένοισι πυθέσθαι
στήλην ἡμετέρης ἔγγραφον ἀφροσύνης.
εἴδεσι ταῦτα χαράσσειν αἰδέομαι τί δὲ μιῆναι
γλῶσσαν ἔοικε πάλιν ῥήμασιν αἰσχροβίοις·
αἰδέομαι γῆν, οὐρανὸν, ἠέρα, ἥλιον, ἄστρα,
νύκτα, φάος, χόρους πάντας, ἅπαντα δόμον.

[z] Cod. σκύλης. [a] Cod. κόσφορε.

ἄλλοις μὲν παράκοιτις, τέκνα, φίλοι, θρόνος αἰπὺς,
τερπωλὴ βιότου, χρυσοφόρος σπατάλη.
ἀνδραπόδων ἐμοὶ[b]*, δόμοι, ἄλσεα, γνῶσις ἀνάκτων,*
οἷς φρονέουσι φίλα καὶ λαλέουσι φίλα.
αὐτὰρ ἔμοι γε Θεὸς μόνος ἥλιος, ὄλβος ἀπείρων,
ἐλπὶς ἀμεμακτέη[c]*, τέρψις ὅλη βιότου.*
ἔγρεο θυμὲ τάλαν, βλεφάρων ὕπνον ἔκτοθι πέμπε,
ὄργανα δοξολόγα κλίνεε κὰν ῥυπον.

Ὡς ἐκ τοῦ Ἁγίου Δημητρίου.

Φεύγετε ῥομφαίαν καὶ δαίμονες, ἄλλα τε φῦλα,
ἣν βάψας φορέω αἵμασι τοῖς ἰδίοις.

Εἰς τὸν λῃστήν.

Ὁ λωποδύπης[d] *πίστιν ἐνδὺς τῷ ξύλῳ,*
τὰς τῆς Ἐδὲμ νῦν ἐξεμόχλευσε πύλας.

Τοῦ δεσπότου τὸ κάλλος, ἥλιε, βλέπων,
φαίνεις τί λοιπὸν, ἢ λέγεις τρέχειν μόνος;
βραχὺν δὲ τοῦτον ἐμπεριγράφειν τόπον
ὁρᾷς δραμόντα δυσμόθεν πρὸς τὴν ἕω.
ὅρα πάλιν τρέχοντα ταύτης πρὸς δύσιν,
καὶ τοῖς ὅπλοις φλέγοντα καὶ πρὸ τῆς μάχης.
καὶ σὲ γνόφος μὲν καὶ θύελλα καὶ νέφος
μικρὸν καλύπτει καὶ διασπᾷ πολλάκις.
οὗτος δὲ παντὸς ἐστὶ κρείττων καὶ πάθους.
τοῖς ὄμμασι σὺ καὶ μόνοις, ὃ καὶ λύχνος·
οὗτος δὲ φαίνει τὸ πλέον ταῖς καρδίαις,
καὶ πᾶν καθαίρει τῆς ἀθυμίας νέφος.
οὗτος διαρκὴς γῆν καταυγάζειν ὅλην,
μᾶλλον δὲ καὶ σὲ καὶ τὸν ἀστέρων κύκλον.
αὐτὸν δὲ μᾶλλον οὐρανοῦ τὸν δεσπότην
ψυχῆς τε κάλλει καὶ τρόποις καθηδύναι.

[b] Leg. *ἐσμοὶ.* [c] Leg. *ἀμαιμακέτη.* [d] Cod. *λωποδυτ̈ς.*

Εἰς τὸν Κῦρὸν Νικηφόρον τὸν βασιλέα.

Ἑξάετες λαοῖο θεόφρονα ἡνία τείνας,
τόσ' ἐπ' ἔτη Σκυθῶν ἄρεα δῆσα μέγαν.
Ἀσσυρίων δ' ἔκλινα πόλεις, καὶ Φοίνικας ἄρδην·
Ταρσὸν ἀμαιμακέτην εἷλον ὑποζύγιον.
νήσους δ' ἐξεκάθηρα, καὶ ἤλασα βάρβαρον αἰχμὴν
εὐμεγέθη κρείττων[c]*, Κύπρον ἀριπρεπέα.*
ἀντολίη τε δύσις τε ἐμὰς ὑπέτρεσαν ἀπειλὰς,
ὀλβοδότης Νεῖλος, καὶ κραναὴ Λιβύη.
πίπτω δ' ἐν βασιλείοις μέσοις, καὶ γυναικὸς
χεῖρας ὑπεξέφυγον, ἆ τάλας ἀδρανίης.
ἦν πόλις, ἦν στρατὸς, ἦν καὶ διπλόον ἔνδοθι τεῖχος.
ἀλλ' ἐτεὸν μερόπων οὐδὲν ἀκιδνότερον.

Εἰς τὸν Ἅγιον Δημήτριον.

Θεσσαλονίκης πρόμος ἵσταται οὗτος ἐν ὅπλοις·
ὃς δ' ἄοπλος νικᾷ, πῶς ὅταν ὅπλα λάβοι;
Οὐχ ὅπλοις κρατέων σοφίης πρόμος ἔπλετο μάρτυς,
ἀμφοτέροις ἀμύνων, θὲς φθόνον εἰς ἀνέμους.

Εἰς τὴν λάρνακα τοῦ ἁγίου Παντελεήμονος.

Πέτρας μέλι πρὶν, νῦν δὲ θαύματα βρύει.

Ἐνόδια.

Σὺ πρώτη φύσεων ὁδὸς, ὦ τριὰς ὀλβιόδωρε·
ἐκ σέθεν οὐράνιοι, χθόνιοι, πλεκτὸν γένος ἀμφοῖν·
ἐκ σέθεν αἰῶνες, χρόνιοι, οὐρανὸς, ἥλιος, ἄστρα·
ἐκ σέθεν ἀθανάτου ῥύσις εἰκόνος ἤρξατο θνητῆς·
σὺ στάσιν ἄστατον ἠδὲ μόνην κεράσας δινήσει,
καὶ ξείνην τορνώσας ἀταρπιτὸν ἀμφιελίσσειν
οὐρανὸν ἐς κύκλον περιηγέα πάντοθε ναστόν.
σοὶ δ' ἀντιτροχάει φαέθων πόλῳ ἄλλά τε νυκτὸς

[c] Leg. Κρήτην.

ὄμματα χρυσεόκυκλα ἀείδρομα ἄτροπα πολλὰ,
ἀπλανέες τε πλάνοι τε παλίντροποι, ὢ μέγα θαῦμα,
ἔκκεντροι, χθαμαλοὶ, ἐπίκυκλοι ἄλλοτε ἄλλοι·
σοὶ μόνη χαρίεσσα παλίνστροφος οἷά τε νύμφη
νυμφίον ἀμφιχυθῆναι, σπεύδει ἥλιον αὖτις,
ἡ δ' ὑποκεισαμένη φάος ἀντίον ἔδραμε, γοργὴ,
πάντα δ' εὐρύθμου σοφίης στάσις ἄστατος, ἦμος ἀπείρων.
σὺ χθαμαλοῖς, καὶ ὕστατα εἰς ἔτος ἡγεμονεύεις
πατράσιν ἡμετέροις. Ἄβραμος ἔτρεχεν εἰς γῆν
ἐκ γῆς ἀθλοφόρος· μέσφ' οὐρανὸν αὐτὸν ἀέρθη.
Ἀβραμίδαι λιπαρὸν πέδον ἔδρακον, ὕδατα Νείλου,
ὀψιγόνοις ἡγήσατο ποτὶ γλυκὺ πατρίδος εἶδαρ.
ἐν πυρὶ καὶ νεφέλῃ, καὶ ὕδατα πικρὰ θαλάσσης
σχίσας ἐπικρατέως· ἀνάτ' ἔβλυσας ἔμπαλιν ὕδωρ
ἐκ στερεᾶς πέτρης, καὶ ἡγεμόνευσεν ἀνύδροις.
σοὶ μάκαρ οὐτιδανός περ ἐὼν κἀγὼ καὶ ἄκυκυς[f]
στέλλομαι ἐς τριάς τε καὶ αἵματα καὶ μύθον[g] αἰνὸν
καὶ χαλεπὴν στομάτων λύσσαν καὶ ἄγρια φῦλα,
καὶ φθόνον ἀρχόντων καὶ ὄμματα μυρία λοξά.
ἐλθὲ τάχος πανίλαος, ἐλθὲ καλεῦντι,
θηρία τρέψαις, ὕδατα πήξαις, ἄγρια φῦλα
κλίνεις ἐξενοπῆς, ληΐνεις[h] πᾶσαν ἀταρπόν.
χείλεα ποντίσεις δόλια, φθόνον ἄγριον, αἰπύν.
πείσαις φορὰ[i] κακόμητιν, ἀηδέας ἀστοὺς,
μισαρέτας, μισοεργοὺς, μισοφθόνους, μισόανδρας.
τῇ με φέρεις σὺν μητρὶ κραταιῇ νεύμασιν ἐσθλοῖς.
ᾗ τε θέλοις καὶ ὡς ἐθέλοις, καὶ εὖ τε καὶ ὅσσον.

Εἰς τὸν ἑαυτοῦ διδάσκαλον Νικηφόρον.

Ἄμφω καλύπτει πράγματα, Νικηφόρε·
λίθος τάφου, σέ· ζῶντας, ἀγνοίας λίθος.

[f] Leg. ἄκικυς. [g] Leg. μόθον. [h] Leg. λειήνας.
[i] Cf. p. 292. l. 16.

Τοῦ ἁγίου Θεοδώρου.

Οὐτιδανὴ χεὶρ νεῦρα δ' ἀπέτμαγε, οἱ δέ μ' ἐς ἆθλα
ἐν σταδίοις καλέουσι νέοι, καὶ ἕστακε πάντα
δῆμος ὅλος φιλοκέρτομος, ἐς δ' ἐμὲν[g] γλώσσας[h]
πικρὰς ἐντανύουσι, καὶ ὄμματα μυρία λοξά.
ἀλλά γ' ἐμὸν κράτος ἵλαθι, μάρτυ, καὶ ἅπτεο χειρὸς
δεξιτερῆς, ἰθύνων ἐπ' ἄεθλα, καὶ ἄλγεα παύων.
οἶσθα μάκαρ κέκμηκα, πανίλαος ἐλθὲ καλεῦντι.

Εἰς τὸν ἅγιον Θεόδωρον τὸν Τύρωνα.

Ἐκ φλογὸς εἰς φῶς ἔδραμες, ἐκ λιμοῦ ποτὶ νέκταρ,
ἐξ εἱρκτῆς θαλάμους ἔδραμες οὐρανίους.
ἐκ βασάνων πικρῶν ποτ' ἀέθλα καὶ ἄφθιτα κάλλη
κοίρανον ἐκπρολιπὼν, μέγαν εἶδες ἄνακτα [Χριστόν].
ὧδ' ἐμὲ καὶ καμάτων καὶ ἀργαλέων μελεδωνῶν,
ὡς καμίνου καὶ εἱρκτῆς καὶ βασάνων λιμοῦ τε
καὶ Φαραὼ κακομήτιδος ἐξερύσειας μάρτυς
δύσμορον ὀψέ περ ὃς καὶ ἐν ὠμῷ γήραϊ θῆκεν.
οἷα παθὼν ἰδίοις ἀγαθοῖς ἐπιμέμφεται οἶσθα.

Εἰς τὴν εὕρεσιν τῆς κεφαλῆς τοῦ Προδρόμου.

Ὡς πρὶν θανοῦσαν, λύχνε, νῦν κεκρυμμένην
πηγὴν ἐλέγχων, οὕτω Χριστὸς θαυμάτων
τὴν σὴν κάραν τέθεικε τὴν πορνοκτόνον.

Εἰς τὴν τιμίαν κεφαλήν.

Σὺ τῶν παθῶν μάχαιρα, θαυμάτων βρύσις,
φωνὴν ἀφῆκας, καὶ κεκομμένη πάλιν.
νῦν θαυμάτων ῥοῦν, καὶ κεκρυμμένη κάρα,
ὄντως σὺ φωνῆς γλῶττα καὶ φέγγος λύχνου.

Λαλεῖς θανὼν σὺ, καὶ κρυβεὶς φαίνῃ μάκαρ.
σὺ φῶς ὄντως καὶ λόγου φωνὴ λύχνος.

[g] Sic. [h] Cod. γλίσσας.

Εἰς εὐνοῦχον ἄρρενα.

Ἐνθάδε τὴν μιαρὰν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἄρρενα καὶ θῆλυν, εἰς τέλος οὐδέτερον.

Εἰς τὸν Χριστὸν ὑπνώττοντα ἐπὶ τοῦ σκάφους.

Εἶ Θεὸς, εἶ βροτὸς, ὑπνοῖς, ἀλλὰ καὶ εὔνασας οἶδμα
ὑπνοῖς, ἔγρετο, ἔγρεο καὶ σάλον εὔνασε πόντου.

Εἰς ἑαυτόν.

Γῆ καὶ θάλασσα καὶ πόλος σὺ Χριστέ μου,
καὶ γῆν πατῶ σοῖς νεύμασι καθημέραν.
καὶ τὴν θάλασσαν σῇ κυβερνήσει πλέω.
τὸ τοῦ νοὸς δὲ λαῖφος ἱστῶ πρὸς πόλον·
ὁρῶ δὲ τὸν πλοῦν πνευμάτων ἐναντίων
γέμοντα, καὶ δέδοικα τὰς καταιγίδας,
καὶ τῶν παρῶν[i] πέφρικα τὰς τρικυμίας,
καὶ τῶν λογισμῶν τὸ κλυδώνιον τρέμω.
πῶς οὖν περάσω καὶ τέμω τὸν ἀέρα,
καὶ τὰς τοσαύτας ἐνστάσεις διαδράσω;
καὶ μὴ τοσοῦτον ναυαγήσω καὶ πέσω
εἰς ἔσχατον γῆς εἰς μυχοὺς τοῦ ταρτάρου;
εἴ μοι γένοιο χερσὶν οἰακοστρόφος·
εἰ πνεύματός σου τὸ πτερὸν τῶν ἱστίων
πλήσας, πρὸς αὐτὸν ἰθύνοις τὸν σὸν θρόνον.

Ἡρωελεγεῖον.

*   *   *   *   *   *   *   *

Ἄτρομος εὐκραδίως ἔδραμον εὖτε θέλον.
ἀλλ' ἕνα τόνδ' αἰνῶς δείδια, μήτι πάθοιμι
πλοῦν ἀΐδηλον, ὅτε στέλλομαι ἐκ βιότου.
οἶδ' ὅτι μακρὸς καὶ ἀθέσφατος ἐς πόλον ἕρπει
δύσπορος ἀπροΐδης, οὐ περαστὸς[k] χθονίοις.

[i] Leg. παθῶν. [k] Leg. περατός.

καὶ τόδε αὖ βρίθει με πάχος χοὸς εὖτε περ ἰός.
ὅς τε βάρος σιδάρῳ ὃ πλάσαν ἀργαλέαι
τηκεδόναι τε μέριμναι κακοῦ βιότου μελεδῶναι.
ῥύπος θ' ἡδυμόρου βρώματος ἀρχεγόνων.

Ἠερίης[g] στρατιῆς ἐπὶ πᾶσι φάσματα δεινὰ,
βάσκανα, ἀγριόθυμα, δυσάντεα, αἴροπα πολλὰ
αἵματος ἡμετέροιο λιλαιομένη κορέσασθαι·
δαίμονες ὁπλοφόροι, σκοτοείδεες, ἀγριόμορφοι.
τίς τάδε γηθήσειεν ἰδών; ἢ πῶς τε περήσει
εὔπτερος, ὠκυπέτης, πυρόεις, ἀκράτητος, ἄμεμφης,
ἄσπιλον, εὐγενέα, φαιδρὰν θεοειδέα μορφὴν
κάλλεος ἀρχετύπου καὶ κήδεος ἡμετέροιο
πάντοθεν ἀστράπτων, ἐὴν θηεύμενος αἴγλην;
δίδω[h] μὴ πάρος ἐν δειναῖς γεννύεσι δράκοντος
βρῶμα τάλας ῥιφῶ, πρὶν ἐς οὐρανὸν εὐρὺν ἀερθῶ,
ἢ λαγόσι γῆς καὶ ἐς τάρταρον ἠερόεντα,
ἔνθα μόθος τε δνόφος καὶ ἀμαιμακέτου πυρὸς ὁρμή.
ἀλλά μ' ἂν ἐλέαιρε καὶ εἰκόνα θείαν ὁδεύοις,
δεξιτερῇ ποτ' Ὄλυμπον ἀνάτροπον ἔνθα θόωκος,
μακραίων, ὁ σός. ἔνθα φεραυγέα κάλλιμα πολλὰ
εἴδεα ἀστραπόμορφα καὶ ἄφθιτα εὔπτερα χρυσᾶ
ὑμνοπόλοι κύδεος εὔδρομοι ἀγγελιῆται,
οἵ σε περισκαίροντες ἑὸν κλείουσιν ἄνακτα.
ἔνθα σύ μοι τριὰς ἀκρότατον φάος ἄχρονον αἰεὶ
αὐγάζει σέλας, ἠδὲ μερίζεις ἥλιος ἄστροις.

Εἰς ἑαυτόν.

Ἄλλοις δυνάσται καὶ βασιλεῖς καὶ θρόνοι,
ἄλλοις γυναῖκες, συγγενεῖς, φίλοι, τέκνα,
ἄλλοις δὲ πλοῦτος, οἰκίαι, συνοικίαι,
ἄλλοις δὲ κάλλος, σεμνότης, ἀρχαὶ, θρόνοι.
ἐμοὶ δὲ Χριστὸς πάντα, καὶ πάντων πλέον.

[g] Nulla in Cod. distinctio. [h] Leg. δείδω.

ζῶ καὶ τέθνηκα, τίς σοφὸς συγκρινέτω.
βίῳ τέθνηκα, ζῶ μόναις ταῖς ἐλπίσιν.

Σόδομα καὶ Γόμορρα, πῦρ ὧδε φλέγει,
κἀκεῖ τὰ φρικτὰ τῆς πυρώσεως μένει.
ποίων δοκεῖν χρὴ τῶν δικαστηρίων[i]
τυχεῖν ἐκεῖθεν, μηδὲ τῆς δίκης μέρος
ἐνταῦθα δόντας καὶ τρυφῶντας τὸν βίον;

ΤΊΝΑΣ ἊΝ ΕἼΠΟΙ ΛΌΓΟΥΣ Ὁ ἘΝ ἉΓΊΟΙΣ ΒΑΣΙΛΕῪΣ ΚΥΡΟΥ͂Σ ΝΙΚΗΦΌΡΟΣ, ἈΠΟΤΕΜΝΟΜΈΝΩΝ ΤΩ͂Ν ΕἸΚΌΝΩΝ ΑΥ̓ΤΟΥ͂.

Ναὶ κεφαλὴν ἀπέκερσαν ἐμὴν, ξίφος ἥρπασαν δ᾽ ἀρχὴν,
ἀνδροφόνῳ παλάμῃ κοίρανος ἐκσκοτίεις.
εἰς τί καὶ εἰκόσιν ὁ φθόνος ἃ πάθος αἶσιν ἀνάσσειν,
κἂν Φάλαριν τίς ἐᾶ, κἂν Ἐχέτου μανίοις.
ἄλλ᾽ ἄγ᾽ ἐμὰς στήλας τίς ἀϊστώσειε μεγαίρων
εὐγενέτιν Κρήτην, Κύπρον ἀριπρεπέα,
Ταρσὸν ἀμαιμακέτην Κιλίκων πτολίεθρα κλιθέντα[k]*,*
τείχεα τ᾽ Ἀντιόχου, ἄστεα τ᾽ Ἀσσυρίων,
Πέρσας, Φοίνικας, Ἄραβας, ἔθνεα μυρία γαίης
πάνθ᾽ ὑπόειξεν ἐμῷ δουρὶ κραδαινομένῳ.
τίς τάδε σιφλώσειεν; ἀνάσσετε[l]*; ἔρρετε τοίχοις.*
αὐτὰρ[m] *ἐγὼ χώραις καὶ κραδίαις γράφομαι.*

ΕἸΣ ἙΑΥΤΌΝ.

Ἦν ὅτ᾽ ἔην ἔρνος περικαλλὲς, εὐσθενὲς, ἁβρὸν,
καὶ σοφίῃ θάλλων καὶ τόλμῃ κραδίης.
ἀλλά με δαίμων ἢ Θεὸς ἢ φθόνος ἄγριος ἐχθρῶν
ἀμφοτέρων ἐλάσας παίγνια δῶκε βίῳ·
Σαμψὼν ἀλλοφύλοις ἐμπαίζοντα, ἀλλ᾽ ἄνα νεκροὺς
οἶδα λόγῳ δείξας καὶ πάρος ἐγγρομένους[n]*.*

[i] Cod. δικαιοτηρίων. [k] Cod. κλι θεν (sic). [l] Leg. ἀράσσετε.
[m] Cod. αὐτ. [n] Cod. ἐγγρομ. (sic).

Εἰς τὴν Πόρνην.

Ὁ Χριστὸς ὧδε τῷ πανεντίμῳ λόγῳ
ψυχὴν μυρίζεις τῆς μυριζούσης πόδας.
σώφρων ἡ πόρνη μύρῳ τὸ μῦρον θεραπεύει.

Εἰς τὴν Χριστοῦ γέννησιν.

[Πάντων πνοὴ σὺ, κἂν ἑκὼν νῦν ἐκπνέῃς.]
Γεννᾷ σελήνη, ἥλιος τοὐναντίον,
ἐκ τῆς σελήνης τίκτεται νῦν φωσφόρος.

Εἰς στρατιώτην ὑπὸ τόξου ἀναιρεθέντα.

Οὐκ ἀγαθὸς μὲν ἐπέφνης, ἀγαθὸν δέ τ' ἐξενάριξεν
ἀγχέμαχον τόνδε μείρακα μακροβόλος.
ὡς ἄδικος τελέθεις Ἄρες, ὅς γ' ἐν ἑαυτῷ κάρτος
κρείττοσιν οὐ παρέχοις, πῶς ἑτέροις δικάσεις;

Ἄλλο.

Ὡς ἀγαθὸν σταδίῃ πλατὺ φάσγανον, ἐν δέ τι τείχει
τόξον ἀεὶ κρατέει, τοῦτ' ἐβόησεν Ἄρης.

Νεοπτόλεμος ἦν νέος χριστοφόρος
κεῖται δὲ βληθεὶς, φεῦ, ἡ τίς, χερσὶ τίνος.
Ὁ Πηλέως ἔκειτο Πάριδος βέλει.
πίστευε, νεκρὸς ἐκ βέλους χριστοφόρος.

Εἰς τὸ πάθος Ῥωμαίων τὸ ἐν τῆι βουλγαρικῆι κλείσει.

Οὐκ ἐφάμην πότ' ἔσεσθαι, οὐδ' ἦν ἥλιος ἀρθῇ,
τόξα Μυσῶν δοράτων κρείττονα Αὐσονίων.
ἔρρετε δένδρα, κάκ' οὔρεα, ἔρρετ' ἀόρνοι πέτραι.
κεμμάσιν ἔνθα λέων πέφρικεν ἀντιάαν.
Εὖθ' ὑπὸ γῆν, φαέθων, χρυσαυγέα δίφρον ἑλίσσεις,
τῇ μεγάλῃ ψυχῇ Καίσαρος εἰπὲ τάδε.
Ἴστρος ἕλε στέφανον Ῥώμης, ὅπλα λάμβανε θᾶττον,
τόξα Μυσῶν δοράτων κρείττονα Αὐσονίων.

Εἰς οἶνον τῆς Πραινεστοῦ.

Ὦ καρπὸς ἡδὺς Πραινεστοῦ πανταινέτου·
ὦ νέκταρ, οὐχ ὃ τοῖς θεοῖς Γαννυμίδης
κιρνᾷ νέος τίς, ὧδε γάννυνται φρένες.
τούτου πιών τις αἷμα φήσει Κυρίου.
τοῦ Κυριώτου ταῦτα μικραὶ φροντίδες.
ὁ Κυριώτης ταῦτα μετρεῖ καὶ σχέδην.

Εἰς τὸν Σταυρόν.

Τοὺς οὐρανοὺς ἥπλωσα, τείνομαι χέρας,
ἥρεισα τὴν γῆν, νῦν προσηλοῦμαι ξύλῳ.
θάλασσαν ἐξέβλυσα, νῦν δὲ πλάσμα μου
πλευρὰς τὰ καινὰ ῥεῖθρα ταῦτα βλυστάνω.
πῦρ δημιουργῶ, τανύω τὸν ἀέρα,
λείπω τὸ θερμὸν, ἐκπνέω. τί σοι πλέον;
γῆν νεκρὸς οἰκῶ, πλὴν ἀνιστῶ, καὶ τάφον
ἑκὼν ὑπελθὼν, ἐξανοίγω σοι πόλον.

Εἰς τὸν Ἀρχιστράτηγον.

Χρυσοῦ μὲν, ὡς πῦρ, ὡς δὲ φῶς ἐξ ἀργύρου,
μορφῶ σε, φῶς ἐμοὶ μὲν, ἐχθροῖς δὲ φλόγα.

Εἰς τὴν Βάπτησιν.

Ὕδωρ θαλασσῶν, τῆς ἀβύσσου πᾶν βάθος
ἐγὼ συνῆξα, χεὶρ ἐμὴ δ' ἐξ αἱμάτων
τοῖς οὐρανοῖς ὕπερθεν ἥπλωσε στέγην.
κλύζω δὲ τὴν γῆν, ἀλλὰ νῦν βάπτω κάραν.
καὶ συμβυθίζω τοῦ δράκοντος τὴν κάραν.
κλίνω δὲ δούλῳ δεσπότης τὸν αὐχένα,
καὶ πλάσμα τοὐμὸν ἐξανυψῶ πρὸς πόλον.

Ἡρῷον εἰς τὸν μάγιστρον Θεόδωρον τὸν Δεκαπότην.

Παρθένον αἰγλήεσσαν ἀπὸ χθονὸς αἰθέρα βᾶσαν,
ἥν τε δίκην καλέουσιν ἀπ' αἰθερίων πάλιν ἠθῶν

ἰθυδίκης Θεόδωρος ἐπὶ χθόνα δεύτερον αὖθις
ἤγαγεν, ἡδμοσύναισι νόμων καὶ ἤθεσι χρηστοῖς.
τῷ δὲ παρεζομένη λαᾶσι δίκαζε τἀληθῆ,
ὡς νύμφη ἀλίαστος, παρθένος ἄφθορος οἷα.
ἀλλ' ὅτε μοῖρ' ὀλοὴ καὶ τόνδε φίλης αἰῶνος
ἐκτέμνειν ἠβούλετο, λῖνα δὲ πάντα λελοίπει·
οὐδ' οὕτως ἀπάνευθεν ἠβούλετο, ἀλλ' ἐνὶ τύμβῳ
τῷδε παρεζομένη μινύρεται, ὦ μέγα θαῦμα,
ἄθρησον καὶ ἀστέρας εἰδώλοιο γυναικὸς
φέγγος ἀμαυροτέρους, καὶ ἐς πόλον ἵκετο πένθος.
ἀλλὰ νόμοι γοάειτε δίκ' ἀπάνευθεν ἐόντες,
τίς δὲ δίκην παράκοιτιν ὁμοῦ καθαράν τε φυλάξοι;

Εἰς τοὺς ἁγίους Ἀποστόλους.

Ὧν καὶ καθ' εἷς ἔσωσεν ἀνθρώπων ἔθνος,
νῦν πάντες οὐ σώσουσι Μιχαὴλ μόνον.

Εἰς τὸ διεμερίσαντο τὰ ἱμάτιά μου.

Πνοὴν μερίζω, χόρτον ἀγρὸν ἐνδύω,
καὶ νῦν μεριστὴς τῶν ἐμῶν ἐνδυμάτων
ἐμὴ μερὶς καὶ κλῆρος, ἀλλ' ἄφες πάτερ.

Εἰς Θεοτόκον φέρουσαν τὸν Χριστόν.

Φέρεις τὸ πᾶν σὺ, κἂν φέρῃ σε παρθένος.
υἱὸς Θεοῦ σὺ, κἂν βροτοῦ φαίνῃ τέκνον.
ἁπανταχοῦ σὺ, κἂν ὧδε βλέπεις μόνον.

Εἰς τὸν Ἰωήλ.

Ἐξίσταται βλέπων τίς ἐξεστηκότα,
θαμβεῖ προφήτην εἰσορῶν τεθηπότα.
οὕτω τὸ θάμβος μέχρι καὶ τῶν χρωμάτων,
δείκνυσι τέχνη τὴν φύσιν μιμουμένη.

Εἰς τὸν Μαλεῖνον.

Φῦσις Μιχαὴλ ὧδε σὴ καὶ σὸς βίος
ἔριν δικαίαν εὗρον, ἄγγελον βίος·
ἡ δ' αὖ φύσις θνητόν σε καὶ βροτὸν λέγει,
συνήγορον λαβοῦσα τούτου τὸν τάφον.

Εἰς τὸν Εὐαγγελισμόν.

Δοκῶ βροτοῦσθαι καὶ πάλιν τὸν δεσπότην
χαίρων ὁ πεμφθεὶς, ἡ κόρη θαμβουμένη.
ὡσὶ τὸ πνεῦμα, πατρὸς ἡ χεὶρ ὑψόθεν,
ἤκουσα πάντως καὶ τὸ χαίροις ἀγγέλου·
εἰ μὴ τὸ πρᾶγμα καὶ πάλιν λαθεῖν ἔδει.

Χαίροις τὰ μνῆστρα, ταῦτα δ' ἔδνα σοι κόρη,
χθὼν, οὐρανὸς, θάλασσα, σύμπασα κτίσις,
βροτοὶ, νόες τὸ πρῶτον ἢ πάντων πλέον,
σὸς παῖς, Θεοῦ παῖς, δεσπότης σὸς νυμφίος.

Ὁ νοῦς τὸ χαῖρε καὶ λόγος σὺν τῷ λόγῳ
ὑπὲρ λόγον σὴν μῆτερ οἰκεῖ γαστέρα.

Δέχου τὸ πῦρ χαίρουσα· χρυσᾶ λυχνία
φλέγει Χερουβὶμ, πλὴν σὲ καὶ τέρψει κόρη.
ὁ μητρὸς[n] ἐκτὸς σὴν προμήτορα πλάσας,
νῦν πατρὸς ἐκτὸς πλάττεται σοὶ παρθένε.

Χαίροις τὸ ῥῆμα καὶ τὸ πρᾶγμά μοι λέγων
σὸς παῖς, Θεοῦ παῖς, δεσπότης, σὸς νυμφίος.

Χαίροις ὁ νοῦς ἔφησας, ὢ τερπνοῦ λόγου
ἄρρητος ἡ σάρκωσις, ὢ καινοῦ τρόπου.
γαστὴρ γυναικὸς οὐρανοῦ νικᾷ κύτος.

[n] Cod. μρσ.

Εἰς τὴν Θεοτόκον καὶ τοὺς ἀγγέλους καὶ τὸν ἅγιον Παῦλον καὶ τοὺς Ἀποστόλους τῷ Χριστῷ προσφέροντας τὸν Χρυσόστομον.

Σκεῦος τὸ χρυσοῦν χρύσεον δῶρον φέρει
σοὶ Χριστὲ, Παῦλος, σὴ δὲ λυχνία, λόγον.
φῶς αὐτολαμπὲς, πυρφλόγοι τὸν πυρπνόον.
τὴν δ' αὖ σαγήνην ἡ θάλασσα τῶν λόγων
οἱ πᾶν σαγηνεύσαντες ἐν λόγοις ἔθνος.

Χρυσῆ σὺ πηγὴ, χρύσεον δέχου στόμα
δι' οὗ τὰ χρυσᾶ ῥεῖθρα Χριστὲ σῶν λόγων
κύκλῳ χεθέντα πᾶσαν ἀρδεύει χθόνα.

Εἰς τὸν τάφον.

Ἅδης νεκροῦται νεκρὸν ἁρπάσας κάτω
σὲ τὸν νεκρῶν κρατοῦντα καὶ ζώντων, Λόγε.
καὶ σοὶ συνεξέπνευσεν ἐκπεπνευκότι
ζωῆς χορηγὲ καὶ πνοῆς αὐτοκράτορ.

Τὸ πνεῦμα τὸν νοῦν τὴν πυρίστομον φλόγα
πῶς σῶμα, πῶς χοῦς, πῶς σὺ χόρτος ὢν γράφεις;
πείθει πόθου φλὸξ καὶ φλογὸς γράφειν τύπους.

Ὁ νοῦς βλέπει νοῦν, πνεῦμα πῦρ ἡ καρδία.
Ἐν ὑλικοῖς ἄϋλος ἐν τόσῳ τόπῳ.

Ὁ γῆς κυκλῶν τε καὶ τὰ τοῦ πόλου πλάτη,
εἰς γῆν ὁ πληρῶν καὶ πόλον, καὶ δεσπότης
πάντων ἀΰλων ὑλικῶν τε κτισμάτων,
περιγραφεὶς ἕστηκε τῆς σαρκὸς τύπῳ.
τί καινὸν εἰ καὶ δοῦλος ὕλῃ τὸν τύπον
δίδωσιν, αὐτὸς πνεῦμα καὶ νοῦς τυγχάνων;

Εἰς ὑέλινον ἀγγελίην.

Ἐξ ὑέλων μὲν φῶς ὁρατοῦ φωσφόρου,
τοῦ δ' αὖ θεουργοῦ φωτὸς ἀντανακλάσεις
κάτω διαῤῥέουσιν οἱ θεῖοι νόες.

Ἔσοπτρα φωτὸς ὕελοι μὲν ἡλίου,
τοῦ δ' ἥλιον κτίσαντος οἱ θεῖοι νόες.

Ἐκ φοινικῆς μορφοῦσθε λευκῆς ὑέλου
τοῦ φωτὸς ὡς ἔσοπτρα, τοῦ πυρὸς φλόγες.

Εἰς τὸν ἀρχιστράτηγον.

Φῶς, πνεῦμα, νοῦς, πῦρ, καὶ φλογῶδες σὺ ξίφος,
ἐμοὶ μὲν οὖν φῶς, πνεῦμα, νοῦς ἐναντίοις,
πῦρ καὶ ξίφος φάνηθι καὶ φλὸξ τὰς φύσεις,
καλῶς μερίζων ὡς στρατηγὸς τῆς μάχης.

Εἰς τὴν Σαμαρῖτιν[o].

Θάλασσαν ἐξέβλυσα, καὶ πόλῳ στέγην
ἐξ ὑδάτων ἥπλωσα· νῦν δ' αἰτῶ πόμα,
ὁ γῆν πιαίνων νάμασι καθημέραν.

Εἰς τὸν νιπτῆρα.

Ψάμμον τίθημι, τῇ θαλάττῃ τειχίον·
χάος χαλινῶ, ῥεῖθρα τείνας ὑδάτων,
πόλον στεγάζω, νάμασι τρέφω χθόνα·
τόξῳ δὲ χρυσῷ ζωννύω τὸν αἰθέρα·
νιπτῆρα νῦν τίθημι καὶ μικρὰν ῥύσιν
κρήνης ἀπαντλῶ, ζώννυμαι δὲ λεντίῳ,
τείνω τὰς χεῖρας, δουλικοὺς πλύνω πόδας.
σὺ δ' ὦ μαθητὰ καὶ φονευτὰ, τοὺς πόδας
ἐξευτρεπίζεις εἰς σφαγὴν τοῦ δεσπότου.

[o] Cod. τὸν σαμαρίτην.

Εἰς τὸν Πρόδρομον, τὸν Θεολόγον, καὶ τὸν Χρυσόστομον.

Τὴν ἐξ ἐρήμου μουσικὴν ἀηδόνα,
χρυσήλατον σάλπιγγα, καὶ βροντῆς γόνον,
Ἰωάννην ἵστησι καὶ νῷ καὶ τύπῳ.

Εἰς τὴν βίβλον τοῦ Θεολόγου.

Ἐνταῦθα γλώττης ἀστραπαὶ τῆς πυρπνόου
ὡς ἐκ δυοῖν ῥέουσι πηγῶν τῶν ἄνω,
φῶς ὀρθοδόξοις, αἱρετισταῖς καὶ φλόγα.

Ἐνταῦθα σάλπιγξ ἡ θεόκτυπος λύρα
βροντῆς λόγων πληροῦσα γῆν τε καὶ πόλον.
Ἐνταῦθα κινεῖ τὴν θεόκτυπον λύραν
Ὀρφεὺς ὁ Χριστοῦ, πᾶν ἀπίτω θηρίον·
πᾶν θρέμμα Χριστοῦ τῶν κρότων ἀκουέτω.

Εἰς τὸν σπόγγον.

Ὕδωρ πέτρας ἀφῆκα, καὶ πόλου μέλι
τῶν ἡδέων ἔπλησα λαὸς σὸν στόμα,
πρὸς τῇ σφαγῇ δὲ καὶ χολὴν διδως σύ μοι.
ὢ σπλάγχνα πικρὰ, πλὴν τὰ χρηστά μου πάθη
πᾶσαν καθαίρει σῶν παθῶν τὴν πικρίαν.

Εἰς τὴν λόγχην.

Πλευρᾶς ἔπλασα πλάσμα σῆς Εὔαν πάλαι,
πλευρὰν δὲ ῥήσσεις τὴν ἐμὴν λόγχῃ σύ μοι·
ὅμως τὸ τραῦμα φάρμακον κεραννύει
τῶν τραυμάτων σου καὶ τὰ ῥεῖθρα βλυστάνει.

Εἰς τὴν χλαμύδα.

Τὸ φῶς στολή μοι, νῦν δὲ χλαμὺς ἐνδύει,
στολὴν ἀπεκδύουσα τὴν σὴν αἰσχύνης.

Εἰς τὸ διεμερίσαντο τὰ ἱμάτιά μου.

Χιτῶνα τείνω τῇ κτίσει τὸν ἀέρα,
πνοὴν μερίζω, νῦν δ' ἐμῶν ἐνδυμάτων
ἐμὸς μεριστὴς κλῆρος, ἀλλ' ἄφες περῶν[p].

Πνοὴν μερίζω, νῦν μερὶς κλῆρος τ' ἐμὸς
κλήρῳ μερισταὶ τῶν ἐμῶν ἐνδυμάτων.

Ἀφθαρσίας ἔνδυμα τὸ πρὶν ἐνδύω,
νῦν σάρκα τὴν σὴν αὐτὸς ἐνδεδυμένον
ἀπεκδύεις ἄνθρωπε, πλὴν ἀλλὰ στέγω,
μᾶλλον δὲ τὴν θέωσιν αὐτὸς ἐνδύω.

Εἰς τὰ σπάργανα.

Εἰ καὶ ταπεινὸν ἐνδέδυμαί σοι ῥάκος,
τὸ λαμπρὸν ἐξύφηνα τοῦ πόλου πλάτος.

Εἰς τὰ δεσμά.

Δεσμεῖτε χεῖρας αἷς παθῶν ἐγὼ λύσας,
ὑμᾶς τέθεικα γῆθεν αἰθεροδρόμους.

Ἐπιτύμβια ἐπὶ Κωνσταντίνῳ.

Πλήρης κατέστην καὶ χρόνων τε καὶ πόνων
περιτρέχων γῆν, τὴν ὑγρὰν περιπλέων.
λίθον δὲ τὸν τρίπηχυν οὐ παρατρέχω·
κεῖμαι δὲ μακρῶν ἐκ κόπων πεπαυμένος,
δίκην φρικώδη προσμένων τὴν ἐσχάτην,
σὸς ὧδε, Σῶτερ, οἰκέτης Κωνσταντῖνος.

Πολλὴν ἐπῆλθον τῆς κάτω χθονὸς, Λόγε,
δόξης ἀνῆλθον δεξιᾷ σῇ πρὸς μέγα,
ἀλλ' οὐ παρῆλθον τὸν τρίπηχυν νῦν λίθον.
ἀλλ' οὓς ἐφεῦρον ἐν βίῳ φῶς τοῦ βίου,

[p] Fors. πάτερ ut p. 298. l. 19.

τὸ φῶς τεκοῦσαν, φῶς σὲ τοῦ φωτὸς γόνε,
εὕροιμι κακεῖ φῶς τε καὶ λύσιν πόνων.

Κόλπους ἐπῆλθον καὶ τόπους γῆς μυρίους,
θρόνους διῆλθον, ἀρχικὰς ἐξουσίας,
ἀλλ' οὐ παρῆλθον τὸν τρίπηχυν νῦν λίθον.
κεῖμαι δὲ νεκρὸς τῶν κόπων πεπαυμένος,
δίκην φρικώδη προσμένων τὴν ἐσχάτην.
ἀλλ' ἡ τὰ ῥευστὰ δοῦσα τοῦ κάτω βίου,
αὐτὰ τὰ λαμπρὰ τῶν ἄνω μοι, παρθένε,
καὶ νῦν παράσχοις, σὺν μαθητῇ παρθένῳ.

Ἀλλ' ἡ βίου μοι προστάτης ῥευστοῦ, κόρη,
καὶ νῦν με φρικτοῦ δεξιὸν παραστάτην
δείξοις δικαστοῦ, σὺν μαθητῇ παρθένῳ.

Εἰς τὰ ἅγια τῶν ἁγίων.

Τὴν ἱερὰν νῦν ἱερὸν νύμφην δέχου
πύλην ἄδυτον τῶν ἀδύτων ἡ πύλη.
Σκίρτησον ἡ γῆ λοιπὸν ἀστέρων οὐδὲν
ἔμψυχος ἄλλος οὐρανὸς κάτω νέος
πυρσεύεται μὲν ἄστρασι ταῖς λαμπάσι.
δίσκου δὲ ταύτης γαστρὸς ἥλιος νέος
ἐξαυγάσει σοι δημιουργὸς ἡλίου.

Κόρη πρόεισι νυμφικῶς ἐστεμμένη.
παστὰς δὲ ταύτῃ ναός ἐστι Κυρίου,
ἢ μᾶλλον εἰπεῖν, ναὸς αὕτη Κυρίου.
Αὐτὴ δ' ἑαυτῆς παστάς ἐστι καὶ κόρη.

Εἰς τὴν μεταμόρφωσιν.

Σκίρτησον αἰθὴρ ἄστρα καὶ σὺ φωσφόρε,
εἰ καὶ τὸ φῶς ἔκρυψε λάμψας δεσπότης.
ἀλλ' οὗτός ἐστιν ὅστις ὑμᾶς καινίσει.
ὁ καὶ τὸ πρὶν δοὺς ἄστρα, σοὶ φῶς φωσφόρῳ.

Εἰς τὴν δεξιὰν τοῦ βασιλέως Νικηφόρου.

Ἡ δεξιὰ χεὶρ δεσπότου Νικηφόρου
Πάκτωλός ἐστιν καὶ ῥέει τὸ χρυσίον.

Εἰς τὸν ναὸν τοῦ Κύρου.

Κῦρος μέν σ' ἐδόμησε, θῆκε δὲ Κῦρος ἁπάντων
δεσπότις ἡμετέρη τῶν ἐπὶ γῆς θαλάμων.
ἔνθεν ἐπορνυμένη Βυζαντίδος ἀμφιπολεύει
κύκλον ὅλον χαρίτων νάμασι πληθομένη.

Παρθένε [n] παμβασίλεια ταὸς δόμος οὐρανός ἐστι,
ἔμπης τῶν χθονίων πρῶτα φέρων θαλάμων.
οὗτος ἐκεῖσ' ἀνάγει, σὺ δὲ θῆκας παρθένε [o] γῆθεν
ἄντυγος οὐρανίης εὐερίην κλίμακα.

Εἰς τὸν ἅγιον Βασίλειον.

Τὸ τοῦ πόθου πῦρ ὁ στύλος πυρὸς δέχου,
κἂν χόρτος ὢν τὸ ῥόδον ὑλικὸν φέρω.

Εἰς τὸν Σταυρόν.

Τὸν σταυρὸν ὑψοῖς ᾧ συνυψώθης ἄνω,
καὶ τοῦτον αἴρεις ᾧ συνήρθης εἰς πόλον.
καὶ ταῦτα τῷ γράφοντι τῶν κακῶν δίδου
ἀποτρόπαιον τὸ τρόπαιον Κυρίου.

Εἰς τὸν Νικήφορον τὸν διδάσκαλον.

Ἢ κλῆσιν ἔσχεν Ἑρμῆς τὴν Νικηφόρου,
ἢ Νικηφόρος ἔσχεν Ἑρμοῦ τὴν φύσιν (in marg.)

Ὤ μοι ἐγὼ μέλεος τί γυναικὸς κύντερον ἄλλο
ἢ μᾶλλον τί τύχης; τίνα με χρὴν αἰτιάσασθαι;
ἀμφοτέρας χρὴ μισεῖν, ἀμφότεραι θήλειαι.
ἀλλὰ τύχης μὲν ἐμῆς, Θεὲ ἄμβροτε μὴ μεταδοίης
ἀνδράσιν ἐχθροῖς, εἰς ἐμὲ πόλλ' ἐξυβρίσασι,
πλείονα δυστυχίης τὴν εὐτυχίην παρεχούσης.

[n] Cod. παρθένων. [o] Cod. παρθένων.

τὴν δὲ σύνευνον ταύτην καὶ ἀγαθὴν παράκοιτιν,
ἐχθροῖς καὶ τέκνοις ἐχθρῶν παρέχοις ὁμόκοιτιν.

Εἰς τὸν ναόν.

Κἂν μικρὸς ὧδε νῦν περιγράφει τύπος,
τύπους προφητῶν, μαρτύρων, διδασκάλων,
ἀλλ' ἡ φέρουσα τὴν ἀλήθειαν μόνη
πίστις Μιχαὴλ μέχρι καὶ πόλου φθάνει.

Εἰς τὸν ναὸν τὸν Στουδίου.

Ἄϋλα φῶτα πυρφλόγα πρὸ τῆς πύλης
καὶ λύχνον ἐκλάμποντα φωτὸς Κυρίου,
καὶ τοῦ πόλου μίμημα τὸν δόμον βλέπω.
τὸ πνεῦμα ῥυπῶν, στῆθι τῆς πύλης ἄπο,
τὸν νοῦν δὲ λαμπρὸς, φαιδρὸς ὢν τὴν καρδίαν,
ἴθι πρόβαινε, φωτὶ φῶς προσλαμβάνων,
πρὸς ναὸν ἁγνὸν, ναὸς ἐμψυχωμένος.

Εἰς ἓν τὰ κάλλη τῶν ὅλων ἠθροισμένα
ἄστρων, θαλάσσης, ἀέρος, γῆς, καὶ πόλου
ὧδε βλέπων ἄνθρωπε, μὴ κάμοις βλέπων.

Εἰ πάντα κάλλη γῆς ὁμοῦ τε καὶ πόλου
καὶ πᾶσαν ὕλην τιμίαν ποθεῖς βλέπειν.
ἀφεὶς τὰ πολλὰ γῆς περιτρέχειν πλάτη,
λιπὼν τὰ μακρὰν οὐρανοῦ ζητεῖν βάθη,
ἐνταῦθα πάντα συνδραμόντα μοι σκόπει,
τὸ τῶν ὅλων μίμημα, τὸν μικρὸν δόμον.
ἀὴρ μὲν οὗτος, ἀλλ' ὁ αἰθὴρ ἐν φάει.
λίθων δὲ τούτων ἡ διαυγὴς λειότης
ἄλλη δοκεῖ θάλασσα κυμάτων ἄνευ
ὡς ἐν γαλήνῃ νῦν κατεστορεσμένη.
αὐγὴ δὲ τούτων κιόνων καὶ λευκότης
καὶ συχνὸν ἀστράπτουσα χροιᾶς τερπνότης,
ὡς οἷα ῥεῖθρον ἐκτακείσης χιόνος
λαμπρὸν, διειδὲς, ἀψοφητί πως ῥέον,

ὡς πρὸς θάλασσαν ἄλλην[p] ἐμβάλλει κάτω
τοῖς ἐξαποστίλβουσιν ἐν πάτῳ λίθοις.
αὐτὴν δὲ τὴν γῆν καὶ τὰ τῆς γῆς, εἰ θέλοις,
αὐτῶν σκόπει μοι χρωμάτων τὸ ποικίλον,
καὶ τῶν γραφῶν τὸ κάλλος· ἄλλον ἐνθάδε
λειμῶνα γραπτὸν, ἐκ τέχνης εἰργασμένον,
ἄνθη κομῶντα μὴ παραραθοῦντα[q] χρόνῳ.
εἰ δὲ πρὸς αὐτοὺς οὐρανοῦ τοὺς ἀστέρας,
ἢ σφαῖραν αὐτὴν τοῦ πόλου ποθεῖς βλέπειν,
τεῖνον σὸν ὄμμα· τμῆμα δὲ σφαίρας βλέπε
ἄνωθεν χρυσοῦν, φῶς ἀπαστράπτων μέγα
οὗ συνδραμοῦσα πᾶσα χροιὰ ψηφίδων,
ὡς ἓν τελοῦσα σῶμα συντεθειμένον,
ἔναστρον ἢ πάμφωτον ἠωρημένον,
ὡς εἴπερ ἦν τὸ σύμπαν οὐρανοῦ πλάτος
πάγχρους τίς ἀστὴρ εἷς διαυγάζων μόνος.
κόσμον μὲν οὕτω πᾶν καλὸν τέρπου βλέπων.
εἰδ᾽ ἐξεκαύθης εἰς ἔρωτα τὸν ἄνω,
καὶ τὸν νοητὸν κόσμον ἐν τύπῳ βλέπε.
Χριστὸς μὲν οὗτος, οὗ θρόνος λαμπρὸς πόλος.
αὕτη δὲ μήτηρ, ἧς μόνης ἁγνῆς τόκος.
οὗτος δὲ λύχνος, οὗ λόγος φῶς, καὶ τρόπος.
οὗτοι δὲ φλὸξ, νοῦς, πνεῦμα, φῶς, πῦρ καὶ ξίφος.
ἐῶ Σεραφὶμ τάγματα μυριομμάτων,
ἐῶ Χερουβὶμ ἅρμα τῶν φλογοτρόφων
καὶ τἄλλα φρικτὰ, καὶ λέγειν τε καὶ βλέπειν.
ἀλλ᾽ εἴπερ ἦν τι κρᾶμα τῶν ἐναντίων
κόσμου τε παντὸς τοῦ κάτω καὶ τῶν ἄνω,
ἔνεστι τοῦτο καὶ καλείσθω νῦν μόνον,
βροτοῖς πρεπόντως τῶν καλῶν τὸ χωρίον.
γλῶσσαι πυρὸς δηλοῦσι καὶ βροντῆς κρότος
ὡς πᾶσαν ἐμπλήσουσι τὴν οἰκουμένην
τῶν βροντοφώνων οἱ πυρίστομοι λόγων.

---

p ἄλλ᾽ Cod. q Sic.

Νῦν μὲν συνῆλθε τῷ λέοντι φωσφόρος,
καὶ μουσικὸν τέττιγες ᾄδουσι μέλος.
νῦν καὶ πατὴρ ἔσπευσε συνδραμεῖν τέκνον,
καὶ μουσικοὺς ἔθαλψεν εἰς ᾠδὰς νέους.
νῦν καὶ γεωργὸς τὰς ἀπαρχὰς τῶν πόνων
χαίρων Θεῷ δίδωσι, καὶ κροτεῖ μέγα.
νῦν δὲ σύ μοι φέροντι ταύτας τῶν λόγων
μικρὰς ἀπαρχὰς καὶ δέχου καὶ προσδέχου.
ἄλλῳ μέν ἐστι λαμπρὸν ἐν βίῳ γένος,
ἄλλῳ[q] δὲ σεμνὸς καὶ μετάρσιος τρόπος,
ἄλλῳ δὲ δεινὸς εἰς ὁμιλίαν λόγος,
ἄλλῳ δὲ δώροις μὴ μολύνων τὴν χέρα,
ὡς σεμνὸν αὐχεῖ καὶ μέγα φρονεῖ μόνος.
δοκεῖ δὲ τέμνειν τοῖς πτεροῖς τὸν ἀέρα,
ὡς Περσέα πλάττουσιν Ἑλλήνων λόγοι.
ἐν σοὶ δὲ πάντα συνδραμόντα προσβλέπων
τὰ τῶν καλῶν κάλλιστα, γῆς ἄστρον μέγα
τείνει κρατεῖν σε, καὶ τίνος φήσω πλέον;
βασίλειον μὲν καὶ γένος σοι καὶ τρόπος,
ἀλλ' οὐδὲν ἧττον καὶ φρόνησις καὶ λόγος
πάντων κατάρχων, καὶ βασιλὶς καρδία
κρατοῦσα παθῶν, ἡδονῶν ψυχοφθόρων.
ποῖος δὲ κρείττων χρημάτων Ἀριστείδης;
ποῖος Περικλῆς εἰς ἀδωρίαν μέγας;
ποῖος δὲ Ῥαδάμανθυς ἢ Διὸς Μίνως,
ὃς ἐν κρίσει τὰ πρῶτα σου λάβοι γέρα;
τίς σωφρονῶν τοσοῦτον Ἀναξαγόρας;
τούτους μὲν οὖν ἐῶμεν, εἰ δοκεῖ, κάτω,
ὡς οὐχὶ πᾶσιν ἓν καθ' ἓν νικᾷς μόνον,
πᾶσι δὲ πάντα καὶ πλέον πάντων δέ γε
τῷ καὶ νομίζειν μηδὲν εἶναί τι πλέον.
οὗτοι μὲν οὖν κάτωθεν ὡς πόλου κόνις.
ποῖον δὲ τῷ σῷ πρῶτον οὐκ ἔχω λέγειν;

[q] Cod. ἄλλο.

οὕτω με κύκλος σῶν καλῶν περιτρέχων
ἀρχὴν ἐφευρεῖν οὐ δίδωσιν ἢ τέλος.
ἓν φθέγξομαι δὲ λοιπὸν ἀρκοῦν καὶ μόνον·
ὡς φωσφόρον μὲν οἱ σοφῶν φασὶ λόγοι,
ἰσοδρόμους ζεύξαντα πώλους ἐν πόλῳ
τὸ φῶς κυκλεύειν ἐξ ὁμοζύγου τάχους·
ἐν σοὶ δὲ λαμπτὴρ ἀρετῶν ἅρμα βλέπω,
ὡς ἡλίου τέθριππον ἄλλο πυρφόρον,
ἰσοζύγως ἀστράπτον, ἢ μᾶλλον στέφος
ἐκλάμπον ὥσπερ ἰσοτίμοις μαργάροις.
ἔδει γὰρ οὕτω τὸν τάλαντα τῆς δίκης
ἁπανταχοῦ τιμῶντα, κἂν τούτοις μόνον
ἶσον φανῆναι τοῖς ἑαυτοῦ καὶ μόνοις.

Εἰς τὴν Ὑποπαντήν.

Εἶδες γέρον βρέφος με δεῦρο πρὸς πόλον
ἰδεῖν τὸν αὐτὸν δημιουργὸν τοῦ χρόνου.

Εἰς Χριστοῦ γέννησιν.

Ὁ μητρὸς ἐκτὸς πατρὸς ἀχρόνου τέκνον,
νῦν πατρὸς ἐκτὸς μητρὸς ἐγχρόνου βρέφος.

Εἰς Σοφοκλέα.

Δηλῶν τὰ πικρὰ τῷ γλυκεῖ τῶν ῥημάτων
ἀψίνθιον μέλιτι κιρνᾷ Σοφόκλεις.

Εἰς τὸν Χριστὸν, τὴν Θεοτόκον, τὸν Πρόδρομον καὶ τοὺς Ἀγγέλους.

Τὸ φῶς ὁ λύχνος οἱ νόες καὶ λυχνία
ψυχὴν διαυγάζοντες καὶ βίον Πέτρου.

Εἰς τὴν κοίμησιν τῆς Θεοτόκου.

Καὶ τὴν πνοὴν ἔγραψεν οἶμαι ζωγράφος,
εἰ μὴ θανοῦσαν τὴν κόρην τυποῦν ἔδει.

Ταφῇ παρῆν σοι καὶ γραφῇ παρῆν πάλιν
υἱὸς κόρη σὸς, ὡς δοκῶ τῷ ζωγράφῳ.

Ὁ πνεῦμα σὸν καὶ χεῖρα νῦν τοῦ ζωγράφου
κρατῶν ἔγραψε σὴν μετάστασιν κόρη.

Καὶ πῶς τέθνηκας ἣν σε καὶ γεγραμμένην
δρᾷν δοκοῦμεν τὴν ἀείζωον κόρην
οὐκ ἀκριβῶς θνήσκουσαν, ἀλλ' ὑπνουμένην.

. . θυμιατ. .

Μὴ πῦρ ἀνάψῃς, χρυσὸς, ἄργυρος, λίθοι
φλέγουσιν αὐγαῖς χωρὶς ἀνθράκων μύρα.

Ὀφθαλμὸν ὕλῃ, τὸν λογισμὸν τῇ τέχνῃ,
τέρπου δὲ τὴν αἴσθησιν ὀδμῇ τῶν μύρων.

Αἰσθήσεων τρεῖς, ἔργον ἓν, τέρπει πλέον,
τριὰς σὲ πρώτην τῶν μύρων ἡ θυσία.

Τὸ μικρὸν ἔργον τῶν ὅλων μέγας τύπος
αἰθὴρ, ὁ χρυσὸς, ἄργυρος, φῶς, οἱ λίθοι.
ἄστρων χορεῖαι, τοὺς ὕπερθεν καὶ πόλου
τύποι παρεμφαίνουσιν, ἄνθρακες, μύρα,
ἣν πᾶς λατρεύει θυσίαν τῷ δεσπότῃ.

Πεντὰς, τετρὰς, τριάς τε καὶ δυὰς στίχων.
τριὰς μὲν ἡμῖν, ἡ δυὰς δ' Ἐπικούρῳ,
Πλάτωνι πεντὰς, ἡ τετρὰς Πυθαγόρᾳ.
σοὶ δ' ἂν γένοιτο πάντα τῷ φίλῳ φίλα.
τριάς δε πρῶτα κἀνθάδε σχοίη γέρα.

Εἰς τὴν Θεοτόκον.

Οὐδὲν ψυχῆς βέλτερον οὐρανὸς ἔλλαχε τῆς σῆς·
οὐδὲν μορφῆς παρθένου φέρτερον ἔδρακεν ἡ γῆ.
τοὔνεκ' ἐγὼ μὲν ἀμεμφέα σώματος εἰκόνα μορφῶ,

πνευματόεσσαν δ' οὐρανόθεν χάριν εἰ σὺ κεράσεις,
ὄλβιος οὗτος ὁ χῶρος ὃς αἰθέρος ἔλλαχε πρῶτα
καὶ χθονὸς ἔνδον ἔχειν γέρα· τοῖσδ' ἐπίνευσον κόρη.

Εἰς τὸν ἅγιον Στέφανον.

Στέφανος ὄντως ὁ στέφανος μαρτύρων·
ἀρχὴ παθῶν γὰρ, καὶ νόμων ἔφυ τέλος.
ὡς καὶ φονευταῖς συμπαθὴς ἐκ καρδίας.

Ὡς λαμπρὸν ὁ Στέφανος ἔπλεξε στέφος
λίθοις φονευτῶν, μαργάροις τῶν δακρύων,
ἅπερ κατέρρει τοὺς φονευτὰς δακρύων.
στέφανος οὗτος ἀρετῶν καὶ μαρτύρων.

Οἱ φωτὸς ἐχθροὶ τοῦ σκότους οἱ πρωτοστάται
τὸν μάργαρον σὲ χωννύουσι τοῖς λίθοις.
αὐτὸς δὲ τούτους προσλαβὼν εἰς πᾶν μέλος,
βάψας ἐρυθροὺς ἄνθεσι τῶν αἱμάτων,
ὅλος στέφανος ἐκ λίθων καὶ μαργάρων
λαμπρὸς προήχθης αὐτοῦ καὶ τῶν μαρτύρων.

Ἐξ οὐρανοῦ χθὲς δεσπότης πρὸς τὴν χθόνα,
ἐκ γῆς ὁ δοῦλος σήμερον πρὸς αἰθέρα,
ἄνεισι φαιδρός· ἀλλ' ἐκεῖ τὸν δεσπότην
τῷ πατρὶ συγκάθεδρον ἔνσαρκον βλέπων,
πληροῖ πρὸ πάντων τὸ χρέος τῶν αἱμάτων·

Λόγοις ὁ βάλλων καρδίας χριστοκτόνων,
βάλλῃ λίθοις τὸ σῶμα μαρτυροκτόνων·
εὐχαῖς ἀμείβῃ τὰς βολὰς καὶ δακρύοις·
ἀνθ' ὧν στέφῃ, Στέφανε, τρίπλοκον στέφος,
τῶν δογμάτων, εὐχῶν τε καὶ παθημάτων.

Εἰς τὸν ἅγιον Στέφανον.

Ὁ συμφονευτὴς τοῖς φονευταῖς Στεφάνου,
νῦν συγχορευτὴς καὶ σύναθλος Στεφάνου,
ὤφθη διώκων τοὺς φονευτὰς Στεφάνου.

Ὁ πρὶν διώκτης καὶ φονευτὴς Στεφάνου,
καὶ νῦν διώκων τὴν σφαγὴν τοῦ Στεφάνου,
ζήλῳ δὲ ταύτης γῆς περιτρέχων κύκλα,
εἴληφε ταύτην καὶ Στεφάνου τὸ στέφος.

Εἰς Φιλόστρατον Λήμνιον.

Τέττιξ, ἀηδὼν, καὶ χελιδὼν καὶ κύκνος
μικρὰ βροτοὺς τέρπουσιν ᾠδαῖς ἐμφύτοις.
ὡς πρὶν τὰ καινὰ καὶ τετεχνιτευμένα,
ῥήτωρ, μέλη σὰ τοῦ μέλιτος ἡδίω.

Οὐ πῦρ πόλου πέπτωκεν εἰς Λῆμνον πάλαι,
ἐξ οὐρανοῦ ῥήτωρ δὲ πῦρ ἧκε πνέων.
ἴσασι, ῥήτορ, οἱ λόγους σοὺς εἰδότες.

Εἰς τὸν Λιβάνιον.

Ἡ κλῆσις ἁρμόζουσα, Λιβάνιέ, σοι,
ὥσπερ λιβὰς μέλιτος ἐκ λόγων ῥέει.

Εἰς τὴν κοίμησιν τῆς Θεοτόκου ἐκ τοῦ Χριστοῦ.

Γῆν ἐκ πόλου μοι, γῆς ἐγώ σοι πόλον
ἰδοὺ βατὸν τίθημι, μῆτερ παρθένε.

Ἐπιτύμβια εἰς τὸν πατριάρχην κυρὸν Πολύευκτον.

Τίνος σὺ τύμβε; τῶν καλῶν πάντως τάφος.
τὸ σῶμα πῶς δὲ φροῦδον; ἐξ ἀσιτίας.

Ὁ τύμβος οὗτος, σοὶ Πολύευκτε, κλίμαξ,
ἐφ᾽ ἧς σὺ βαίνων ἔδραμες πρὸς αἰθέρα.

Ὁ νοῦν θεωθεὶς, ὡς ὄρει κρυβεὶς λίθῳ
δόξαν βροτῶν πέφευγεν, οὐ τέθνηκέ σοι.

Τίνος σὺ τύμβε; μὴ μάθοις, ἐπεὶ φράσεις
ᾧ ποῖος, οἷον· ᾧ πόσος, κρύπτει πόσον.

Ὁ πᾶσι φευκτὸς, ἐκτός ἐστι νῦν τάφος,
τὸν εὐκτικὸν κλήσει τε καὶ τρόποις φέρων.

Θνητὸς δυσὶ σὺ τῷ τόκῳ καὶ τῷ τάφῳ,
δυσὶ δ' ἄϋλος τῷ βίῳ καὶ τῷ πόνῳ.

Τίνος σὺ τύμβε; νυκτὶ τοῦτό σοι φράσω·
μήπως ἀκούσας, ἥλιος λάμψῃ κάτω.

Τὰ χρηστὰ πάντα τύμβος εἷς ἔνδον φέρει·
εἷς εἶχε καὶ γὰρ πάντα πάντων ἐν βίῳ.

Οὐ νεκρὸς εἶ σὺ, πλὴν κρυβεὶς λίθῳ μόνον,
Θεοῦ πρόσωπον οὐκ ὀπίσθια βλέπεις.

Ἐν νυκτὶ κλέψας, μὴ μάτην αὔχει Χάρων,
οὐκ ἦν σὸς οὗτος οὐδὲ μοίρας τῆς κάτω.

Ἐν νυκτὶ θνήσκεις, ἥλιον δὲ λανθάνεις,
ὅπως συνεὶς τὸ πρᾶγμα μὴ λάμψῃ κάτω.

Ὁ φωτὸς υἱὸς προφθάσας τὴν ἡμέραν,
τὸν Χριστὸν εὗρεν, ἥλιον, φῶς, ἡμέραν.

Ὁ τύμβος εἰς τί; μαρτυρεῖ τεθνηκότι,
ὡς οὐδὲν ἔσχε, πλὴν τρίπηχυν νῦν λίθον.

Μάτην ὁ τύμβος, τῇ φύσει μάρτυς μόνον
τοῦ μὴ δοκῆσαι φάσμα τὸν τεθνηκότα.

Ὁ πρὶν στυγητὸς, νῦν πεφιλμένος τάφος.
κἂν γὰρ στυγητὸς, ἀλλὰ τοῦ πεφιλμένου.

Σοὶ ζῶντι, σῶμα τύμβος, ἐν τύμβῳ δέ γε
θεὶς τοῦτο, νῦν ζῇς, τὸν τάφον κρύψας τάφῳ.

Διπλοῦς ὁ τύμβος, εἷς φρενὸς, νόος, λόγων,
καλῶν τε πάντων, εἷς δὲ τοῦ τεθνηκότος.

Κἂν οὐδὲν ἔσχες, πλὴν ἐφωράθης Χάρων
κακοῦργος ὢν κλὼψ, νυκτὶ τοῦτον ἁρπάσας.

Μὴ συνθανεῖν σοι πάντας αἴτιος τάφος,
τρίπηχυς ὢν γὰρ πάντας οὐ κρύπτει[q] σθένει.

ΤΕΤΡΑΣΤΙΧΑ.

Γηρῶν κατ' ἄμφω καὶ φρένας καὶ τὰς τρίχας,
ὡς καινὸν εἶχες πνεῦμα καὶ τὴν καρδίαν.

Τὴν ζῶσαν ὡς ἄϋλον ὕλῃ μὴ γράφε.

ΕἸΣ ἙΑΥΤΌΝ.

Ἵλαθι παντοκράτορ, ἤλιτ' οὐκ ἐθέλων.
ἵλαθι ἀμπλακίης, στήλας ἐστήσατο μοιχὸς
νυμφίε σῆς νύμφης ἔνδον ἐμῆς κραδίης.
πολλὰ παναίσχεα δέργματα μὰψ ἀλάλητο
ψυχῆς ἐν λαγόσιν, ἔξυπνος ὡς γενόμαν.
ἡ σὰρξ ὕβριος ἤρχετο, ἔγρετο κύματα γαστρὸς,
πνεύματα λάβρον ἔπνει, πρὸς βυθὸν ἐτραπόμαν.
ἦλθες ἄναξ, παλάμῃ δὲ δίδως ἑτεραλκέα νίκην·
καὶ νοῒ νοῦν παρέχεις, τῇ ψυχῇ δὲ λόγον.

[q] Leg. κρύπτειν.

ἴλαθι τῶν δὲ, καὶ εὔπτερον ἐς πόλον οἷά τε νῆα,
λαίφεσι πεπαυμένοις[r], *πνεῦμα σὸν οἰακίσοις.*

ΕἸΣ ΤᾺΣ ἈΘΉΝΑΣ ΚΑῚ ΤῊΝ ΚΩΝΣΤΑΝΤΙΝΟΎΠΟΛΙΝ.

Ἐρεχθέως ἀνῆκεν ἡ γῆ τὴν πόλιν,
ἀλλ᾽ οὐρανὸς καθῆκε Ῥώμην τὴν νέαν.
κρεῖττον τὸ κάλλος γῆς, ὅσον λαμπρὸς πόλος.

ΕἸΣ ΤΟῪΣ ΣΟΦΟῪΣ ΤΩ͂Ν ἈΘΗΝΩ͂Ν.

Οἱ τῶν Ἀθηνῶν εὐστομεῖτε τοὺς πάλαι
σοφοὺς, Πλάτωνας, Σωκράτας, Ξενοκράτας,
Ἐπικούρους, Πύρρωνας, Ἀριστοτέλας,
οὐκ ἔστιν ὑμῖν, πλὴν Ὑμηττὸς καὶ μέλι,
θῆκαί[s] *τε νεκρῶν, τῶν σοφῶν τὰ πνεύματα.*
πολεῖ παρ᾽ ἡμῖν πίστις, οἱ σοφοὶ λόγοι.

Ἡ τῶν Ἀθηνῶν προσκύνει τὴν δεσπότιν.
αὐχεῖς ἐλαίαν, σκῆπτρα δ᾽ αὕτη τοῦ κράτους.
μέλι σὺ, τοὺς μέλιτος ἡδίους λόγους,
αὕτη, σοφιστῶν καὶ σοφῶν· σὺ τὸν Ξέρξην.
αὕτη τέθεικε δοῦλα πάντα τῷ κράτει,
καὶ σὲ πρὸ πάντων, προσκύνει τὴν δεσπότιν.

ΕἸΣ ΤῊΝ ΝΊΚΑΙΑΝ.

Ἡ τῶν Ἀθηνῶν ταῖς ἐλαίαις μὴ φρόνει.
Νίκαια ταύταις, καὶ πρὸ τούτων ἀμπέλοις,
λειμῶσι, κήποις, δένδρεσι, ζώοις, λίμνῃ,
νικῶσα πᾶσι, καὶ κέκληται προσφόρως.

Τρεῖς εἰς ἐλαίαν εἰσὶν εὐφυεῖς πόλεις,
Νίκαια καὶ Πραινεστὸς, ἥτ᾽ Ἐρεχθέως.

s Leg. πεπταμένοις. r Cod. θῆκε (αι written above).

Εἰς τὸ θέρος.

Ὥρια πάντα τέθηλε καὶ ἄμπελος ἐς τόκον ὀργᾷ,
  σμήνεα δ᾽ ἄρτι μέλι χλωρὸν ὑπεκπρορρέει.
οὔθατα δὲ σφαραγεῦσι, καὶ ἄρνες ἀεὶ σκαίροντες,
  αἶγες δ᾽ εὐγλαγέες, λήϊα κεκλημένα·
ὄρνεα δ᾽ εὐφωνοῦσι, καὶ ἄλσεα εὔσκια, δένδρα·
  ὕδασι δὲ κρυεροῖς ἀμφιγέγηθε πέτρα.
τέττιξ σύντονον ἠχεῖ[s], ναυτίλος ἥδιον ᾄδει,
  ᾆσον Ἰωάννη, καὶ σύ τι κἂν μογέῃς.

Εἰς τὴν τοῦ βίου φροντίδα.

Οὔρεα μακρὰ καὶ ὕδατα, δένδρεα, ἄνθεα, πέτραι,
  λόχμαι καὶ λιβάδες, ὄρνεα καὶ θῆρες,
αἶγες ἀεὶ δρομάδες, πολυθρέμμονες αὔλιες ἀγρῶν,
  ἀρτιτόκοι μόσχοι, ἄρνες εὔτραφέες,
ὥρια πάντα, σμήνεα, εὔσκιοι, εὔπνοοι κεῖται.
  χαίρετ᾽ Ἰωάννης ἐς βιότοιο πόνους.

Εἰς τὸν βίον.

Ψυχὴ τί φεύγεις τοὺς καθημέραν πόνους;
οὐκ ἔστιν εὑρεῖν τῆς ἀλυπίας τέχνην.
τὴν γῆν ἀκάνθας, τὸν βίον δὲ φροντίδας
φέρειν ὁ πλάστης ἐξεθέσπισε, φόρε.

Εἰς ἑαυτόν.

Λυσσᾷ μὲν ἡ σὰρξ, ἀλλὰ τὸ πνεῦμα φλέγει,
κακεῖθεν ἔνθεν ἕλκομαι, Χριστὲ, κρίνον.
τῷ κρείττονι πλέον τι χείρονος δίδου.

Οἴμοι, καθ᾽ ἡμῶν καὶ πάλιν τὰ πυρφόρα
πέμπει φλογίζων καρδιῶν ὁ τοξότης
βέλη τὰ πικρὰ καὶ μέλιτος ἡδίω,
βέλη τὰ δεινὰ καὶ ποθεινά· τῇ νόσῳ

[s] Cod. ἔχει.

ἕστηκα βληθεὶς, ἐξερύσαι δ' οὐ θέλω,
ὠθῶ καθ' αὑτοῦ τὸ ξίφος, θανεῖν θέλω.
ποθῶ φλέγεσθαι, τραυματίζεσθαι[t] πλέον.
ὢ δεινὰ δεινῶν, ποῖον ὕδωρ τὴν φλόγα
σβέσει τὸ πικρόν; ποῖον ἑλκύσει βέλος;
ὕδωρ τὸ σὸν ζῶν, Χριστέ μου, καὶ σὸς λόγος.
χρῆσαι, λυτρωτὰ, συντόμως τοῖς φαρμάκοις.

Ἄγγελοι αἰγλήεντες, μυρία πλήθεα φώτων,
δεύτερα τῆς Τριάδος, κλαύσετ' Ἰωάννην.
ἀθλοφόρων δῆμος, θεοειδέα τάγματα πάντα,
κάλλεα πάντα τ' ἄνω κλαύσετ' Ἰωάννην.
κόσμος ἅπας περιηγὴς, οὐρανὸς, ἥλιος, ἄστρα,
μήνη πλησιφαὴς, κλαύσετ' Ἰωάννην.
ἔθνεα μυρία γαίης, εἴδεα μυρία κόσμου,
δένδρεα καὶ πηγαὶ, κλαύσετ' Ἰωάννην.
αἰθὴρ, ἀὴρ, πῦρ, χθονὸς, ὕδατος ἄπλετα μέτρα,
ὄρνεα καὶ κτήνη, κλαύσετ' Ἰωάννην.
ἀργύρεοι ποταμοὶ, πέτραι καὶ οὔρεα μακρὰ
ὕδατος ἀντὶ δάκρυ ῥεύσατ' Ἰωάννῃ.
κῆπος ἔην θαλέθων, πολυήρατος ἄνθεσι πᾶσιν,
καρποῖς ἀρετάων ἔβριθον οὐκ ὀλίγοις.
ἦν λόγος αὐτόχυτος, σοφίης στόμα, ἦν νόος αἰπὺς,
ἦν τόλμα κραδίης, ἦν σθένος ἐκ μελέων.
ἦν δρόμος ἐν ποσὶ κούφοις ἅλμασιν αἰθέρα βαίνων,
ἦν φάος ὀξυτάτοις ὄμμασι δερκόμενον.
ἦν πόνος ἡδὺς ἐπ' ἄεθλα θῆρας, γλώσιας, εὐχάς·
καὶ χάρις ἐκ στομάτων ἔρρεε τῇ Τριάδι.
δάκρυον ἦν θόος, ἐς νύκτας καὶ ἤματα πάντα,
ἀγρὸν[u] ἐφ' ἁγνοτάτης μητροθέοιο πέδον.
ὕστακ' ἐς πολέμους προφέρων, μέγα γὰρ θεὸν εὖτε
πολλοῖς ζηλωτὸς ἀθρόον ἐξεφάνην.
ἔνθεν γλῶσσα κακὴ καὶ ἀτάσθαλος ἤρξατο δαίμων,
καὶ φθόνος οὐκ ὀλίγος ἔρρεον ἐκ στομάτων·

[t] Cod. τραυματίζεσθε.

[u] ἁγνὸν vid. leg.

ὡς μόνος ἦν σοφίης θάλος, ἦν δ' ἄρεος πρόμος οἷος
  εὐκραδίως μίξας, νοῦν σοφὸν ἠνορέῃ·
ἡ δ' ἀρετὴ, κακίη, γένος ἄθλιον, ὦ γένος αἰσχρὸν,
  οὐτιδανὸν, φθονερὸν, ἀντίπαλον σοφίης.
ἦ μαλακὸν σοφὸν ἔμμεναι, ἦ ἄρρενα γνώσιος ἐχθρὸν,
  ὧδε κέλουσι νέοι νομοθέται κακίης.
ἔνθεν μωρὸς ἐγὼ καὶ πάτρια θέσμια λύων,
  ἐν μωροῖς μωρὸς, μαινομένοισιν ἄφρων,
πολλὰ μόγησα, καὶ αἷμα κένωσα, λύχνον τ' ἐπὶ τοῖσι
  ἡμετέρου προμαχῶν πλῆθος[v] ἐν πολέμοις.
θαύματος ἀντὶ γέλωτα δ' ὄφλων καὶ ὀνείδεα αἴνων,
  σκώμματα[w] εὐλογίης, ὕβριας ἀντὶ κλέους.

Σχέδια εἰς ἀναδενδράδα τυφωθεῖσαν ἀρτί.

Ἐκ δρυὸς οἶνος, τοὔνεκα ἐκ Διὸς ἔδραμε μηρῶν
  Διόνυσος, μύθος φθέγξατο πρεσβυτέρων.

Ὡς ἐκ τοῦ Λαζάρου.

Ἐδάκρυσας, βροτὸς γάρ· ἤγειρας δέμας·
Θεὸς γὰρ αὐτὸς καὶ πνοὴ πάντων ἔφυς.

Ἄπνους, σεσηπὼς, κειρίαις ἐσφιγμένος,
ἔμπνους, νεάζων, ἅλλεται φωνῇ μόνῃ.

Ἄπνῳ, λυθέντι, κειρίαις ἐσφιγμένῳ,
λόγῳ, πνοὴν ῥῶσιν τὲ καὶ λύσιν δίδου,
ὄντως Λόγος σὺ, καὶ τὸ πᾶν κτίζων λόγῳ.

Εἰς ῥάβδον σιδηράν.

Ῥάβδος προφήτης ἦν ἔφη σιδηρέα.

Εἰς Ἰάμβλιχον.

Οὐδὲν τὸ πεῖσαν ὡς δοκῶ τοὺς πρὶν λέγειν
ὡς οὐρανοῦ κάτεισι τῶν ψυχῶν γένος.

[v] πλήθεος leg. [w] Cod. σκόμματα.

ἀλλ᾽ ἡ πτερωτὸς καὶ τρέχων τὸν αἰθέρα
καὶ πᾶν πτερῶν ὕψωμα νοῦς Ἰαμβλίχου.

Τρεῖς οἶδα πρώτους τῆς ἐπιστήμης στύλους
Ἀριστοτέλην, Πλάτωνα, Πυθαγόραν.

Εἰς τὴν Θεοτόκον.

Τὴν παρθένον καὶ σῶμα καὶ τὴν καρδίαν
ὁ σῶμα καὶ νοῦν τοῖς πόνοις ἐφθαρμένος
Ἰωάννης ἔγραψεν ἄμφω ῥωννύειν.
χρυσὸς, λίθοι γῆς· ἡ δὲ τέχνη σοῦ Λόγε.

Τῆς γῆς τὰ τερπνὰ καὶ τὰ λαμπρὰ τῶν ἄνω
εἰς ἓν κεράσας δημιουργὲ τῶν ὅλων·
σὺ γὰρ συνήργεις ταῦτα τῷ σῷ Νικήτᾳ,
ἄλλον πόλον τέθεικας ἐν γῇ τὸν δόμον,
ἐξ ἀστέρων φῶς, ἐκ δὲ τῆς γῆς οἱ λίθοι.

Τί καὶ τίνων εἴληφας εἰς κάλλος δόμεν[x];
ἐκ γῆς μὲν ὕλην, ἐκ δὲ τοῦ πόλου τέχνην.

Τίνος σε χεὶρ ἤγειρε, καὶ δῶρον τίνι;
πόθος Νικήτᾳ τῷ κρατοῦντι τῶν ὅλων,

Οὐ χεὶρ λιθουργὸς οὐδὲ χεῖρες ζωγράφου·
σὴ, δημιουργὲ, χεὶρ καὶ σὴ τέχνη
εἰς ἓν τὰ κάλλη τῶν ὅλων κεραννύει.
λίθων μὲν αὐγὴ, φῶς δοκεῖται ἀστέρων,
ἁψὶς δὲ χρυσῆ, πῦρ τὸ λαμπρὸν αἰθέρος,
ψηφὶς δὲ τερπνὴ καὶ βαφὴ τῶν χρωμάτων,
λειμών τις ἄλλος γραπτὸς ἄνθεσι βρύων·
ἡ τῶν τύπων τέχνη δὲ νικᾷ τὴν φύσιν,
καὶ σχῆμα καὶ κίνημα καὶ βλέμμα γράφει,
καὶ πνεῦμα μικροῦ, τοῦτο δ᾽ οὐκ ἔχει μόνον

[x] An δόμων?

ὄρη μεθιστᾷ πίστις, ἔργοις νῦν βλέπω.
σοῦ γὰρ λάτρου Νικήτα φίλτρον καὶ πόθος,
καὶ τοὺς τρόπους ἔδειξεν ὡς ζῶντας βλέπειν,
καὶ τοὺς λίθους ἔπεισεν ἀστραπὰς φέρειν,
καὶ πάντα σῆς μετέσχεν αἴγλης Χριστέ μου.

Εἰς τὸν ἅγιον Θεόδωρον.

Ῥῆτορ, στρατηγὲ, μάρτυς, ἀνδρείας τύπε,
ἄγαλμα κάλλους, ἀρετῶν κρᾶμα ξένον,
σοὶ πάντα τἀμὰ, σοὶ πνοὴν, σοὶ τοὺς λόγους,
σοὶ χειρὸς ἄρσιν, σοὶ πορείαν, σοὶ στάσιν,
Ἰωάννης δίδωσι, σοὶ τὰ πάντα μοι,
φύλαξ, ὁδηγὸς, σύμμαχος γένοιό μοι.

Περὶ γυναικός.

Θάλασσα καὶ πῦρ καὶ γυνὴ κακὸν τρίτον.
ἐγὼ δέ φημι πρῶτον ἡ κακὴ κακῶν.
τῆς δ' αὖ καλλῆς κάλλιστον οὐδὲν ἐν βίῳ.

Εἶχον τὸν ἀγρὸν ἡδονῶν[t] τι χωρίον
ἰδεῖν, φαγεῖν, πιεῖν τε, τερφθῆναι μέλει.
ἀλλ' ὡς τὸν ἁγνὸν ναὸν εἶδον παρθένου,
μέσον πατεῖν ἔδοξα τὸν λαμπρὸν πόλον.

Εἰς σαρκικὸν ἔρωτα.

Εἰ πυρὶ πῦρ ἐπάγεις βρόμιον, μάλα πολλὸν ἀνάπτεις·
 εἰ δὲ πόθῳ σαρκὸς, θεῖον ἀποσβεννύεις.

Ἔρως ὁ δεινὸς ἐκτυφλοῖ μου τὰς φρένας·
ἀλλ' αἰθριάζει σὸς πόθος με, Χριστέ μου.

Εἴς τινα δικαστὴν μονῳδία ὡς ἐκ τῆς γυναικός.

Καὶ ποῖον ἄρτι θρῆνον, ποῖον ἐλλίξω μέλος
σοῦ μοι θανέντος ἄνερ, ἄνερ, καὶ λόγον;

[t] Cod. ἡδωνῶν.

καὶ τὸν τρόπον μάλιστα καὶ νόμων φύλαξ,
σπαράσσομαι τὰ σπλάγχνα καὶ τὴν καρδίαν,
ὡς ἓν μερισθὲν ζῶον εἰς μέρη δύο,
ψυχαρρωγῶ νῦν καὶ τελευταῖα πνέω.
καὶ πᾶς μὲν ἄλλος φίλτατος τῇ συζύγῳ
ζωὴ, πνοὴ, φῶς, πάντα τυγχάνων μόνος,
ἓν πνεῦμα δισσοῖς σώμασι κεκραμμένον.
σὺ δ' ὦ ποθεινὸν ὄμμα καὶ ξένοις φίλον,
ἐχθροῖς σεβαστὸς καὶ θανὼν θρηνητέος,
τῶν ἀρετῶν ἦν σίμβλον ἡ σὴ καρδία,
ἠθῶν ἴυγγας [t] εἶχες, εἷλκες καὶ λίθους·
τῶν χειλέων ἔβλυζες Ἀττικὸν μέλι·
ἔρρεις χάριτας πάντοθεν καὶ μυρίας,
ἔμψυχος εἰκὼν ζῶσι παγκάλου βίου·
νόμος τίς ἔμπνους καὶ νόμοις συνήγορος,
δίκης πάρεδρος, τῶν πενήτων προστάτις,
χήραις δικάζων, ὀρφανοῖς κρίσιν νέμων,
πτωχοὺς συνεστὼς τοῖς δυνάσταις.
νῦν χήρα πάντα καὶ νόμος τε καὶ δίκη.
ἡ δ' ἀρετή που πενθικῶς ἐσταλμένη,
στυγνὴ κάθηται καὶ κατηφείας ὅλη,
τὸν κόσμον αὐτῆς ὡς ἔγνω κεκαρμένον,
τὸν πυρσὸν αὐτῆς εἶδεν ὡς ἐσβεσμένον.
σοφοῖς τὰ φῦλα, τῶν δικαστῶν οἱ θρόνοι,
ξυναυλίαν κλαίουσιν, ἠρεμωμένοι.
ἐγὼ σύνευνε, λήσομαι πῶς σου ποτε;
πολλαὶ μὲν ἠλλάξαντο καὶ πρὶν τὴν φύσιν,
Πρόκνη, Νιόβη, χελιδὼν, ἀλκυόνη,
ἀλλ' εἰσέτι θρηνοῦσι, καὶ πέρας πάθους
οὐδέν τι ταύταις. συνθανεῖν ἐγὼ θέλω,
καὶ συγκατελθεῖν, συμπλακῆναί σοι μόνον
ψυχῇ τί γυμνῇ. τόν δε τὸν τρόπον μόνον
εὕροιμι πάντως τὴν παράκλησιν πόνων.

[t] Cod. ηὔγγας.

Εἰς τὸν τῆς τραπέζης.

Τῆς γῆς ὁ κόσμος ὁ γλυκὺς Κωνσταντῖνος
ἐνταῦθα κεῖται, φεῦ πόσος; φρένες πόσαι;

Πτωχῶν τράπεζα, δεσποτῶν ἡ φαιδρότης,
κόσμος δυναστῶν, τάξεων εὐρυθμία,
τῶν ἀρετῶν πρόγραμμα, τῶν καλῶν ὅρος,
Ῥώμης τὸ κάλλος, δόξα τῶν πατρικίων,
τὴν κοσμικὴν σύγχυσιν ὡς ἔγνω πάλιν,
ἀπῆλθεν εὐθὺς ὁ γλυκὺς Κωνσταντῖνος,
ἰδεῖν τὰ πικρὰ μὴ θελήσας τοῦ βίου.

Εἰς τὴν ἀποδημίαν.

Ἐν μηνὶ Δύστρῳ τὴν Βύζαντος ἑστίαν
λιπὼν, ἐλαύνω πρὸς πόλιν Σηλυβρίας.
στιλβουμένην γὰρ ἄρτι ῥομφαίαν βλέπων,
καὶ συγγενῆ μάχαιραν ἀγριουμένην,
καὶ θηριῶσαν τὴν ἑώαν πρὸς φόνους.
καὶ θροῦς κατ' ἄστυ καὶ στεναγμοὺς καὶ δάκρυ,
ὡς εἰς γαλήνην ἔβλεπον τὴν ἑσπέραν.
οὔπω διῆλθον τῆς ἀθύρου τὸ στόμα
τὸν Ἀμαλὴκ ὁρῶ πλῆθος ἠγριωμένον,
ὁδοστατοῦντας τοὺς ὁδίτας ἐκτόπως,
τροφῶν, πενήτων, ἁρπαγὴν καὶ χρημάτων,
ἀνδρῶν, γυναικῶν κωκυτοὺς καὶ παιδίων,
καὶ παρθένους σεμνάς τε καὶ μελαμφόρους,
γυμνουμένας φεῦ, χεῖρας αἰρούσας ἄνω,
καὶ τὴν ὁρῶσαν μαρτυρουμένας δίκην.
τοιαῦτά μοι τὰ πρῶτα τῆς ἐκδημίας.
ἤδη δὲ πόρρω τὸν δρόμον ποιουμένου,
πρᾶγμα στεναγμῶν ἄξιον καὶ δακρύων,
ὁρῶ ῥαγείσας τὰς ἀρούρας εἰς βάθος,
αὐχμῷ χανούσας καὶ διαστάσας ὅλας.
τοὺς ἀστάχυς ὠχροὺς δὲ καὶ κεκλιμένους
νεκροὺς καθώς περ, πάμπαν ἐκλελοιπότας·

οἱ δ' ἀγρόται κύπτοντες εἰς γῆν ἐν πόνοις,
ὄλωλεν ἐλπὶς, οἴχεται καὶ πᾶς πόνος,
ἔφασκον· οὐδὲν χεῖρες ἐκτετριμμέναι
ἤνυσαν αὗται· πάντα ῥεῖ, πάντα φλέγει·
καλὰς μὲν ἡμῖν ἠφίη τὰς ἐλπίδας·
δέδωκεν ἀρχήν· ἀλλὰ τὴν βλάστην ὅρα
ἀνομβρίας μάστιξιν ἐκτετμημένην.
τίς καὶ παρόντα τῶν χρεῶν λύσει βάρη;
τίς καὶ γυναῖκας εἰς τὸ μέλλον καὶ τέκνα
θρέψει, φόρους ἄλλους τε καὶ λειτουργίας
τῇ Καίσαρος δῷ, καὶ τὸ πᾶν ἐξαρκέσει;
οὐκ ἔστιν οὐδείς. ἀλλὰ χαίνεις εἰς δέον,
ἡ γῆ δέχοιο τοῖσδε σὺν τοῖς λῃΐοις,
ἡμᾶς ἑκόντας. οὐ μενοῦμεν εἰς χρόνον
λιμῷ τακῆναι, σύντομον ποθῶ τέλος.
οὕτω γεμισθεὶς θλίψεων καὶ δακρύων
τὸν ἀγρὸν εἶχον εἰς ὑπόμνησιν πόνων,
καὶ τερπνὸν οὐδὲν τὴν ἐμὴν θέλγον φρένα.
οὐκ ἄνθος εἶδον, ἀλλ' ἀκάνθας καὶ βέλη·
οὐ μουσικὸν τέττιγες ᾖδον μοι μέλος,
τραυλὸν χελιδὼν, ξουθὸν ἀηδονίδες,
τὰ πάντα πένθος εἶχεν. οὐκ ἀργυρόχρους
ἔρρει διειδὴς, κοῦφος, ἥδιστος μάλα [t]
κρήνη ψυχρά τις λουτρὸν ἡδὺ καὶ πόμα,
καὶ γλαφυρόν τι συγκελαρρύζουσά μοι
εἰς ὕπνον ἡδὺν ἦγε προσκεκλιμένον.
οὐ μαλθακή τις καὶ χλοηφόρος πόα
στρωμνὴν παρεῖχεν εὔθετον, πόνου δίχα.
τῆς γῆς ὁ κόσμος ἦν ὅλος κεκαρμένος,
ὡς βόστρυχόν τις ἐξέκοψε τὴν χλόην,
δένδρων τὰ φύλλα, πᾶν τὸ κάλλος ἀνθέων.
μεσημβρινὸν γὰρ σφοδρὸν ἥλιος βλέπων,
καὶ ταῖς ἀνίκμοις καὶ κατεξηραμέναις

[t] Aliquid hic excidit.

βάλλων ἀρούραις ἐξετέφρου καὶ λίθους.
ὁ δ' οὐρανὸς πάγχαλκος ἠνθρακωμένος,
σπινθηρακώδεις ὡς κεραυνίους φλόγας
τὰ συχνὰ πέμπων ἀστέρων ἐξάλματα,
οὐ Σκυθικὸν πῦρ ἔφλεγε τὴν ἑσπέραν,
ἀλλ' οὐρανοῦ πῦρ καὶ πρόνοια καὶ δίκη,
κατεμπιπρῶσα τὴν μιανθεῖσαν χθόνα·
φθόνοις ἀθέσμοις, ἁρπαγαῖς, λῃστηρίοις
ὅρκοις ματαίοις, μίξεσι ξενοτρόποις,
ἀρρητοποιΐαις τε καὶ πλοκαῖς δόλων.
οὕτω σκυθρωπὸς καὶ κατεστυγνασμένος
ὅλην διελθὼν τῆς σελήνης εἰκάδα,
ὑποστρέφειν ἔγνωκα πρὸς τὴν πατρίδα,
φόρτον κομίζων συμφορῶν τε καὶ πόνων.
τείνας δὲ τὸν νοῦν καὶ συνεσκευασμένος
ἤκουσα καινά. πῦρ μεσημβρίας μέσης
καινῶς ἀναφθὲν ἐν μέσῃ τῇ πατρίδι,
μικρὰν ἐλέγξαι καὶ Σοδόμων τὴν δίκην.
οὐ γὰρ καλύβας ἀγροτῶν οὐδ' ἀγρότας,
οὐ δένδρα καὶ χοῦν οὐδὲ καὶ κώμας δύο
τὸ δεινὸν ἐξέτρωξεν. ὢ φρίκη δίκης.
ἀλλ' ἄνδρας εὖ τραφέντας εὖ πεφυκότας,
παῖδας, βρέφη, γυναῖκας, ὡραίους νέους,
οἴκους μεγίστους, παγκάλους, πλουτοφόρους,
κάλλιστα ναῶν καὶ μέγιστα χωρία,
σκεύη τε χρυσᾶ, χρυσόπαστον πορφύραν,
ἤλεκτρον ἄρδην, ὄγκον ἀργυρωμάτων,
καὶ μαργάρων τί κάλλος ἐξῃρημένον,
ἀρωμάτων τε πλῆθος οὐ μετρουμένων,
ἐσθημάτων ἄλλων τε καὶ πλουτισμάτων,
καρπῶν ἀπείρους μυρίας μυριάδων·
καὶ τῆς μολίβδου τὴν θαλασσίαν χύσιν,
καὶ μαργάρων τὴν τέρψιν ἠνθρακωμένην·
οὔπω τὸ πᾶν εἴρητο, καὶ λόγῳ λόγος

συνῆπτο δεινὸς ἄρτι, καὶ συμπτωμάτων
πάθος τι πολλοὺς συγκατασχεῖν, καὶ τάφον
οἰκτρὸν γενέσθαι τὴν ἐνεγκοῦσαν χθόνα.
ποίοις δὲ λοιπὸν ὄμμασι τὴν πατρίδα
θανοῦσαν εἶπον ὄψομαι καὶ κειμένην,
καὶ συμφορῶν φέρουσαν εἰκόνας μόνον;
ἢ πῶς ἐνέγκω κάλλος ἠρεμωμένον,
κάλλος τοσοῦτον καὶ τὰ λείψανα βλέπων
νεκρῶν ἀθάνων[u]; οὐ χανεῖν μοι τὴν χθόνα
καὶ δὴ βαθεῖαν, εὔξομαι παραυτίκα;
ἢ πῶς ὑποίσω καὶ στεναγμοὺς καὶ γόους
πάθη τε πολλὰ τῶν φίλων καὶ δάκρυα;
οὕτω μερισθεὶς τὸν λογισμὸν εἰς δύο,
ἀγροῦ τὰ πικρὰ καὶ τὰ δεινὰ πατρίδος,
ἥττω τὸν ἀγρὸν τῶν κακῶν δόξας ἔχειν,
ὡς ταῦτα κρείττω καὶ τὸν ἀγρὸν εἱλόμην.

Ἵππων ἐναργεῖς εὐγενεστάτων τύποι.

Ἵππος κράτιστος εἰς θέατρα καὶ μάχας
εὔπους τὸ πρῶτον, τὴν ὁπλὴν στερρὰν ἔχων·
κοίλην, παχεῖαν, ἡρμένην, ψοφουμένην·
ἄνω δὲ τούτων καὶ κάτω κυνηπόδων,
ἔστωσαν ὀστᾶ, μήτε πάμπαν ὄρθια,
μήτ᾽ αὖ ταπεινὰ, πρὸς δὲ μέτρον ἠγμένα.
σκέλη πάχιστα, μὴ φλεβῶν[v] ὀγκώμασι,
μὴ σαρξὶ τοῦτο, πλὴν μόνοις τοῖς ὀστέοις.
μηροὶ δ᾽ ὁμοίως εἰς πάχος προηγμένοι·
τὸ στέρνον εὐρὺ, καὶ διϊστῶν τὰ σκέλη.
τράχηλος ὀρθὸς ὥσπερ ἀλεκτρυόνος,
μηδ᾽ εἰς τὸ πρόσθεν ὡς κάπρου τεταμένος·
ἄσαρκος ὀστώδης τε, σιαγὼν μικρά.
ἄμφω δ᾽ ἐπίσης ὑγροκαμπεῖς αἱ γνάθοι·
τὸ δ᾽ ὄμμα γοργὸν, ἐκκρεμὲς, πόρρω βλέπον.

[u] Leg. ἀθάπτων. [v] Cod. φλέγων.

εὐρεῖα ῥὶν, μυκτῆρες ἠνεωγμένοι
μικρὰ λαγὼν, εὔσαρκον, εὐρὺ δ' ἰσχίον,
μηροὶ διεστῶτες τῶν ὀπισθίων.

Εἴς τινα ἐν Βουλγαρίᾳ ἀποθανόντα.

Ἔρνος ἐμὸν περικαλλὲς, δένδρεον ὑψικάρηνον,
ὤλεο Θρηϊκίων ἐξ ἀνέμων ἄπινης.

Εἰς τοὺς Ἑλληνικοὺς πολέμους.

Μωροὶ τὰ πολλὰ κἂν σοφοὶ πεφυκέναι
δοκῶσιν, οἱ γῆς Ἑλλάδος πεφυκότες,
οἳ βαρβάρων ἀφέντες ἐκφύλους μάχας,
αὐτοὶ καθ' αὑτῶν ἐσπάσαντο τὰ ξίφη.

Εἰς τὸν Ξενοφῶντα.

Ξενοφῶντος ἡ γλῶσσα πρῶτα ῥητόρων,
ψυχὴ δὲ καὶ νοῦς πρῶτα τῶν φιλοσόφων.

Εἰς νέους φιλοσόφους [x].

Οὐκ ἔστιν ἀνὴρ ὃς σοφός· σοφὸς δ' οὔτις
ὅστις μετ' ἀνδρῶν ἵσταται· καινὴ μάχη
τῶν ἀρετῶν· τί φημὶ δ' αὐτὸς ὡς βραχύ·
εἰ πᾶς σοφὸς, δειλός τις· ὃς δειλὸς σοφός.

Εἰς ἑαυτόν.

Πέπονθα δεινὰ, πλὴν δίκαια Χριστέ μου,
πέπονθα δεινὰ, πλὴν ἐμῶν ἧττω κακῶν.
οὐκ ἔστι ποινὴ σφαλμάτων ἐμῶν ἴση.
δαίμων, νόσος, μάχαιρα, πῦρ, λύμη, σκότος,
μάστιγες, ὕβρεις, λιμὸς, ἐμπαιγμὸς, γέλως,
τὰ φρικτὰ πάντα τῆς ἐκεῖθεν ἡμέρας
αἰωνίως μένοντα· πῦρ φωτὸς δίχα,
σκότος φλογίζον, τάρταρος, σκώληξ, πόνοι·

[x] In marg. τὸ δόγμα τοῦτο τῶν Ἑλλήνων φιλοσόφων.

ἅπαντα ταῦτα τῶν ἐμῶν ἧττω κακῶν·
στήλῃ γεγράφθω ταῦτα μέχρι καὶ τέλους,
βοῶσα μακρὰ πᾶσι μέχρι τερμάτων,
κἂν πᾶν παρέλθοι τοῦτο, ταῦτα σαλπίσει
καὶ τοῖς ἐκεῖθε πᾶσι, ὡς πᾶσι μόνος
νικῶ κακοῖς ἅπαντα. πλὴν σοῦ, Χριστέ μου,
μόνον με νικᾷ σὸν πέλαγος θαυμάτων,
εὐσπλαγχνίας ἄβυσσος οὐ μετρουμένη,
οἴκτων ἀείρρους, δωρεῶν ἀπειρία.

ΑἼΝΙΓΜΑ ΕἸΣ ἍΛΑΣ.

Ὕδατος ἐκγενόμην, τράφε δ' ἥλιος αὖτις
ἀθάνατος, θνήσκω δέ γε μητέρι μούνῃ.

ΕἸΣ ΤῊΝ ΒΑΣΙΛΊΔΑ ἙΛΈΝΗΝ.

Κρύπτει σελήνην, ἀλλὰ λαμπρὸς, φωσφόρος.
νῦν Ἑλένην ἔκρυψεν ὁ στυγνὸς τάφος·
ἀλλ' εἰς τοσοῦτον μὴ κατισχύσῃ Χάρων.
σταφεῖσα[y] *δ' αὕτη πρὸς νοητὸν φωσφόρον,*
ἄνω πρὸς αὐτὸν ὡς σελήνη πρὸς πόλον,
τὸ φῶς ἀφῆκε· πρὸς δὲ τὴν χθόνα βρίθον
νεύειν ἀνάγκη τὸ σκιῶδες σαρκίον.

ΕἸΣ ΤῊΝ ΕἸΚΌΝΑ ΤΟΥ͂ ΣΩΤΗ͂ΡΟΣ.

Εἰκὼν σὺ Πατρὸς, ἀλλ' ἀμόρφωτος Λόγε·
αὕτη δὲ μορφὴ τῆς ἐμῆς μορφῆς τύπος·
ἥν περ φορῶν ἔσωσας. ὡς διπλοῦν, σέβω,
σὺ πνεῦμα καὶ τὸ σῶμα, Μιχαὴλ, σκέποις.

ΕἸΣ ΤΎΜΒΟΝ.

Μήτηρ, μαθηταὶ, μάρτυρες, νόες, φίλοι,
ἄνω κυκλοῦσι τὸν θρόνον σου, δέσποτα·
τὸν τοῦ θρόνου τύπον δὲ, τούτων οἱ τύποι

[y] *σταθεῖσα* vid. leg. vel *ταφεῖσα.*

φρουροῦσιν ὧδε· χεῖρας ἱκετηρίους
αἴρουσι πρὸς σέ. πᾶσι δὸς μίαν χάριν
τοῦτον γενέσθαι τὸν τυποῦντα τοὺς τύπους.

Εἰς τὴν σταύρωσιν.

Ὁ σταυρὸς εἶχε σῶμα, πνεῦμα δεσπότου,
καὶ φωσφόρον λάμποντα καὶ θείαν φύσιν·
τούτων τὸ πάσχον ἓν μόνον τῶν τεσσάρων
τὸ σῶμα, τἄλλα τοῦ πάθους ἀνώτερα.

Εἰς τὸν ἀρχιστράτηγον.

Πῶς ὑλικὴ χεὶρ τὴν ἀϋλίαν γράφει;
τὸν νοῦν ὁ νοῦς ἔγραψεν, ἡ χεὶρ τὸν τύπον.

Εἰς σπάθην κεκαλλωπισμένην.

Ἐχθροῖς σιδηρᾶ, τοῖς φίλοις χρυσῆ σπάθη.
δεινὴ κατ' ἐχθρῶν, τοῖς φίλοις καλὴ σπάθη·
σπάθη τεμνούσης καρδίας αὐτῆς πλέον·
σπάθη τὸ ῥώμης δίστομον πάσης ξίφος·
σπάθη τέμνουσα τῆς πολιτείας πάθη.

Εἰς τὴν εὕρεσιν τῆς κεφαλῆς τοῦ τιμίου Προδρόμου.

Κρυφθεῖσα φαίνῃ, καὶ θανοῦσα γὰρ λέγεις,
ἄμφω πέφυκας ταῦτα φωνὴ καὶ λύχνος.
λέγεις θανοῦσα τοῦ λόγου φωνὴ, σύγε
φαίνῃ κρυβεῖσα λύχνος ὄντως ἡλίου.
πρώτην τὸ πρῶτον τοῦ Θεοῦ παρουσίαν
τοῖς ζῶσιν ἐν γῇ, τοῖς νεκροῖς κάτω λέγεις.
ἀνῆλθες αὖθις ἡ λάλος καὶ νῦν κάρα
τί μηνύουσα; δευτέραν παρουσίαν.

Εἰς Λέοντα τινὰ ἄρχοντα.

Λέοντος ὑπνώττοντος ὀφθαλμὸς βλέπει,
σὸς νοῦς δὲ πάντα βλέπει καὶ προβλέπει,
κἂν ὄμμα μύῃ· τίς τὸ φῶς τοῦ νοῦ σβέσει;

Εἰς τὸν ἑαυτοῦ πατέρα.

Ὅς καὶ νοσοῦντα χερσὶν ἠγκαλιζόμην·
ὃς καὶ θανόντα σὰς περιστείλας κόρας,
ἔλουσα λουτροῖς ἐσχάτοις, τὰ θρεπτά σοι,
καὶ φόρτον ἡδὺν μῆνα βαστάσας ὅλον,
μακρᾶς σε γῆς ἤνεγκα μυρίοις πόνοις·
καὶ συζύγῳ δέδωκα, καὶ τῇ πατρίδι,
ἔκρυψα καὶ τύμβῳ δὲ καὶ τῇ καρδίᾳ,
Ἰωάννης, σῶν φιλτάτων νεώτατος·
ἔγραψα καὶ νῦν τῷδε τῷ τύπῳ, πάτερ·
πάτερ γλυκεῖα κλῆσις, ὄψις ἡδίων·
μικρὸν παρηγόρημα τοῦ πολλοῦ πόθου.

Εἰς τὸν ἑαυτοῦ διδάσκαλον.

Καλλιόπης μὲν Ὅμηρος, σοὶ δέ οἱ ἔπλετο αὐτὴ
γλῶττα μὲν Εὐτέρπη, Οὐρανίη δὲ φρήν·

Εἰς Θέωνα τὸν φιλόσοφον.

Τρέχων ἁπάσας τὰς ἐπιστήμας Θέων,
τὴν κλῆσιν εὗρε πράξεως ἐπαξίαν.
Θέων ὁ κλεινός· καὶ κέκληται προσφόρως,
ὡς ἂν πτερωτὸς καὶ δι' αἰθέρος τρέχων.

Εἰς ναὸν τοῦ Σωτῆρος.

Ὡς τοῦ πόλου μίμημα τὸν δόμον βλέπων
α ἐξ οὐρανοῦ κάτεισι Χριστὸς σὺν φίλοις·
γ πίστις δὲ πείθει ταῦτα σὺν Γεωργίῳ.
β ἢ καὶ πόλον τέθεικε τόνδε τὸν δόμον,
δ ἔργον δὲ χειρὸς ταῦτα μὴ πιστευτέον.

ἄλλα

Οὐκ [y] ἔργα χειρὸς ταῦτα, μή τις ἐλπίσοι·
ἀλλ' οὐρανοῦ κάτεισι Χριστὸς σὺν φίλοις
Νικηφόρου νικῶσα νοῦν τε καὶ λόγον.
ἠχεῖ μὲν ἄστροις καὶ φαεινῷ φωσφόρῳ.

[y] Sic. Ipse Poeta videtur hos versus immutasse.

πόλος τὰ πρῶτα τῶν καλῶν φέρει γέρα·
ἀλλ' ἐν δόμῳ νῦν ὡς μὲν ἄλλον φωσφόρον
τὸν Χριστὸν αὐτὸν, τοὺς δ' ὑπουργοὺς καὶ φίλους
κυκλοῦντας αὐτὸν, ἄστρα πάγκαλα βλέπων,
αὐτὸς καθ' αὑτοῦ δεύτερα ψηφίζεται.

Πόλου μὲν αἰθὴρ, ἄστρα, μήνη, φωσφόρος·
δόμου δὲ, Σωτὴρ, ἄγγελοι, μήτηρ, φίλοι.
τίς ἰσότης πρὸς ταῦτα; ποία σύγκρισις;
τὴν ἧτταν εὗρες οὐρανὲ, πλὴν προσκύνει.

Ἢ τοῦ πόλου κάτεισι Χριστὸς εἰς δόμον,
ἢ καὶ πόλον τέθεικε τόνδε τὸν δόμον.
ἄμφω δὲ μᾶλλον· καὶ κατῆλθε σὺν φίλοις,
καὶ τὸν δόμον τέθεικεν οὐρανὸν νέον.

Κάλλεος ἦν ἔρις, οὐρανὸς ἄστρασιν ηὔχεε νικᾷν·
αἰθὴρ ἀστράπτων ᾔτεε πρὸς τὰ γέρα.
ὡς δὲ δόμος προὐβάλλεται δεσποτικὴν μόνον αἴγλην,
ἔσβετο οἷα λύχνος κάλλεα οὐράνια.

Ἄστρα μὲν αἰγλήεντα καὶ ἀστέρας ἠδὲ σελήνην,
οὐρανὲ, καὶ σὺ φέρεις, οἶδα, φαεινότατε.
ἀλλ' ὅτε τόνδε χορὸν, καὶ χρυσῆν ἄντυγ' ἀθρήσω,
μικρὰ λέγω φαίνεις, καὶ σὺ καὶ ἠέλιος.

Εἰς εἰκόνα ἀκριβῆ[y].

Οὐρανοῦ ἐγκατέπαλτο καὶ ἔμπνοον ἔθετο εἰκὼ
Χριστὸς ἑὴν ἐνθάδε μητέρος. ὡς δὲ φίλων,
ὡς δὲ χορὸς νοερὸς περισταδὸν ἄλλοθεν ἄλλος
χεὶρ βροτέη μεγάλα ψεύσατο τούσδε τύπους.

Ὃς πόλον ἐξετάνυσσα καὶ ἀνδρομέην πλάσμα μορφήν,
εἰς δόμον ἀνδρομέαις χείρεσιν ἐγγράφομαι.
ταῦτα δ' ὁμοῦ τελέθων. θεὸς, ἄμβροτος, ὕστατα θνητὸς,
πλάττω βουληθεὶς, πλάττομαι ὡς ἐθέλω.

[y] ἀκριβῆς Cod.

Ος δίφρῳ πυρόεντι ἐφέψομαι [z], ὃς φῶς οἰκῶ,
 εἰς δόμον ἔστην χειρὶ χαραττόμενος.
θάμβεε μή τις, ἐν ἀγκαλίδεσσι τιθήνης
 καὶ τὸ πρὶν φερόμαν, γαστέρα δ' οἶκον ἔχη [a].

Εἰς τὸν βίον.

Τὴν ἀρετὴν χθὲς εἶδον ἐν μέσῃ πόλει,
μελαμφοροῦσαν καὶ κατηφείας ὅλην·
τί δ', ἠρόμην, πέπονθας; ἡ δέ· νῦν ἔγνως,
τόλμα, φρόνησις, γνῶσις, ἐν ταῖς γωνίαις,
ἄγνοια δ' ἄρχει καὶ μέθη καὶ δειλία.

Εὐχή.

Ἄναξ, ἄνασσα, δεσπότας ἐμοὺς λέγω,
τί μέχρι πολλοῦ δοῦλον ἠμελημένον,
ἐριμμένον με παντελῶς, παρειμένον
φίλων, ἀδελφῶν, συγγενῶν, βίου, λόγου,
ἔξω μὲν κόσμου παντὸς ὄντα, πλὴν φθόνου
μόνου κατεντρυφῶντα, καὶ γέλωτά με
προκείμενον βλέποντες, εἰς ὕβριν μόνον
τὸν ἥλιον βλέποντα, καὶ χοῦν καὶ κόνιν,
ἐχθρῶν με τυγχάνοντα πεφθονημένον,
ὡς κόπρον ἀπρόσιτον, ἠχρειωμένον,
ὃν ἱερεὺς παρῆλθεν ἢ καὶ Λευΐτης,
εἰ γὰρ παρῆλθε, νῦν δ' ἐπέτριψε πλέον,
καὶ συμπατήσας καὶ καθυβρίσας ὅλον
ἀφῆκε γυμνὸν ἄθλιον μόνον·
εἰ γὰρ παρῆκε καὶ καθύβρισε μόνον.
νῦν δὲ προσεστὼς καὶ γελᾷ μοῦ τὴν τύχην,
σκιρτᾷ, κροτεῖ, γέγηθε, καγχάζει μέγα.
ἐγὼ δὲ κωφὸς, ἐστερημένος, Λόγε,
λόγου, λογισμοῦ, χειλέων καὶ καρδίας
κεῖμαι τεθνηκώς. ἵλεων ἴδοις, Λόγε·
ἄνοιξον οὖς σὸν, στρέψον ὄμμα σὸν μόνον,

[z] Leg. ἐφέζομαι. [a] Leg. ἔχον.

σὴν καρδίαν, σὴν μὴ παραβλέψῃ βλέπων·
κράζων ἀπεῖπον· μὴ βραδύνῃς, Χριστέ μου·
μὴ δ' αὖ, κόρη, δέσποινα, μῆτερ, παρθένε,
ἐμὴ βασιλὶς, ἐλπὶς ἡ σώτειρά μου.

Εἰς τινα καλὸν ὡς ἐκ τῶν αὐτοῦ φίλων.

Οὐκ ἔστι κάλλους σύγκρισις πρὸς ἀστέρας,
τοῦ σοῦ, ποθεινέ· λαμπάδα κρινῶ λύχνοις,
κρινῶ πρὸς αὐτὸν τὸν φαεινὸν φωσφόρον,
πλὴν φωσφόρον ζῶ μὴ βλέπω, ἂν σὲ βλέπω
σὲ μὴ βλέπων δὲ κἂν βλέπω τὸν φωσφόρον.
σκότον βλέπω, τέθνηκα, χωρῶ πρὸς τάφον.

Εἰς δακτύλιον το * * *

Τί κόσμος, εἰπὲ, δακτύλοις ἡ σφενδόνη;
ἢ μᾶλλον οἱ σοὶ δάκτυλοι τῇ σφενδόνῃ;

Εἰς τὸν τοῦ βασιλέως δακτύλιον.

Γύγης μὲν ηὔχει σφενδόνῃ, σὺ δακτύλοις,
οἷς καὶ δίδως φῶς οἷς θέλεις, οἷς δὲ σκότος.

Εἰς τινα πάνυ μικρὸν κελευσθεὶς εἰπεῖν στίχον σχέδον.

Οὐ δύναμαι ἰδέειν τὸν σκωπτόμενον, σύγγνωτε.

Εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐν πύλῃ.

Πρὸς τῇ πύλῃ γράφω σε τὴν Θεοῦ πύλην,
πρὸς ναὸν αὕτη, πρὸς Θεὸν φέρεις σύ δε.

Εἰς καλόν.

Φωστὴρ πόλου τὶς, φωσφόρος σὺ τοῦ βίου.

Εἰς τὴν λάρνακα τοῦ ἁγίου Παντελεήμονος.

Ὕδωρ πέτρας πρὶν, νῦν μύρα, πλὴν καὶ μύρων
ἰαμάτων ῥοῦς, τοῦτο θαῦμα θαυμάτων.

Εἰς τὴν δέησιν τῆς Θεοτόκου τοῦ Προδρόμου καὶ τοῦ ἁγίου Νικολάου.

Κάμφθητι χερσὶ μητέρος, θύτου, φίλου,
αἷς ἠγκαλίσθης, αἷς ἐβαπτίσθης, Λόγε,
ὑφ' ὧν ἐτύθης θῦμα καινὸν πολλάκις.

Εἰς τὴν διὰ κινναβάρεως βασιλικὴν ὑπογραφήν.

Οἷον τὸ χρῶμα καὶ λόγοι τοῦ δεσπότου.
ῥήματα ταῦτ' ἀληθέα, τοὔνεκα χρώματα τοῖα.

Εἰς ἑαυτόν.

Οὐρανίων, ἐπιγείων ἵστορα, τίς, λέγε, θῆκεν
ὀκτωκαιδεκέτην εἰσέτι σ' Ἰωάννη;
θῆκέ με παμβασίλεια, καὶ ἠνορέην ἐπὶ τούτοις
δῶκεν ἀριπρεπέα, ῥήγνυσο μῶμος ἅπας.

Περὶ Θεοῦ.

Κάλλιστον ὄντων κόσμος, ἀρχαῖον χρόνος,
τόπος μέγιστον, νοῦς τάχιστον, φῶς, χάρις.
Θεὸς δὲ πάντα ταῦτα καὶ πάντων ἄνω.

Εἴς τινας νυκτὸς ἁλοῶντας ὡς ἀπὸ τῆς σελήνης.

Ἅρματος ἡμετέρου τίς ἔβησεν ἐλάστορας ἄλλους,
δῖνον ἀειστροφέα πάντοσ' ἐλαυνομένους;
ἥλιε τεθρίπποις νεμεσίσῃς μηκέτι μούνοις·
οἵδ' ἐπιτολμῶσιν ἁμετέροις τε δίφροις.

Εἰς τὴν βάπτισιν.

Καὶ φρένα καὶ παλάμην τρομερὴν καὶ ἅψεα πάντα
δέρκεο σοῦ θεράποντος. ἀπόστιχε, πῶς σε καθήρω;
πῦρ ἀπνεὲς τελέθεις, ποταμὸς παλίνορσος ἀπέστη.
ἅπτεο σοῦ βασιλῆος· νῦν ἐπέοικε πάντα
μορφῆς ἀνδρομένης τελέθειν, καὶ ὕστατα ἔμπαλιν αὐτὸς,
αἵμασιν αὐτοχύτοις παλάμαισιν ἐμαῖς σε καθήρω.

Χάζεό μοι βασιλεῦ, καὶ ἄπνοα πέφρικε ῥεῖθρα·
ἅψομαι καὶ οὐρανίων ἁγνοτέρης κορυφῆς.
χάζεο σου βασιλῆος, καὶ σθένος ὕστατα δείξω·
νῦν δὲ ὅλην ἐφετμὴν ἀνδρομένην τελέθω.

Γυμνούμενος μὲν γυμνὸν ἐνδύεις, Λόγε·
κάραν δὲ βάπτων ἐξανιστᾷς με πλάνης·
φαιδρύνεται μὲν ὠκεανὸς φωσφόρος[c],
Ἰορδάνης δεσπότῃ λελουμένος[d]
ὡς φαιδρὰ μᾶλλον καὶ τὰ ῥεῖθρα δεικνύει.
καὶ κάλλος ἐντίθησιν, οὐ γὰρ λαμβάνει·
κάλλους πατὴρ πέφυκε, βλύζει φῶς ὅλως.

Εἰς τὸν Μαίανδρον ποταμόν.

Τὸ τῆς δίκης πῦρ ὧδε, μηδὲν διστάσῃς,
ὁ Κωκυτὸς Μέανδρος· ἀλλ' ἀπεσφάλην,
οὐαὶ γὰρ ἀνδρῶν ἐστιν, αἴανδρον λέγω.

Εἰ τυγχάνει γῆς χῶρος ἐξῃρημένος,
ὅπου γέεννα καὶ τόποι κατακρίτων,
ἐκεῖνος οὗτος· ἀλλὰ Πυριφλεγέθων
ζητεῖ τίς οὗτος, οὗτος ἐγγύθεν ῥέων
ὁ καυστικὸς Κάϋστρος· ὃς δ' ἀϊασμάτων
ἀνδρῶν ὅλος πέφυκεν, αἴανδρον λέγω.
Κωκυτὸς ἄλλος τῶν πόνων ἐπάξιος.

Ἐξομολόγησις.

Οἴμοι καὶ πάλιν ἤλιτον, ὦ μέδον, ἤλιτον οἷα
καὶ λῃστοῦ μείζω καὶ Μανασσῆ πλείω.
χείρω Δαυίδου, καὶ σώφρονος ὕστατα πόρνης,
οὐδείς μου στέφανον λήψεται ἀφροσύνης.
οὔρεα καὶ ποταμοὶ καὶ δένδρεα, ὄρνεα, πέτραι·
οὐρανὲ καὶ ἄστρα κλαύσατ' Ἰωάννην.
αἰθὴρ, ἀὴρ, ἡ δὲ θάλαττα καὶ ἥλιε, μήνη,
ἄπνοα καὶ ζῶα κλαύσατ' Ἰωάννην.

c Leg. φωσφόρῳ. d An λελουμένῳ?

ἄγγελοι αἰγλήεντες, ἀειδέες, ἄλλα τε φῶτα
οὐρανίης στρατιῆς, κλαύσατ' Ἰωάννην.
οὕνεκεν ἐξαπάφητο, καὶ ἤλιτε ὅσσα τις ἄλλος
οὐδέ τις εὖτ' ἐθέμην συνθήκας, εὖτ' ἐτελέσθην
ῥήμασιν οἰοκίων [e], μυστιπόλων θυσίαις.
εὖτ' ἐδάην μυστήρια φρικτὰ θεοῦ καὶ ἄντην
ἔδρακον οὐκ ἀπάτης φάσματα δαιμονίων.
μητρὸς ἀπειρογάμου πολυφροσύνας πολυχάρτους,
ἐλπίδας ἡμερίους, ἐλπίδας ἀθανάτους.
εὖ τέ με πολλῶν πολλοῖς δάκρυσί τε στοναχαῖς τε
ἐξεκάθηρε παθῶν, εὖτ' ἐφάγη [f] τί μικρὸν
εἰκὼν ἀθανάτη θεοείκελος, ὥσπερ ἔσοπτρον
ἄρτι καθαιρόμενον ἀργαλέου πάχεος·
ἤριπον ὡς ὅτέ τις δρῦς, ἤριπον ἢ ἀχερωΐς·
πνεύμασιν ἀργαλέοις, ἔργμασιν οὐχ ὁσίοις.
οὐ μὲν πάμπαν ἐπὶ χθόνα κέκλιμαι, οὐδέ τι ῥίζας
ἐξέταμε πάσας ἀντιπάλοιο σάλος.
ἔμπης δ' ἐκλίνθην, καὶ ἔνευσα μικρὸν τὶ πρὸς οὖδας,
ἀμφοτέρως κραδίη συχνὰ κραδαινομένη.
πολλὰ πάθον καὶ ἄεθλα παλαισμοσύνης ἀλεγεινῆς,
ὁπποτέρῳ δώσεις, ἀθλοθέτα, τρομέω·
ἢ χοῒ τῷδε καὶ εἰκόνι πείρατα θείης, [νίκης]
ἢ σκολιῷ Βελίαρ ψῆφον ἀρειοτέρην.
εἰ μὴ σὴν ὑπέρεσχες, ὑπέρτατε, χεῖρα κραταιὴν,
ἀμπλακίης πτέρναν ἔφθασα θυμολέτιν.
ἀλλ' ἦλθες καὶ ἔσωσας ἀπ' ἀργαλέων μελεδωνῶν,
βορβόρου ἐξερύσας πρήξιος ἐξ ἀτόπου,
οὐρανόθεν δ' ἄρ ὑπερράγη ἐκ σέο ἄσπετος αἰθὴρ,
ἐκ μεσάντης νυκτὸς ἠδυμόροιο νόου.
ἀλλ' ἄνα παμμέδεον, πανίλαε, πάντα σὸν οἶκτον
εἴς με κένου γλυκεροῦ στήθεος· οἶδα τίς εἶ.
ῥεύμασι σῶν χαρίτων καὶ λύμματα πάντα καθαίρεις,
καὶ φάος ἐνδιδύεις ἠελίοιο πλέον.
σὴν δόξαν λαλέειν ἐμὰ χείλεα οὔποτε παύσει,

e Leg. οἰοβίων. f Fors. leg. ἐφάνη.

οὐδὲ λίθος κρύψει ταῦτα χαρασσόμενα·
καὶ γενεαῖς αἶνον μετέπειτα νέον καταλείψω,
σῶν μέγεθος σπλάγχνων σῆς τ᾽ ἀγανοφροσύνης.

Οὐρανίων στρατιῶν ἐρικυδέα τάγματα πάντα,
πάντες ἀεθλοφόροι κέρτερον ἐμῆς κραδίης·
ἀχράντου τοκετοῖο Θεοῦ μεγάλου ὑποφῆται,
δεσποτικῶν ὀπαδῶν δωδεκὰς εὐρυβόων·
μυστιπόλων χορὸς, ἱερέων πολυήρατα φῦλα,
οἰοβίων τε γένος, ἀντιπάλων κακίης·
οὓς περὶ κῆρι φίλησα, καὶ ἔνδον ἔκρυψα ψυχῆς,
νῦν μου λισσομένου, νῦν ἀΐοιτε ταχύ.
λίσσομ᾽ ὑπὲρ Τριάδος, καὶ λίσσομαι ὑμέας αὖτις,
λίσσομ᾽ ὑπὲρ πάσης ἐλπίδος ἡμετέρης.
πικρὸν ἀναστενάω, τετρυμμένα γούνατα κάμπτω,
δάκρυα θερμὰ χέω, σπενδῶν καὶ κραδίην.
ναὶ, πάρστητε βοηθόοι, ἀσπὶς ἐμὴ, κράτος, ἐλπὶς,
δεσπότιν ἡμετέρην εὐμενέτιν τελέσαι,
μητέρα παρθένον, οἰοτόκειαν, παμβασίλειαν,
νύμφην ἄζυγέα, ἁγνοτάτην ζυγίην.
λίσσομ᾽ ὑπὲρ Τριάδος, καὶ λίσσομαι ὑμέας αὖτις
ἡνίοχον ζώων [e] εὔστροφον ἡμετέρης,
ψηφοθέτιν βίου πολυπαίγμονος, ὁλκάδα πάσας
ἐλπίδας ἀγομένην, οὐρανίων, χθονίων.
ναὶ λίσσοισθε, καὶ ἀργαλέων μελεδωνῶν
καὶ παθέων σκεδάσαι οἶδμ᾽ ἐπανιστάμενον·
τοῦδε βίου στροφάλιγγας, ἀεικελίοισιν ἐπ᾽ ἔργοις,
φόρτον ἐμῶν ὕβρεων σώματος ἀργαλέων.
ὤλετο μέν μοι καὶ φάος, ὤλετο καὶ μένος ἐσθλόν·
ὤλετο δ᾽ ἡλικίη θάρσος ἐμῆς κραδίης.
δεξιὸν ὤλετο κάρτος, ἀπέτμαγε νεῦρα σίδηρος
σιαγόνας, κεφαλὴν, πάντα λάβε πόλεμος,
οὐδέ τι μοι περίκειται, οὐ χάριν οὐ λόγον εὗρον.
κοίρανος οὐ δυνατὸς ᾔνεσεν οὐδὲ πόλις,

[e] Leg. vid. ζωῆς.

ὧν ὕπερ ἐξεκένουν ὕδωρ ἅτε πολλάκις αἷμα·
ἀλλὰ Τριάς μου σάου, δεσπότις ἡμετέρη.
τῶν πάντων οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ,
ὅσσον ὀνειδείων ἐχθροτάτων ἐπέων.
ποῦ θεὸς ἔστι σός; εἶπέ τις, ἔστραφεν ὄψις, ἀλιτρέ.
ἄλλος δ' ἀφροσύνην εἶπε καὶ οὐ κακίην,
εὐκραδίαν δ' αὖ θέρισεν ἐμὴν, μανίην ὀνομάσας.
ὅσας δ' ἀφρόνως ἐτάγη φησὶν ἐν ὁπλομάχοις.
πᾶς δ' ἐπικερτομέει, καὶ ἔτραπεν εἰς ὕβριν αἶνος·
καὶ φθόνος οὐ δοκέει, ὢ πάθος, ἀλλ' ἔλεος.
ἄλλος ἐπεσβολίῃσι βάλε θρασυκάρδιον ἄνδρα,
νείκεσι δ' αἰχμητὴν πάντα καὶ ἐθνολέτην.
ἄλλος ἐδογμάτισε σοφίην ἀνάεθλον δειλὴν,
ἀπτόλεμον τελέθειν εἶπε δέον σοφίην.
βουλάς τ' ἐξάρχειν ἀγαθὰς, πόλεμόν τε κορύσσειν [f],
οὐ δυνατὸν τελέθειν ἄνδρας ἀριπρεπέας.
ἠνορέην σοφίης δ' ἀπέκερσε, καὶ ἄφρονι μούνῃ
ἀγνοίῃ δῶκε κῦδος ἅπαν ἀέθλων.
Δαυΐδην δ' ἀθέρισε προήγορον οὐρανοφοίτην,
πατρόθεον σοφίης πρῶτα καὶ εὐκραδίης.
Μωσέα τὸν μέγαν οὐ λάβεν εἰς τύπον ἄρκιον οὐδεὶς,
ἡγεμόνα στρατιῆς, ἡγεμόνα σοφίης.
τεσσαράκοντα ἔτη μόχθησε, καὶ ὕστερον οὕτως
ἡνία λάβε λαοῦ καὶ ἄγεν εὐσυνέτως.
ἐσθλὸς ἔην Θεόδωρος, ἀεθλοφόρων ὄχ' ἄριστος,
ῥητορικῇ δ' ἐκράτει καὶ πολέμῳ κρατέων.
Θετταλίης πρόμος αἰχμητὴς Δημήτριος ἄλλος·
ἀλλὰ μέγας Τριάδος σύμμαχος ἐκ στομάτων.
τῆς θύραθεν σοφίης πολυΐδμονας ἄνδρας ἐάσω,
ῥήτορα τ' ἡρώων δῆμον ἀριπρεπέα.
ἀμφότερον σοφίης ἐπιΐστορα πάντα καὶ ἁπάσης
καὶ κρατερῶν πολέμων τ' ἔργα διδασκομένων [g].
ἀλλ' ἐμοὶ ἔμπαλιν ταῦτα διαμπερὲς αἶσχος ἀνάπτει,

[f] κηρύσσειν Cod. [g] Sic.

καὶ κραταιῆς Ῥώμης πάτρια θεσμὰ λύω.
ἀλλὰ δίκαζε δίκαζε, φίλη Τριάς, ἢν δ' ἀδικοῦντα
καὶ σὺ λάβῃς, πρόσθες ἐλπίδα μακροτάτην.
ἐκ γενετῆς νεόκλαυστος ἀεὶ βάλον ὄμματα πρὸς σὲ,
οὐδὲ κόρας κλίνθην ἰσχὺν ἐπ' ἀλλοτρίην·
σὴν γενέτιν βοόωσαν ἐπ' ἤματι ἦμαρ ἑκάστῳ
αἴσχεα πόλλ' ἀπ' ἐμοῦ μακροτάτῳ βαλέειν.
πρόσθες ἀμετρήτου πελάγους τὸν ἔμφυτον οἶκτον,
ὃν πᾶσι προχέεις οἶκτον ἀπειρέσιον.
δεινὰ πέπονθα τύνιν, μόνος ἵλαος ἵλαος εἴης,
ἀντίπαλος τόσσων μοῦνος ἔφυς παθέων.
ὀρφανίην ἐλέαιρε, καὶ ὅτι με οὔποτε οὐδεὶς
μειλιχίοισι λόγοις ἔτραπεν ἐξ ἀνίης·
οὐ τοκέων με κατῴκτισεν· ἆ τάλας ἐς τόσον ἦλθον
σπλάγχνον ἀπηλεγέως δ' αἴον ἐκφιλίων.
συγγενέες δ' ἐπέμυξαν, ἀπηνήναντο δὲ πηοί·
τοὺς δὲ φίλους εὗρον χείρονας ἐχθροτάτων.
ἀλλὰ πατὴρ σὺ μόνος, σὺ δὲ μοῦνος πότνια μήτηρ,
ταῖς σαῖς δ' ἐξ ὀνύχων ἐλπίσιν ἐτρεφόμην·
ἰσχὺς ἐμὴ, λόγος, ἠνορέη, κράτος, ἥλιος, ὄμματα, ὀφρῦς,
ἀμφίστομός τε φύσις, πλοῦτος ἀπειρέσιος.
παρθένε παμβασίλεια τὴν φλόγα οἶδας ἀπείρων
ἄχρι καὶ οὐρανίων ἁπτομένη νεφέων·
ἐλπὶς ἀμαιμακέτη, ταλασίφρονα θήκατο μούνη
σή με, κόρη, πίστις, σὸς δ' ἐβίωσε πόθος.
ἐκ σοῦ δ' ἵλαος ἡ Τριὰς, ὡς ὅδ' ἐπήβολος εἴη
μῦθος ἀπὸ στομάτων οὔατα πρὸς Τριάδος·
σῶν πρὸ ποδῶν δ' ἐθέμην πάντων καὶ ἤλιθα πάσας,
ἐλπίδας ἀμφιδύμους αὖτις ἐρῶ τὰ πρῶτα.
σὺ βραχίων ἐμὸς, ὄμμα, φάος, νόος, ἄπλετος ἀλκὴ,
θαλπωρὴ βιότου, πνεῦμα, βίος τε λόγος·
μνῆστις ἀεὶ γλυκερὴ, λαλιὰ καὶ οὔασι τέρψις,
ἕρκος ἀεὶ τὸ πλέον ἀσπίδος ἀμφιβρότης.
παρθένε παμβασίλεια, καὶ ἄγριον οἶδμα περήσω
σοὶ πίσυνος, καὶ πυρὸς ἵξομαι ἐκ μεσάτου.

Παρθένε καλλιτόκεια, λεχὼ δέ τε αὐτοτόκεια
θῆρας ἐπ' ἀνδροφόνους, ἄνδρας ἐπ' ἀλλοθρόους.
παρθένε σὺ[h] πίσυνος καὶ οὔρεα μακρὰ περήσω,
ἄτρομος ἐν νεφέλαις ἀετὸς ὡς πτερόεις.
παρθένε καὶ σοὶ πίσυνος καὶ ἔθνεα μυρία κόσμου
οὐδὲν ἀποπροφύγω, στήσομαι δ' εὐκραδίως.
παρθένε σοὶ πίσυνος καὶ ἄγρια φῦλα γιγάντων·
εἰς φόβον ἐμβαλέω, καὶ κρατεροὺς ὁπλίτας
οὐ τρομέω, σίδηρε, μάτην πτερόεντες ὀϊστοὶ
ἰοβολεῖτε χρόα στερρὸν ἀπ' εὐθυβόλων.
παρθένε καὶ σοὶ θάρσυνος ἐς φλόγα μέσσην
πηδήσας Βελίαρ στήσομαι ἀβλαβέως.
παρθένε σὲ τρομέοντες δαίμονες ἀγριόθυμοι
οὐτιδανὸν καμὲ οὐ τιθεάσι κάτω.
ναὶ πέσον, ἀλλὰ σύ μ' ὑψόθεν ἥρπασας, ἣν δ' ἔτι κεῖμαι,
ἀλλὰ δίδως χεῖρα οὐδὲ πατεῖσθ' ἀφίης.
παρθένε σὲ τρομέω, καὶ σοῖς ἐν γούνασι κεῖνται
πάντα τὲ τὰ φρίσσω, καὶ βίος ἀμφότερος,
αἶνος, ὄνειδος, ἀδοξίη, εὖχος, πλοῦτος, ὑγεία,
νοῦσος, ὕβρις, πενίη, μῆτις εἰ δ' ἀφροσύνη[i]
κάρτος, ἀναλκίη, θάρσος, δέος, αἶσχος ἐπ' ἄνθος
ἱσταμένων πάντα, πάντα τὲ λυομένων.
τί πλέον; ἔκ σεο καὶ Θεὸς, ὕψος ἐμὸν, πέρας ἔσχατον ἐσθλῶν,
τοῦτον ἔχω κέρδος, ἄν περ ἔχω σὲ κόρη.
τοὔνεκα καί σε πρὸ πάντων λίσσομαι ἄφθορε κούρη,
ἅπτομαι δ' οὐ καθαραῖς χείρεσι σῶν γονάτων·
χείλεσι τ' οὐχ ἁγνοῖσι, παναγνοτάτην σε κικλήσκω·
ὄνομα σὸν τρομέω καὶ τύπον εἰσορόων.
ἀλλὰ φίλους σοὺς αἴδεο, ἅζεο δ' αἵματα χύδην
ἀθλοφόρων ἱερῶν δάκρυα τ' ἐκ βλεφάρων·
ἄλλους τ' αἰδέσθητι χοροὺς μελανείμονας ἁγνοὺς
ἀγγελικῆς βιοτῆς εἰκόνα τὴν χθονίαν·
οἵ σε περιστάντες παναπείρονες ἄλλοθεν ἄλλος,

[h] Leg. σοί.

[i] Fort. μῆνις ἴδ' ἀφρ.

δάκρυα θερμὰ χέουσα ἡμετέραις[i] τύχαις.
ἔξοχα δ' εὐγενέτην γενέτην ἐμὸν ἅζεο κούρη[k]
πατρικῶν[l] λαγόνων δεύτερος ὅς μ' ἔτεκε·
δοῦρας ἐμὸν Θεόδωρον, λόγχην, ἀσπίδα, τόξον
καὶ κόρυθα βριαρὴν καὶ ξίφος ἀμφίκοπον,
καὶ λόγον αὐτόχυτον νιφάδος πλέον ἔμφλογα ῥεῖθρα,
καὶ στόμα καὶ χεῖρα καὶ θράσος ἐν πολέμοις·
ὕδασι βαπτιστὴν, βαπτιστόν θ' αἵμασιν ἁγνοῖς
οὗ κλῆσιν φορέω, ἃ τάλας ὡς ῥυπόω.
οὐρανίων τε πρόμους, περιηγέα, ἔμφλογα κύκλα,
ταῦτα κόρη θεμένη, θὲς θρόνον ἀμφὶ δίκῃ.
σπλάγχνα τ' ἐοικότα σοῦ παιδὸς πολύολβα κυκλίσκω.
ταῦτα λύει με κόρη, τοῖσδε δίδου τὸ κράτος.
ἤλιτον ἐκ γενετῆς, ὅσσα ψάμμαθός τε κόνις τε,
σοὺς δ' ἔφθειρα νόμους ἄφθορε, οὐδὲ λόγους
σοὺς προπάροιθεν ἐμῶν ἐθέμην παθέων· ἰδέ τ' ὅρκους
συνθεσίας τ' ἀπλέτους εἰς ἀνέμους ἐθέμην.
σῶν ξενίων μυρίων δ' ἔτυχον, καὶ ἔδρακον οἷα.
οὐδ' ἀπαμειβόμενος ὕβριας ἀντιπάλων.

Εἰς τὸν ἅγιον Ῥωμανὸν τὸν μελῳδόν.

Ὁ συγχορευτὴς οὐρανοῦ τῶν ἀγγέλων,
καὶ γῆθεν ᾄδει τὰς ἐκεῖ μελῳδίας.

Εἰς ἔλαφον διωκομένην καὶ καταφυγοῦσαν πρὸς θάλασσαν, καὶ ὑπὸ σαγηνευτῶν κρατηθεῖσαν.

Ἦ μ' ἔτεκε φύγον, εἰς ἅλα δ' ἔδραμον· ἦ ῥα ματαία
κρέσσονα μητρὸς ἔχειν μητρυὰν ἐλπομένη.
κτείνει δ' ἰχθυβόλος, φεῦ αἴσχεος· οὐδὲ κυνηγὸς,
οὐδὲ δρομάς με κύων, ἀλλὰ λίνον κατέχει.
οὐδ' ἀδίκως ἐδίκασε δίκη. τί γὰρ ἔλλιπον αἶαν
τὴν φιλίην, μούνων ἕνεκα θηροφόνων;

[i] Leg. χέουσ' ἡμετέρασι. [k] κούρην Cod. [l] Leg. πατρικίων.

Εἰς τὸ πρὸς τὴν ὁρμωτόν.

Τῆς ὁρμωτοῦ τὸ κάλλος ἐξησκημένος
χρυσοῦς τις ὅρμος ὥσπερ αὐγάζει χθόνα.

Εἰς τὸν Θεολόγον.

Ἡ γνῶσις ὄντων, Γρηγόριος νῦν βλέπων.

Οἱ μὲν πάλαι θύουσιν ἄρνας καὶ βόας,
ἐγὼ δὲ Χριστῷ τῷ Λόγῳ θύσω λόγον·
τῷ νῷ τε τὸν νοῦν, πνεῦμα πνεύματι, τρία.

Εἰς τοὺς διαβάλλοντας.

Πέρσης ὁ Κῦρος, Μακεδὼν Ἀλέξανδρος,
Αὔσων ὁ Καῖσαρ, ἀλλὰ τῶν σοφῶν φίλοι,
σοφοὶ δὲ μᾶλλον ἔμπλεοι παιδευμάτων.
νῦν δὸ'
τὴν γνῶσιν ἐγκαλοῦσι, φεῦ πικρᾶς τύχης.

Ἄκουε ταῦτα γῆ θάλασσα καὶ πόλος,
ψυχαὶ σοφῶν τε καὶ στρατηγῶν τῶν πάλαι·
Ἰσοκράτης ὥρισε ῥώμην καὶ φρένας·
Θουκυδίδης ἔμιξεν ὅπλα καὶ λόγους·
ῥήτωρ στρατηγὸς καὶ Περικλῆς καὶ Κίμων
Ἀλκιβιάδης καὶ Θεμιστοκλῆς μέγας·
ἄμφω τέλειοι [m], Φωκίων κρηπὶς λόγων.
Ἕλληνες ἄλλοι μυρίοι Ῥώμης πρόμοι.
ἔφησε πρώτην τακτικὴν μαθημάτων
Πλάτων ὁ κλεινὸς, Σωκράτης τολμητίας
εἶχε τὰ πρῶτα τῶν ἀριστέων γέρα.
ἥρωες ἄρδην πάντες ἐξησκημένοι
Νέστωρ, Ὀδυσσεὺς, ἀλλ' Ἀχιλλεὺς καὶ πλέον
δεινὸς θεωρεῖν τῶν ὅλων καὶ τὰς φύσεις,

[m] τέλειος Cod.

κίνησιν ἄστρων καὶ φθορὰν διὰ ἔρος [n],
καὶ ῥυθμικῆς ἔμπειρος εὐαρμοστίας,
ἰατρικός τε, καὶ μαθητὴς κενταύρου.
ἀλλ' οἱ σοφοὶ νῦν, πλὴν ἐγὼ μωροὺς λέγω,
τὴν γνῶσιν εἶπον ἐμποδὼν τῆς ἀνδρίας.

Οὐ συλλογισμοὶ καὶ στρατοῦ διαιρέσεις
εἴπω τὸ μεῖζον, οὐδὲ κίνδυνοι τόσοι,
οὐκ ὄψις ἡ γέμουσα πολλῶν τραυμάτων·
οὐ χεὶρ ἀριστεύουσα καὶ κεκομμένη.
ἔστω τις εὐστόλιστος, ηὐθετισμένος·
κόμην τὰ πολλὰ συντιθεὶς εὐσχημόνως,
ὀφρῦς ἐπαίρων, καὶ φυσῶν στῆθος μέγα,
καὶ σκηνοποιῶν ἐθνικῶς πως τὴν κάραν·
πράττων ἃ μὴ δεῖ, καὶ λαλῶν ὡς θηρίον·
θηρσὶ λαγωὸς, τοῖς δὲ θρέμμασι λύκος·
πολλὴν νοσῶν ἄγνοιαν, εὔγλωττος, λάλος,
ἄτακτος, ἅρπαξ, ἀλλοεθνὴς πολλάκις,
ἀρρητοποιὸς, τοῦ βίου παντὸς λύμη.
οὗτος τὰ πρῶτα τῶν ἀριστέων ἔχει·
οὗτος στρατηγὸς, ὀξὺς, εὐφυὴς, πρόμος,
σύμβουλος εὐθὺς ἡδὺς ἐν συνουσίαις·
ἄρχων στρατηγῶν, πρῶτος ἐν βασιλείοις.
ἡ δ' ἀρετὴ καὶ γνῶσις ἐν ταῖς γωνίαις
στυγναὶ κάθηνται καὶ παρημελημέναι
θρηνοῦσι πικρῶς οὐχ ἑαυτὰς τῆς τύχης·
φύσει γὰρ αὗται τίμιαι καὶ τοῖς ξένοις,
θρηνοῦσι δ' αὐτὴν τὴν βασίλειον πόλιν·
καὶ σκῆπτρα Ῥώμης καὶ τὰ Ῥωμαίων καλὰ,
ῥυέντα πρὸς χοῦν ἔργα, καὶ σεμνὰς πόλεις
τοῖς ἔθνεσι φεῦ ἐκτόπως πατουμένας·
καὶ δόξαν ἀνθήσασαν ἐν πολλοῖς χρόνοις,
καὶ τοῦ στρατηγοῦ τὰ νεῦρα συγκεκομμένα.
γελῶσι δ' αὐτοὺς καὶ σοφοὺς ὑποξύλους

[n] Leg. φορὰν δι' ἀέρος.

καὶ τοὺς τεθέντας τῶν νέων σοφῶν δόμους [o].
δειλός τις ἔστω πᾶς σοφὸς, κἂν μὴ θέλῃ,
λαγῶ βίον ζῶν, γλῶττα καὶ γαστὴρ μόνον.
πράκτωρ, ὑπουργὸς καὶ ποριστὴς χρημάτων·
τῆς ἀνδρίας μὲν ἐν λόγοις ἐπαινέτης,
καὶ τῆς παλαιᾶς ἀρετῆς μεμνημένος·
ἔργοις δὲ ταύτης τὴν ἐναντίαν τρέχων·
κἂν εἰ σοφῶν τις ἄλλος ἀνδρίαν λάβοι·
θεοῦ γὰρ αὐτὸ δῶρον οἶδα καὶ μόνον,
ἔκτακτος οὗτος, καὶ σοφῶν λύων νόμους.
φεῦ τῆς ἀγνοίας, φεῦ φθόνου, φεῦ τῶν δύο.
υἱοὶ βροτῶν μαίνοισθε μέχρι καὶ τίνος·
ἢ τῶν καλῶν γὰρ ἀνδρίαν οὐ γραπτέον,
ἢ μὴ μετεῖναι τῶν καλῶν ἐατέον.
σοφοῖς σοφὸν δὲ καὶ τὸ βούλεσθαι τόδε,
τῆς δ' ἀρετῆς πόρρωθι κεῖσθαι τὰς φρένας·
τὴν δ' αὖ τελείαν ἀρετὴν ἐγὼ λέγω,
εὐανδρίαν, φρόνησιν, ἡδονῶν κράτος.
ἡ δ' ἰσότης τί, κρᾶσις ἀρετῶν ἴση·
ὅπερ δίκαιον ἐστὶ καὶ καλεῖται τοῖς πάλαι.
μισῶ σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός·
οὐδ' ἔσχεν οἷς περ καὶ σοφὸς γνωρίζεται.
εἰ συλλαβεῖν δὲ μὴ σθένεις τόλμαν λόγῳ,
τί τοῖς ἔχουσι καὶ φθονεῖς ἀνενδότως;
τί καὶ στερεῖς ἄνθρωπε, γνῶσιν ἰσχύος;
τί τοῖς ἀγνώστοις ἐγχειρίζεις ἡνίας;
τί βρῶμα ποιεῖς τὰς πόλεις τοῖς βαρβάροις;
τί νεῦρα τέμνεις τοῦ στρατοῦ τεθραμμένα,
πολλαῖς παλαιοῦ καὶ καλαῖς στρατηγίαις,
εὑρήμασί τε καὶ σοφῶν τεχνουργίαις;
Εὐριπίδου πῶς τῶν στρατηγῶν τὴν κρίσιν
σοφὸς δοκῶν, ἄνθρωπε, νῦν παρατρέχεις
θάρσει προκρίνας τῶν φρενῶν εὐβουλίαν;

[o] Prius erat νόμους.

ἓν γὰρ οὐδὲν θάτερον λελειμμένον.
τί καὶ καλοῦσι τὴν Ἀθηνᾶν Παλλάδα;
τί δ' οὐκ Ἀπόλλων μουσικὸς καὶ τοξότης;
τί δ' ἦν Ἀχιλλεύς; πρῶτος οὐ θεωρίᾳ,
καὶ μουσικός τις ἦδεν ἀνδρῶν τὰ κλέα;
ἰατρικὸς δ' οὔ, καὶ μαθητὴς κενταύρου;
τί δ' ἦν Ὀδυσσεύς; οὐ λόγοις σοφοῖς ῥέων,
τὸ σύντονον δὲ τίς κατώρθωσε πλέον;
ἐῶ Πύλιον τοῦ μέλιτος ἡδίω,
καὶ τὴν Ἀτρείδου συντετμημένην φύσιν
ἥρως ἄρδην ἔνθεν ὠνομασμένους·
εἴροντας εὖτε καὶ λέγοντας ἐντέχνως·
ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτερος·
ἔστη δ' ἐπ' αὐτὴν πολλάκις τὴν ἀσπίδα·
καὶ πρῶτος ἦρε τῶν ἀριστέων γέρα·
Πλάτων ἀθλητής, καὶ μαχητὴς Αἰσχύλος.
ὁ δ' οὖν στρατηγῶν πρῶτος οὐ καὶ ῥητόρων[p];
σοφῶν δὲ μᾶλλον, ὃς λύει χρησμοὺς μόνους,
βουλαῖς δὲ νικᾷ καὶ μάχαις τὴν γῆν ὅλην·
πείθει τε νικᾷν μὴ θέλοντας τοὺς φίλους·
κρατεῖ δὲ Περσῶν δημιουργῶν ἐκτόπως,
γῆς καὶ θαλάττης, πᾶν ἔθνος, πᾶσαν πόλιν
ψυχῆς τε τόλμην καὶ φρενῶν εὐλαβίᾳ
κάτω τίθησι, καὶ παρ' ἐχθρῶν τυγχάνει
αἰδοῦς ὁ κλεινὸς, θάπτεται δὲ καρδίαις.
καὶ θαῦμα, πῶς ἓν σῶμα καὶ ψυχὴ μία
κρείττων ἐδείχθη τῆς ὅλης οἰκουμένης,
θάρσει τε πολλῷ καὶ φρονήσει καὶ μάχῃ.
τί καὶ Περικλῆς Ἀλκιβιάδης καὶ Κίμων,
οἱ τῶν Ἀθηνῶν εὐπαγεῖς χρυσοῖ στύλοι·
οἱ τῶν λόγων ἄρχοντες, οἱ ῥήτρας πρόμοι,
οἱ τὴν φύσιν βλέποντες· οἱ γεωμέτραι
ἤστραπτον ἔργοις καὶ λόγοις τὴν Ἑλλάδα,

[p] In marg. Θεμιστοκλῆς.

ἵπποις κατ' αὐτὸ, ναυσὶ, πεζοῖς ἐκράτουν;
δόξης, τροπαίων, ἀρετῆς, σοφισμάτων,
πᾶσαν θάλατταν, πᾶσαν ἐπλήρουν χθόνα
Ἕλληνες οὗτοι· πλὴν Θεοῦ πάντως χάρις
ἦν καὶ τὰ τούτων, οὗ φρόνησις, οὗ λόγος,
παρ' οὗ περ ἔσχον καὶ τὰ τῆς εὐανδρίας.
σὺ δ' ὦ Μακεδὼν, πῶς σοφὸς κριθῇς ἔτι
ὢν καὶ μαχητής; πῶς φθονεῖς δὲ τῆς τέχνης
ἅπασιν ἄλλοις; πῶς μόνος θέλεις ἔχειν
Ἀριστοτέλους τοὺς σοφοὺς λαβυρίνθους;
μόναρχε πρῶτε, Καῖσαρ, ἀρκεῖ σοι μόνον
λέγειν τε δεινῶς, ἀντικάτωνας γράφειν,
βίβλοις συνεῖναι, τὴν φύσιν ζητεῖν ὅλων;
τί καὶ στρατηγεῖς καὶ βιάζῃ πᾶν ἔθνος,
καὶ τὰς ἀπείρους ἐν βραχεῖ πόλεις ἔχεις,
ὅρους δὲ πήσσεις [q] ἐν Γαδείροις Αὐσόνων;
ἢ τοὺς ἀπίστους τοὺς δὲ πιστοὺς οὐ δέον
θάλλειν καλοῖς ἅπασιν ἔργοις καὶ λόγοις;
ἀλλ' ἐλθὲ, πῶς ἔκρινε καὶ Θεὸς, λέγε,
τίνα στρατηγὸν τῆς ἑαυτοῦ δεικνύει
μοίρας κραταιᾶς καὶ στρατοῦ ποθουμένου;
οὐ τὸν γραφέντα τοῖς λόγοις μακρῷ χρόνῳ,
καὶ συλλαβόντα πᾶσαν εὐπαιδευσίαν;
Αἰγυπτίοις συνόντα Μωσῆν τὸν μέγαν
τὰ πρῶτα καὶ κάλλιστα τῶν μαθημάτων,
λόγους ἀριθμῶν, γραμμικὴν θεωρίαν,
ἄστρων πολήσεις, ῥυθμικῶν μελῶν ὅρους,
ὃ κρᾶσις ἐστὶ καὶ τέλος καλῶν ὅλων;
παλαιὰ ταῦτα, πᾶν καλὸν φασὶ πάλαι,
καὶ καινὸν οὐδὲν τῶν καλῶν καὶ τιμίων·
ζηλοῦν δὲ ταῦτα μὴ καλὸν, καὶ τίς λόγος
οὐδὲ γράφειν ἔξεστι λοιπὸν ὡς πάλαι
οὐδὲν λόγοις ἄριστον ὡς πρὶν τυγχάνειν,
οὐδ' ἐν μάχαις βέλτιστον. ἔρρευσαν τέχναι·

[q] πήσσαις Cod.

πάλαι γὰρ ἦσαν τοῖς βροτοῖς εὑρημέναι.
τὸ σωφρονεῖν πᾶν ἐκλέλοιπε τὸν βίον.
τὴν ἀρετὴν δίωκε πᾶσαν, ἣ πάλαι
φανεῖσα πολλοὺς ἦρεν εἰς ὕψος μέγα,
ἀφεῖσα τούτους ἀρχικοὺς ὥσπερ τύπους.
πρὸς οὓς βλέπων τίς, κάλλος εἰ θέλοι βίου,
ἐκεῖθεν ἕλκει, κἂν τὰ δεύτερα γράφῃ.
σὺ δὲ προφῆτα καὶ βασιλεῦ πῶς πλέον
αὐχεῖς ἁπάντων γνῶσιν; οὐκ ἀριστέων
ἔχεις τὰ πρῶτα; πῶς σοφίζῃ τοὺς νόμους,
εἴπερ τίς ἄλλος τοῦ Θεοῦ, καὶ τοὺς λόγους,
ζητεῖς, ἐρευνᾷς; τῶν δὲ τῶν ὁρωμένων
στρέφεις δὲ πολλὰς ἐν φρεσὶ θεωρίας;
κινεῖς δὲ γλῶσσαν νυκτὸς, ἡμέρας ὅλης,
θείοις ἐπ' ἔργοις; μουσικὸς δὲ τυγχάνεις,
καὶ ῥυθμικὴν ἔδειξας εὐαρμοστίαν,
λόγοις δ' ἐφευρεῖν καὶ βάθη κεκρυμμένα;
Θεοῦ τε πολλὰ καὶ Θεοῦ τῶν κτισμάτων;
πῶς συντιθεῖς δὲ καὶ μέλιτος κηρίον
τρόπον μελίσσης τὴν σοφωτάτην βίβλον
ἐξ ἧς ἅπασα γνῶσις, ὡς πηγῆς [q] βρύει;
Θεοῦ Χερουβὶμ, ἀγγέλων [r], ἀρχαγγέλων,
νόων ἁπάντων, τῶν δὲ τῶν ὁρωμένων
τρόπων, τροπαίων, ἀρετῆς, ἁμαρτίας
τύχης, νοὸς, ζωῆς τε καὶ θνητῶν τέλους,
φωτὸς σκότους τε δαιμόνων, παθημάτων,
καινῆς τε πρὸς γῆν κράσεως τοῦ δεσπότου,
καὶ σῆς ἀχράντου μητροπαρθένου κόρης,
ἄρρητα ταῦτα καὶ λόγων ἀνώτερα;
ἀλλ' ἁρπαγαὶ νῦν τοῖς στρατηγοῖς καὶ μέθαι,
ὧν οὐ μετεῖναι τοῖς καλοῖς φήσεις δέον.
τί ταῦτα πρὸς τὸ πρᾶγμα; χωρὶς οἱ λόγοι.
ἄλλο στρατηγὸς, ἄλλο δὲ στρατηγία.

[q] Corrector πηγή. [r] Erat ἀργέλων.

κακός τις οὗτος· ἥδ' ἀρίστη τῇ φύσει.
ἰατρικὴ σώτειρα· πολλάκις δ' ἔφυ
φονεὺς ἰατρὸς, μὴ κακίζῃς τὴν τέχνην.
οὐ πράγματος πῶς, τῶν προσώπων δ' ἡ βλάβη.
ἔβλαψε ῥήτωρ πολλάκις τις τοὺς νόμους,
μὴ καὶ κακίζῃς δεινότητα τῶν λόγων.
ἄλλως τε τοὺς κακοὺς μὲν ὡς κακὸς σύνοι.
ἐγὼ δ' ἀριθμῶ τοὺς καλοὺς οὓς καὶ μόνους
οἶδα στρατηγοὺς ὡς ἔχοντας τὴν τέχνην·
καὶ μουσικοὺς γὰρ καὶ κρατοῦντας τὴν λύραν,
τοὺς εὖ δὲ ταύτην εἰδότας κροῦσαι μόνον,
καὶ τοὺς διδόντας τὸν λόγον τῶν κρουμάτων,
καὶ μὴ φέρωσι χερσὶν οὗτοι τὴν λύραν.
ὡς ἱππικός δε, γραμμικοὺς πᾶσαν τέχνην,
ἀγαλματουργοὺς, τέκτονας, λιθοξόους,
ἕκαστον, οὗ περ ἔσχε τὴν γνῶσιν μόνον.
καὶ ταῦτα μὲν δὴ νοῦς ἐτόξευσε μάτην.
μᾶλλον δ' ἐκεῖνος εὐλογώτατος λόγος,
ὡς αὐτός ἐστι δεικνύων ὁ σὸς λόγος,
μὴ συμφερόντως τοῖς ξένοις παιδεύσεως
ἔχειν ἐθνῶν τε καὶ στρατοῦ τὰς ἡνίας.
εἰ γὰρ κρατούντων τῶνδε, πᾶν δεινὸν κρατεῖ,
μέθη, τυραννὶς, ἁρπαγαὶ, σφαγαὶ, βίαι,
ἧτται, σφαγαὶ, κάθειρξις, αἰχμαλωσίαι·
δῆλον, κρατούντων τοῖσδε τῶν ἐναντίων,
ἄρξει καλὸν πᾶν, ἐγκράτεια, χρηστότης,
εὐανδρία, φρόνησις, ἀλκὴ πρὸς πόνους,
τέχναι κατ' ἐχθρῶν, τάξεων εὐταξίαι,
νίκαι, τρόπαια, δόξα, Ῥωμαίων κράτος·
Θεοῦ πρὸ πάντων εὐμένεια τοῖς ὅλοις,
ὃς καὶ σφραγίς μοι τῶνδε τῶν ψελλισμάτων
ἔστω. τὰ δ' ἄλλα τοῖς σοφισταῖς μελλέτω.

Ὡς ἔκ τινος κόρην αἰτησαμένου ὕδωρ, καὶ ἐρασθέντος αὐτῆς.

Ὦ πικρὸν ὕδωρ, δὶς πιὼν καὶ πολλάκις,
ἄπαυστα διψῶ. ποῖον ὕδωρ τοῦτό γε,
ὃ πῦρ ἀνάπτει καὶ φλέγει τὴν καρδίαν;
δαλὸς κέκρυπτο τῶν ἐρώτων, ὦ τάλας·
τί καὶ δράσω νῦν; ἀλλὰ τῶν σῶν χειλέων
πιεῖν κόρη δός· ἀλλὰ πόρρωθεν φλέγεις.
πῶς φλογμὸν οἴσω τοῦ πάθους προσεγγίσας;
ἓν εἶδον εὑρεῖν τῆσδε τῆς δίψης ἄκος·
ἔρως, ἔρωτι παύεται φλογωτέρῳ.
ἔρως ἔρωτα σβεννύει, μείζων, μέγαν.
σοῦ, Χριστέ μου, σοῦ δράσσομαι, σύ μοι δίδου
ὕδωρ τὸ σὸν ζῶν, τοῦτο παύσει τὴν φλόγα.

Εἰς τὸ ἔαρ.

Χριστὲ ἄναξ, ὃς ἔαρ θαλέθον πολυήρατον ἄρτι
ἐκ ζοφεροῦ χειμῶνος ἀπηύγασας ὥριον ἄνθος.
πάντα δ' ἀνῆκεν ὑπὸ χθονὸς οἷά τε τύμβου
δεύτερον ἐς φαέθοντα παλίμπνοος ἄρτι μολόντες·
πάντα δ' ἐκοσμήσαντο καὶ ἄνθετο κόσμον, ὁ κόσμος,
οὐρανὸς ἄστρα φεραυγέα, κάλλιμα ἄνθεα γαῖα,
ἄκρον δ' αἰθέρα, πάγκαλά τ' ὄρνεα ἄρτι φανέντα.
πορφυρέην δὲ θάλασσα γαλήνην, ἄλλα τε νηκτά·
νῦν μὲν χρυσόκυκλον ἀπήντυνεν ἥλιος ἅρμα,
αὐτὸς δ' ἀντολίηθεν ἐφ' ἑσπερίην μάλα νύσσην
ἵπταται ὑψηλὸς, φαιδρὸς, περιώσιος, ἡδὺς,
θερμὸς, βλαστοφόρος, ῥοδοδάκτυλος, εὔδρομος, ὀξύς·
νῦν δὲ καὶ ἄστρα ἀριπρεπέα καὶ εὔδρομα πάντα,
ῥεῖα δ' ἀρίζηλα καὶ εὔθετα πᾶσιν ἰδέσθαι.
πολλὰ δέ γ' ἐξεφάνη, καὶ ἄδηλα τὸ πρίν περ ἐόντα,
οὔνομα τ' εὐφραδὲς, ὁλκάσι, λύχνοις, ὁδίταις ἀγοί.
νῦν καὶ μήνη χρυσόκερως, ἅτε νύμφη παστοῦ[r]
νυμφίου ἐκπροϊεῖσα, καὶ ἔγκυα[s] φῶτα λαβοῦσα,

[r] Leg. πάστασι νύμφη.   [s] Leg. ἔγγια.

γαῦρος ἐπαντέλλει, πολλοῖς δ' ἑκάτερθε προπομποῖς
ἄστρασι κυδιάει, βόησε[t] δ' ἐφύπερθεν ἁμάξης,
στέλλετ' ἐς ὠκεανὸν, φιλέραστος, εὔχροος, ἁβρὰ,
οὐδὲ μέλαν σκιόεν νέφος αὐτὴν ἀμφιπεπηγὸς,
κάλλος ἀναλδύνει καὶ ἄγριον ἀμφικαλύπτει.
νῦν μὲν καὶ πολύοπτος ἀπερράγη ἄσπετος αἰθὴρ,
λευκοχίτων, κροκόπεπλος, εὔπνοος, ὄμμασιν αὐγή·
νῦν ζέφυροι πνείουσι κατ' ἄνθεα καὶ μύρον ἡδὺ
ἐξ ἀνέμων ῥισίν· εὖ μέγα καὶ λαλέουσι χάρμα.
ἤδη καὶ γαῖα χλοερὴν ἐστέψατο ποίην,
καὶ λαγόνων προέβη τόκος ὥριος, ἡδύς·
ἄρτι μὲν ἐκ καλύκων διδυμόχρονος[u] ἠΰτε κούρη
ἐξεφάνη θαλάμων ῥόδον, ὄμμασι τέρψις.
καί τε μύρον ῥισίον μαλακὴ δρόσος ἔπλετο χερσὶν,
ἄρτι δὲ καὶ κρίνον εἰκὼν φέρτερος οὐρανιώνων,
λευκοφόρων Σεραφὶμ, πτερύγων ἰσαρίθμιος χορὸς,
χρύσειας κεφαλὰς προὐβάλλετο οἷά τε ῥάβδους.
σκῆπτρον ἀνακτορίης μέσον ἀμφιέπον περικύκλον,
εὔθρονον, ἔμφλογον, ἐν τρισὶ γραμμαῖς ἔξοχον ἄλλων,
τριαδικὴν μορφὴν ὑπερούσιον οἷα προφαῖνον.
ἄρτι δὲ λευκόϊον θάλλει κυαναυγὲς, εὔπνοον ἴον,
πορφύρεός τ' ὑάκινθος, εὔχνοος οἷά τε μοίραξ[x],
εὐχαίτης κομάων καλὴν ἀνεδήσατο χαίτην·
καὶ μαλακὸς νάρκισσος ἀπὸ χθονὸς ἔδραμε τερπνὸς,
ἡδύχροός τε κρόκος χρυσάνθεος, ἥ δ' ἀνεμώνη·
πάντη δ' ἀμφιτέθηλε χάρις· δένδρεα καρήνοις
ὑψόσ' ἀναθρώσκει, χλοεροῖς τε μελίσσεται[y] φίλοις·
ἡδύ τι καὶ ψιθύρισμα καλὸν κελαρύσμασι κρήνης
μίγνυτ', ἐπὶ σκιεροῦ τάχα δ' ἄλσεος ὄρνις ἀείδων
ἀμφοτέροις κεράα τριτάτην πολυσχέα[z] μοῦσαν.
ἀλκυονὶς[a] δ' ἁλίοις ῥοθίοις ἐπιμίγνυσιν ᾠδὴν,
ἧκ' ἀναβαλλομένοις, προσπτυσσομένοις ποτὶ χέρσον.
χεύει καὶ χελιδὼν πολύμολπος ἀτειρέα φωνὴν,
ὀρθρινάδ' ἐν θαλάμοις προσφθέγγεται ἠΰτε κούρα.

[t] Fors. βορέης. [u] Leg. διδυμόχροος. [x] Leg. μείραξ. [y] Leg. vid. μελίσδεται φύλλοις. [z] Leg. πολυηχέα. [a] ἀλκιονὶς Cod.

πρόκνης ἡ μελίγηρυς ἀποσταλάει δ' ἅμα μολπῇ,
ποικίλα [a] τροπόωσα κατ' ἄλσεα οὔποτε λήγει·
κύκνος ἐπ' ὄχθαισι ποταμοῦ λυρογηθέα δειρὴν
ἀντείνας, ζεφύρῳ πτερὰ πλήσας, ἠΰτ' ἀοιδὸς
πνεύματος εὐκελαδᾶ λύραν, εὖ δέ τε δάκτυλα βάλλων,
καλὸν ἀποθλίβει μέλος ἀερόμολπον, ἐρατὸν [b]
αὐτὸς ἀοιδὸς ὁμοῦ τελέθων, αὐτὸς δέ τε αὐλός.
στηθομελεῖς δὲ τέττιγες ἐπ' ἀκρεμόνων μάλα πολλὴν
σύντονον εὐκελάδοις μαγάσι προχέουσιν ἀοιδήν.
ἄρνες δ' ἀμφιπερισκαίρουσι, συρίσδεται ἡδέα ποιμήν·
μῆλα μαλοῖς βεβρίθασιν, ἀγάλλεται αἰπόλος αἰξὶν,
βουκόλος εἰς σκιερὰν πλατάνιστον ἀπέδραθε, κρήνης
ἄγχι ἐπ' ἀργυρέης ψυχρὸν παραπαλμένον [c] ὕδωρ.
νῦν ναῦται πλόουσιν, ὁδοιπορέουσιν ὁδῖται·
οἱ μὲν ἐπ' ἀργυφόεντα, πορφυρόεντα θαλάσσης
νῶτα περιπλήσσοντες καὶ ἀμπετόωντες ἐπ' αὔρας,
ἱστία νηυσὶ πέτεσθαι, καὶ πάλιν κώπαις οἷά τε ποσὶν
εἰναλίην τέμνοντες ὁδὸν, καλὸν ἄστεος ὅρμον·
οἱ δὲ περιπνείοντας καὶ ἅμα ψύχοντας ἀήτας,
τέττιγας εὖ λαλέοντας, καὶ εὐστομέοντα πετήλοις
ὄρνεα, ποικιλόφωνα, καὶ ἡδέα νάματα κρηνῶν.
νῦν δὲ μαχητὴς εὔοπλος οἷά τις εὔχροος ἀστὴρ
λαμπρὸν παμφαίνει καὶ εὔχαρι ἅρματι ταίνει [d]
ἵπποις δ' ἀμφιπερισκαίρει, ξίφος οἷά τε θήγει
ἀγχέμαχον, κραδίη πνίει μένος, ἅλλεται ὀργῇ.
καὶ πῶς σεῖο μέλισσα λαθοίμην, σεῖό τε δώρων;
νῦν στρατὸς αὐτοκέλευστος ἐπ' ἄνθεα ἠΰτε κώμας
στέλλεται εὐφραδέως, ἀνά τ' ἔδραμεν ἄχθεα τερπνὰ
εὖ τε λάφυρα φέρων, καὶ ἡγεμόνος προπάροιθε
θῆκαν ἐπισταμένως, ἄλλοις δ' ἐπὶ ἄλλα τιθεῦσαι
πάνσοφα ἔργα πένοντα, κάλλεα μυρία κηροῦ,
ἡδέα δῶρα μέλιτος ἐπισφραγίσας ἐνὶ θήκαις,
πλοῦτον ἀπειρέσιον, βροτέης γενεῆς ἄκος, εἶδαρ,
εἶδαρ ἱμερτὸν, ἀκηράσιον, βασιλεύτατον ἄλλων.

[a] Leg. vid. ποικίλα τὲ προπ. [b] Leg. ἐραστόν. [c] Leg. παρεπαλμένον. [d] Leg. ἅρμα τιταίνει.

ἀλλά τί μοι τάδε Χριστὲ, ἄναξ Λόγε, φέρτερε μάθου
ὃς μεγάλοισι λόγοις νωμᾷς οἰήϊα κόσμου;
τίς γλυκεροῦ λόγος εἴαρος, ἢ λόγος εἰαροφύτων;
πάντα μὲν ἐκ νεκύων φαεσίμβροτον ἔδραμεν ἠὼ,
πάντα τέθηλε, γάννυνται, οὐρανὸς, ἥλιος, ἄστρα,
ὕδατα πλωτοῖς, γαῖα δὲ πεζοῖς, ὄρνισιν ἀὴρ,
πάντα δ' ἀνηβήσαντα τεαῖς ἐπέτρεψεν ἐφετμαῖς.
σὸς δὲ μόνος στενάων λάτρις, ἕλκεα μυρία πέσων[e]
ἔμπνοός εἰμι νέκυς, δεδμημένος ἄλγεσι πολλοῖς.
ὤλετο μέν μοι φάος, ὤλετο καὶ μένος ἐσθλὸν,
ὤλετο δ' ἀλκὴ σώματος, ὤλετο δ' εὔχαρις ἥβη,
μῦθος δ' ἐξαπόλωλε, μεμυκότα χείλη[f] σιγῇ.
κτήματα δ' ἐκφορέουσι διαρραιστῆρες ἀνάγκῃ,
ἄλλοθεν ἄλμενος ἄλλος ἑτοιμοτάτην ἐπὶ θήρην.
τίς δ' ἂν ἐπεσβολέοντας ἐνέγκοι, τόξα τε γλώσσης
αὐτονόμου κακίης πολυφάρμακα πάντοθεν ἰοὺς
ἀμφαδίους, κρυφίους, ὑπὸ νύκτα καὶ ἦμαρ ἐπ' ἦμαρ;
τῶν πάντων οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ,
ὅσσον ἑνὸς, τό με καὶ εἰν ὠμῷ γήραϊ θῆκε
ψυχὴν αἰνόμορον κλαίων, μάκαρ, αἰνὰ παθοῦσαν
ψυχὴν, ἣν ἅτε δένδρον ἐξετάνυσσ' ἐπὶ γαίης,
δένδρεον ὑψιπέτηλον ἀκηρεσίῳ παρὰ πηγῇ
ἱστάμενον πάρος, οὐδὲ βίας ἀνέμων ἀλεεῖνον,
ῥιζόθεν ἐγκατέβαλλε δυσαέος ἄσθματος ὁρμή[g]·
ὕδασι τ' οὐκ ἀγαθοῖς, ἅτε πήμασι τοῦδε βίοιο
δυσδαίμων Βελίαρ πολεμόκλονον αἰὲν ἐγείρων,
κέντρον ὄφις πικρὸν, δνοφόεν, θανάτοιο σοφιστής.
ἀλλά μ' ἄναξ ἐμὸν ἐμὸν, νόος, σθένος, ἥλιος, ἀλκὴ,
ζωὴ, κῦδος, ὅπλον, κάλλος, λόγος, εὔχαρις ἐλπὶς,
ἔγρεο καί μ' ἀνάστησον, ἐς οὔατα σὸν δ' ἔπος ἐς τάχος ἔλθοι,
νεκρὰ, μυδαλέα[h] καὶ εὔδρομος οἷά τε νεβρὸς
θρέξομαι ἀλκήεις, σθεναρὸς, καλὸς, εὔχαρις, ἡδὺς,
παντοίαις ἀρεταῖς κεκασμένος, ἴδρις ἁπάντων,

[e] Corr. πέσσων. [f] Leg. χείλεα. [g] ὁρμῇ Cod. [h] μιδαλεα Cod.

μητέρα σὴν φυγόδεμνον, ἐπήρατον, ἱκέτιν, ἁγνὴν,
καὶ μάκαρ, αἴδεο, γενοῦμαι [h], Λόγε, καί μ' ἐλέαιρε.

Μετάφρασις τῶν ᾠδῶν.

Ὠιδὴ α.

Αἰγυπτίων πόντωσις, ᾠδὴ Μωσέως,
Αἰγυπτίων ὄλεθρος, Ἰσραὴλ κράτος.

Ἄισωμεν ᾠδὴν τῷ κραταιῷ Κυρίῳ·
δόξης γὰρ ἐπλήρωσε τὴν οἰκουμένην,
τὴν ἵππον ὡς ἔρριψε καὶ τὸν δεσπότην
ἄρδην Φαραὼ πρὸς θαλασσίαν χύσιν.
οὗτος βοηθὸς καὶ σκεπαστὴς καὶ πρόμος,
στρέφων τὰ δεινὰ πάντα πρὸς σωτηρίαν·
οὗτος Θεός μου, καὶ μόνον καὶ δοξάσω·
Θεὸς πατρῷος· τοῦτον ὑψώσω μόνον.
ἔθραυσεν ἐχθροὺς δεξιὰ σὴ, Χριστέ μου·
ὕδωρ διέστη πνεύματός σου τῇ βίᾳ·
ἔκρυψε πόντος ἐκκρίτους ἱππηλάτας·
εἰς τεῖχος ἐρράγησαν αἱ ῥευσταὶ φύσεις·
γλώσσας μεγίστας εἷλες, ὀφρῦν βαρβάρων.
ἄβυσσος ἐκπέπωκε τοὺς ἀνουστάτους·
σφοδρῶς ἔδυσαν ὡς μόλιβδος εἰς βάθος.
ἦξας δὲ λαὸν ἔκκριτον σὸν χειρί σου,
ἐχθρῶν ἀνοίκτων ἐξέσωσας μυρίων.
ᾤκισας εἰς γῆν ἡδονῶν πηγὴν ὅλην.
ὤδιναν ἔθνη, καὶ παρωργίσθη γένη
οἰκοῦντα κύκλῳ καὶ λάτραι Θεῶν νόθων.
εἴληφε Μωὰβ καὶ Φυλιστιεὶμ τρόμος·
ἔφριξε πᾶς τις σῶν βραχιόνων σθένος·
ἕως παρῆλθον οὓς ἐκληρώσω μόνους,
εἰς γῆν ποθεινὴν ἣν ἐπηγγείλω πάλαι.
ἀνθ' ὧν κροτοῦντες κυμβάλοις καὶ τυμπάνοις,
ψαλτηρίοις, φόρμιγξιν, ὀργάνοις, λύραις,

[h] Leg. γουνοῦμαι.

καὶ πᾶσιν ἄλλοις εἴδεσι μουσουργίας,
νίκας, τρόπαια, δόξαν ᾄδομεν, μόνῳ
σοὶ τῷ κρατοῦντι καὶ θεῶν Θεῷ μόνῳ·
οἷς εἰς θάλασσαν ἵππον, ἁρματηλάτας
ἔκρυψας ὡς φάλαγγα Φαρωνῖτιν.
ὁ δ' Ἰσραὴλ ὥδευσε τὴν ὑγρὰν χύσιν,
ξηρὰν καθώς περ πεζὸς, ὑμν̀ σ̀ πα[k].

Ὠιδὴ β.[l]

Οὐρανὲ πρόσχες, γῆ δ' ἐνωτίσθητί μου·
καὶ συγκατέλθοι[m] φθέγμα τοὐμὸν ὡς δρόσος,
ὡς ὄμβρος ἐπ' ἄγρωστιν, ὡς νιφὰς χλόῃ.
εἷς ἐστιν ἡμῖν, εἷς Θεὸς, Θεὸς μόνος,
σοφὸς, δίκαιος, πιστὸς, ἰσχυρὸς μόνος.
ὁδοὶ δὲ τούτου καὶ τρίβοι πᾶσαι κρίσεις.
οὗτος δὲ λαὸς μωρὸς, οὐ σοφὸς κρίσιν,
λαὸς πονηρὸς καὶ παρεκτετραμμένος.
ποίων καλῶν τίνουσι Κυρίῳ γέρα;
οὐκ αὐτὸς οὗτος σῶμα σὸν διαπλάσας,
καὶ χερσὶ πήξας καὶ διαρθρώσας μέλη;
υἱόν τε τάξας καὶ πατὴρ κεκλημένος·
ἀρχήν τε σοὶ δοὺς τῶν ὁρωμένων ὅλων;
ἄφες τὰ κοινὰ καὶ σκόπει τῶν σῶν ὅσα.
πατὴρ ἐρεῖ σοι ταῦτα, πρεσβύτης γέρων·
Ἀδὰμ τὸ πρῶτον ὡς διέσπειρε γόνους,
ἔνειμεν ἔθνη, καὶ καθίστα τοὺς ὅρους·
ἄλλους μὲν ἄλλοις ἀγγέλοις, ἐπιστάταις·
αὐτὸς δ' ἑαυτῷ κλῆρον εἴληχε μόνῳ,
τὸν Ἰσραὴλ σχοίνισμα, τοὺς Ἀβραμίδας·
ὀφθαλμὸς ἦν ἄγρυπνος αὐτῷ προσβλέπων·
πηγὴν ῥέουσαν τὴν ἄνυδρον δεικνύει·
παρεμβαλὼν ἕστηκας εἰς φρουρὰν κύκλῳ·

k Hæc non expedio. l In marg. τοῦ πάλιν γραφέντος ω$^{δ'}$ Μωσέως.
m Sic supra, sed in textu προσδοκάσθω.

ὡς ὄμματος τίς ἐξετήρησε κόρην·
ὡς ἀετὸς πτέρυξιν εὖ ἡπλωμέναις
συνεῖχεν αὐτοὺς, εἶχε καὶ μεταφρένων
ὕπερθε χρυσῶν, ὡς νεοσσοὺς ἠγάπα·
ἀνῆξεν εἰς γῆν ἰσχύος πεπλησμένην·
πολλῶν ἔπλησεν ἡδονῶν πικρὸν στόμα.
ἔλαιον ἐξέρρευσε καὶ μέλι πέτρας·
βοῶν καλὸν τύρωμα, θρεμμάτων γάλα,
ἀρνῶν, ἐρίφων, στέαρ ἐκ μόσχων νέων.
αἷμα σταφυλῆς ἡδὺ, τοῦ πυροῦ κράτος
ὡς χόρτον εἶχον, πάντα πᾶσιν ἐτρύφων.
πλησθεὶς Ἰακὼβ ἐξελάκτισε μέγα·
ὡς εὐτραφής τις, ὡς πλατύς τε καὶ μέγας,
ὡς πῶλος ἄττων τοῦ Θεοῦ παρετράπη·
κρημνοὺς δὲ καὶ φάραγγας εἶχε καὶ πέτρας·
ἔθυσε μικροῖς, φεῦ, θεοῖς, καὶ προσφάτοις,
θεοῖς βδελυκτοῖς, οὓς ἔγνωσαν οὐδέπω.
λιπὼν τὸν τεκόντα καὶ σώζοντά σε
θεοὺς ἐποίεις τοὺς τεκόντας τὴν πλάνην.
εἶδε τὸ φρικτὸν ὄμμα καὶ ζηλοῖ μέγα·
θυμοῦ γεμισθὲν, εἶπεν, ἐξαποστρέψω
πρόσωπον ἰδοὺ, τοῖς στραφεῖσι τὰς φρένας·
πῦρ ἐκκέκαυται, θυμὸς[l] ἤρθη καὶ φλέγη
καὶ γῆν φάγη, καρπούς τε καὶ τὰ γῆς βάθη,
καὶ πᾶν συνάξω δεινὸν εἰς αὐτοὺς τάχος·
πᾶν ἐκκενώσας τῆς φαρέτρας μου βέλος[m]·
λιμῷ τακήσῃ, βρῶσις ὀρνέων ἔσῃ·
γένος πονηρὸν, πλῆρες ἰοῦ θηρίον,
πικραῖς τεμνόντων συντελεσθείσῃ πάθαις[n].
στελῶ κατ' αὐτῶν θῆρας ἠγριωμένους,
ἔξω μαχαίρας, ἐν ταμείοις τοὺς φόβους,
ὁμοῦ δὲ πάντα, παρθένῳ νεανίας,
καὶ σὺν γέροντι μαστὸν ἕλκον παιδίον.

[l] Leg. θυμός. [m] Sic supra, sed in textu λόγε. [n] Leg. συντελεσθήσῃ σπάθαις.

εἶπον διασπερῶ σε, θήσω νωνύμους,
εἰ μὴ δι' ὀργὴν βαρβάρων παραφρόνων,
μακροχρονούντων, μὴ συνεκτρίψωσί σε,
καὶ κομπάσωσι, καὶ λαλήσωσι μέγα.
ἡμῶν ἔδρασε ταῦτα χεὶρ, οὐ κηρίου·
ἔθνος γὰρ ἄφρον καὶ παρεκτετραμμένον·
ἐσύστερον δὲ ταῦτα γενήσονται τάχα.
διώξεται γὰρ εἷς μόνος πῶς χιλίους,
καὶ μυρίους κλίνουσι πῶς μόνοι δύο·
εἰ μὴ Θεὸς πέπρακεν αὐτοὺς εἰς φθόνον,
καὶ χερσὶν ἐκδέδωκε ταῖς ἐναντίων.
Θεοὶ γὰρ αὐτῶν οὐδὲν ἶσοι μόνῳ.
παραφρονῆ, μέμηνας, ἔθνη τὰ ξένα,
οἷς ἄμπελος μὲν Σοδόμων καὶ Γομόρρας,
χολῆς σταφυλὴ, πικρίας πλήρης βότρυς,
θυμὸς δρακόντων οἶνος, ἰὸς ἀσπίδων.
οὐ συμφορήσας ἐσφράγισα ταῦτά μοι,
καὶ πάντα κεῖται νῦν τεθησαυρισμένα·
ἐν ἡμέρᾳ τίσουσι ταῦτα τῆς δίκης.
ὁ καιρὸς ἐγγὺς, ἠκόνηται τὸ ξίφος,
τὸ τόξον ἐντέτακα, τῇ νευρᾷ βέλος.
κρινεῖ αὐτοὺς Κύριος, καὶ τοῖς λάτραις
ὀφθαλμὸν ἡδὺν ἐμβαλεῖ πεφρικόσιν.
εἶδε γὰρ αὐτοὺς, ἐκτόπως παρειμένους·
ἐξηπορημένους τε καὶ λελοιπότας
ἰδὼν, ἔφησεν, οἱ θεοὶ ποῦ καὶ φίλοι
ἐφ' οἷς ἐθάρρουν, ἐξεκόμπαζον μέγα·
ὧν θυσιῶν τὸ στέαρ, ὧν σποδῶν ῥύσιν;
εἰς πλῆρες εἶχον ἡδὺ βρῶμα καὶ πόμα·
οὗτοι γενέσθων σύμμαχοι καὶ προστάται·
οὐκ ἔστι, γνῶτε, πλὴν ἐμοῦ Θεὸς μόνος·
οὐκ ἔστι κἂν δράμητε γῆν τε καὶ πόλον.
ἐγὼ τελευτῆς καὶ πνοῆς ὁ ταμίας·
ἐγὼ πατάσσω· φάρμακον δὲ τραυμάτων
ἐγὼ τίθημι· τίς σε χειρῶν ἐξέλοι

ἐμῶν κρατουσῶν γῆς, πόλου καὶ τῶν κάτω;
αἴρω πρὸς ὕψος χεῖρα, τοῦτο δ' ὀμνύων
ζῶ, καὶ χρονίζω κρεῖττον αἰώνων ὅλων·
ζωὴ δὲ μᾶλλον καὶ πνοὴ πάντων ἔφυν.
ἐμὴν μάχαιραν ἀστραπῆς τιθῶ φλόγα·
ἀνθέξεται δὲ χεὶρ ἐμὴ τῶν κριμάτων·
καταξανῶ μάστιξι τοὺς ἀποστάτας·
βέλη μεθύσω τῶν βροτείων αἱμάτων,
καὶ τὴν ἐμὴν μάχαιραν ἐκ τῶν σωμάτων.
οὕτω στρατηγήσαντος ἄρτι Κυρίου
σκιρτᾷ μὲν αἰθὴρ, οὐρανὸς σὺν ἀγγέλοις,
καὶ προσκυνεῖτε [m] πᾶσα τῷ κτίστῃ κτίσις·
ἔθνη χάρητε, κλῆρος, υἱοὶ Κυρίου.

Ὠιδὴ γ.

Ὡς [n] ἐκρατύνθην Κυρίῳ τὴν καρδίαν,
ἤρθη κέρας μου τῷ Θεῷ, καὶ τὸ στόμα
ἐξεπλατύνθη, καὶ κατ' ἐχθρῶν ἰσχύει.
οὐκ ἔστιν οὐδεὶς Κύριος πλὴν σοῦ μόνου·
δίκαιος οὐδεὶς, ὡς σύ μοι Θεὸς μόνος.
ταῦτ' οὖν ὁρῶντες, τοὺς ὑπερκόμπους λόγους
ἐκκλινέτω πᾶς, μηδὲ χειλέων πρόῃ [o],
μηδ' ὄγκον ἄρῃ, μὴ φρεσὶ μὴ καρδίᾳ.
Θεὸς γὰρ οὗτος γνώσεων ὁ δεσπότης,
τέχναι δ' ἕτοιμοι τῷ τεχνουργῷ τῶν ὅλων.
τόξον κραταιῶν ἠσθένησεν εἰς τέλος·
οἱ δ' ἀσθενοῦντες ζωννύονται τὸ κράτος.
τίκτει μὲν ἑπτὰ κοιλία στειρουμένη·
ἄλλη δ' ἄτεκνος, ἡ πρὶν εὐτεκνουμένη.
πεινῶσιν ἄρτων, οἱ πρὶν ἐμπεπλησμένοι.
πεινῶντες οἱ πρὶν, γῆν παρῆκαν ἐκ κόρου.
Θεὸς χορηγὸς καὶ τελευτῆς καὶ πνοῆς·
βάλλει καθ' ᾅδου, πρὸς τὸ φῶς ἕλκει πάλιν·

[m] Leg. vid. προσκυνεῖται. [n] In marg. Ἄννας Σαμουὴλ μητρὸς εὐχαριστίας. [o] Sic.

ὑψοῖ, ταπεινοῖ, πτωχίσας καὶ πλουτίσας·
πένιτας ἐκ γῆς ἐξανιστᾷ κοπρίας·
πτωχοὺς ἐγείρει, κυκλικῶς πάντα στρέφει·
θρόνοις δυναστῶν ἐγκαθίζει τοὺς κάτω·
εὐχάς τε πληροῖ καὶ δικαίων τοὺς χρόνους
ἐπευλογεῖ, δίδωσιν εὐετηρίαν.
ἰσχυρὸς ἀνὴρ οὐκ ἐνισχύει σθένει·
Θεὸς δὲ τούτου συμπατεῖ τὸν ἐνστάτην.
μηδεὶς φρεσὶ γοῦν μηδὲ πλούτῳ μὴ βίᾳ
σοφὸς, κραταιὸς, πλούσιος, σθένων μέγα,
μέγα φρονείτω· πάντα ῥεῖ, πάντα στρέφει.
φόβος Θεοῦ, βέβαιον ἐν βίῳ μόνον·
τῆς ἀρετῆς ἡ κτῆσις οὐ θνήσκει χρόνῳ.
εἰς οὐρανοὺς ἀνῆλθε Κύριος, βροντᾷ μέγα,
ἐξ ὑστέρου γῆς ἄκρα κρήνῃ σὺν δίκῃ.
οὗτος παρέξει τοῖς κρατοῦσι τὸ κράτος.
κέρας δὲ χριστῶν οὐρανοῦ θήσει μέχρι.

Ὠιδὴ δ.

Τοῦ δεσπότου σάρκωσιν Ἀμβακοὺμ ἔφη.

Φήμης με τῆς σῆς ἔσχε Κύριε τρόμος·
ἔργων δὲ τῶν σῶν θάμβος ἐξέστησέ με·
ὡς γνωστὸς ἡμῖν ἐν δυσὶ ζωαῖς ἔσῃ·
ὡς ἐκφανὴς δὲ τῶν χρόνων ἐπ' ἐσχάτων·
καιρῷ δὲ λάμψεις καὶ φόβῳ πεφρικότος
οἴκτου σὺ μνήσῃ καὶ καταστείλῃς δέος·
ὡς ἐξανίσχεις γῆς ἑώας φωσφόρος,
λέων καθώς περ ἐξ ὄρους κατασκίου.
σῆς ἀρετῆς ἔκρυψεν οὐρανοὺς πλάτος·
ἔπλησε δόξης τὴν ὅλην οἰκουμένην
οὗ φέγγος ὡς φῶς, χερσὶν ἰσχύος κέρας,
φίλκτρον κραταιὸν, οἶκτος οὐκ ἔχων πέρας·
οὗ πρὸ προσώπων ἐκπορεύσεται λόγος·
παιδευτικὴ μάχαιρα, δίστομον ξίφος.

ἔστης, ἐπείσθη[o] χθὼν, ἐπεῖδες, τήκεται
ἔθνη κραταιά· τῇ βίᾳ διεθρύβη
ὄρη, πετρῶν τε σκληρότης διερράγη.
πᾶς ἐπτοήθη Μαδιὰμ, πᾶς Αἰθίοψ.
καθ' ὑδάτων στείλειας ὀργήν. μὴ σύγε,
θυμὸς δὲ τοῖς ῥέουσι μὴ σὸς ἐμπέσοι,
μηδ' ἐν θαλάσσῃ σὴ παρόρμησις, μέδον.
ἔβης ἐφ' ἵππους, ἱππάσῃ σωτηρίαν·
τενεῖς τὸ τόξον, καὶ κατὰ σκήπτρων βαλεῖς·
ῥαγήσεται γῆ ναμάτων ἀειρρύτων.
ὠδὶς ἐπέλθοι τοῖς βλέπουσι σὴν χάριν·
καὶ συνταράξεις ὑδάτων τὰς πλημμύρας·
φωνὴν ἄβυσσος ἦρεν, ὑψώθη μέγα·
ὁ φωτὸς ἄρχων ὡς παρίππευσε κάτω·
ἔστη πρὸς αὐγὰς ἡ σελήνη τοῦ πόλου.
σὴ καὶ βολὶς φῶς, ἀστραπῆς δὲ πῦρ ὅπλον·
γῆν ἐξερημοῖς σαῖς ἀπειλαῖς, σῷ χόλῳ
ἔθνη κατάξαις· ἦλθες εἰς σωτηρίαν
λαοῦ τε τοῦ σοῦ τῶν τε σοὶ κεχρισμένων·
βάλλεις κατ' ἐχθρῶν δυσμενεστάτων μόρον.
δεσμοῖς τραχήλους, συντρίβεις τοὺς αὐχένας·
κάρας δυναστῶν ἐκτέμνεις ἐν ἐκστάσει·
καὶ σεισμοὺς αὐτοὺς λήψεται τῆς καρδίας.
χαυνοῦσιν οἷα πτωχὸς ἐσθίων λάθρα·
ἵππους δὲ τοὺς σοὺς εὐδρομεῖν καθ' ὑδάτων
δέδωκας ὑγρὸν συνταράττοντας κύτος.
κατεπλάγην, ἔφριξα, καὶ συνεστάλην·
οἷς θεσπιῳδῶ καὶ τὸ μέλλον προβλέπω·
εἰσῆλθεν αὐτῶν μέχρις ὀστέων τρόμος·
συνεκλονήθην καὶ βάθος τῆς ἰσχύος.
χαρήσομαι τὸ πνεῦμα, καιρῷ τῶν πόνων
εἰς λαὸν ἔλθω τῆς ἐμῆς παροικίας.
δι' ὧν συκῆ γλυκεῖα καρπῷ μὴ βρίσει,

[o] Fors. ἐσείσθη.

μηδ᾽ εὐφορήσει βότρυς ἐν ταῖς ἀμπέλοις·
ψευσθήσομαι δὲ ταῖς ἐλαίαις προσβλέπων,
καὶ τῆς ἀρούρας βρῶσις οὐ πλήσει στόμα·
καὶ θρεμμάτων τὸ πλῆθος ἐκλέλοιπά μοι
λιμῷ τακέντων, καὶ βοῶν κενὴ φάτνη·
ἐμοὶ δὲ δόξα Κύριος χαρὰ, σθένος,
εἰς συντέλειαν τῶν καλῶν τάττων πόδας,
τιθεὶς πρὸς ὕψος ὥστε νικᾶν ἐν μέλει.

Ὠιδὴ ε.

Ἡσαΐου πρόρρησις, εὐχὴ τὸ πλέον.

Ἐκ νυκτὸς αὐγὴν εἶδε σὴν τὸ πνεῦμά μου,
φῶς γὰρ νόμος σὸς τοῖς ἐφημέροις Λόγε.
οἱ γῆς ἔνοικοι, γνῶτε τὴν ἴσην κρίσιν·
ἰδοὺ πέρας γὰρ ἔσχε τῶν τολμημάτων
πᾶς δυσσεβὴς, ὃς οὐ διδάσκεται κρίσιν,
οὐδ᾽ ὀρθὸν οἶδεν ἔργον ἐν γῇ καὶ λόγον.
ἤστραψε Χριστὸς, δυσσεβὴς πᾶς ἐρρέτω·
ὡς αἰσχρὸν ὄμμα δόξαν ἁγνὴν οὐκ ἴδῃ.
ὡς ἦν κραταιὸς σὸς βραχίων, Χριστέ μου·
καὶ τοῦτον οὐκ ᾔδεισαν οἱ τολμητίαι·
πλὴν γνόντες οἰμώζουσι, καὶ σὺν αἰσχύνῃ
ζῆλος καθέξει λαὸν ἠγριωμένον.
καὶ λήψεται πῦρ ὡς τροφὴν ἐναντίους.
ὃς πᾶν καλὸν δέδωκας, εἰρήνην δίδου,
σὸν πλάσμα πλάστης ἐξαναπλάσαις τάχος·
οὐκ ἴσμεν ἄλλον πλὴν μόνου σοῦ δεσπότην.
ὡς οὐ πάλιν πνεύσουσιν οἱ τεθνηκότες,
οὐδ᾽ ἰατροὶ σώσουσι νεκροὺς ἐκ τάφου·
ἀνθ᾽ ὧν ἐπάξεις, ἐξολοθρεύσεις, ἄρης
πᾶν ἄρσεν αὐτῶν [p], καὶ κατάξεις εἰς τάφον.
τοῖς γῆς κραταιοῖς δεινὰ πρόσθες, Χριστέ μου,
πρὸς σὲ βλέπουσιν οἱ φόβῳ πεφρικότες·

[p] αὐτ̃ sic.

παιδευτικὴ σὴ ῥάβδος εἰς μικρὸν δέος,
τίκτουσαν ὥσπερ ἔσχεν ὠδὶς καὶ μόγος,
δριμύς τις ὀξὺς ῥήγνυσι, βοᾷ μέγα.
καὶ σὴ κατέστη μοῖρα τοιουτοτρόπως,
τὸν σὸν φόβον συνέσχε γαστρὶ καρδίας,
ὤδινε, τίκτει πνεῦμα τῆς σωτηρίας.
οὐδεῖ πεσεῖται πᾶς τις ὁ βλέπων ἄνω,
οἱ γῇ πεσοῦνται τῇδε προστετηκότες,
πνεύσουσι νεκροὶ, καὶ παλαιῶν μνημάτων
οἰκήτορες λήψουσιν ἅλμασι λίθους·
πλησθήσεται δὲ χαρμονῆς πᾶσα κτίσις.
ἴαμα πᾶσι τοῖς βροτοῖς ἡ σὴ δρόσος·
μόνη πεσεῖται δυσσεβῶν κατοικία.

Ὠιδὴ ζ.

Ἐκ θηρὸς ἐκραύγασεν Ἰωνᾶς τάδε.

Πρὸς Κύριον κέκραγα συσχεθεὶς πόνοις·
κακεῖνος εἰσήκουσε καὶ φθάνει τάχος.
ἤκουσε κραυγῆς κοιλίας ἐκ ταρτάρου.
ῥίψας θαλάσσης εἰς βάθη με καρδίας
κυκλοῖ ποταμοῖς, ὑδάτων πλῆθος χέει,
ἱκνούμενόν μου πνεύματος καὶ καρδίας·
ἐμοῦ διῆλθε πάντα τῶν σῶν κυμάτων·
ἔφην ἀπῶσμαι, Χριστέ μου, σῶν ὀμμάτων.
ὕδωρ κατέρρει τῆς ἐμῆς ψυχῆς μέχρι·
ἄβυσσος ἐσχάτη με κυκλοῖ τὸν τάλαν.
σχισμαῖς πετρῶν ἔδυσα καὶ γῆς πυθμένας
ᾤκησα, μοχλοὺς εἶδον ἀρρήκτους πάλαι.
ἀλλ' ἐκ φθορᾶς φῶς ἡ ζωή μου βλεψάτω,
σὲ τὴν γλυκεῖαν τῶν ὁρώντων ἡμέραν
ὡς ἐκπνέειν ἔμελλον, ὡς λιπεῖν βίον,
ἀνεπτερώθην νῦν λαχὼν τὸν δεσπότην·
ἐμὴ προσευχὴ πρὸς θρόνον τὸν σὸν δράμοι,
καὶ σοῖς ἀχράντοις εὐθὺς ὦσιν ἐμπέσοι.
ἔλειψαν ὡς ἔλαιον αὐτῶν οἱ μάτην

λαλοῦντες ἢ φρονοῦντες οἱ πλήρεις φθόνου.
ἐγὼ δὲ θύσω δόξαν, αἶνον χειλέων,
δάκρυ, προσευχὴν, συντριβὴν τῆς καρδίας·
καὶ πάντα δώσω θᾶττον ὡς ὑπεσχόμην,
σοὶ σῶστρα τίνων τῷ κρατοῦντι τῶν ὅλων.

Ὠιδὴ ε.

Δρόσος καμίνου, τῶν τριῶν αἶνος νέων.

Ὡς εὐλογητὸς, αἰνετὸς, δόξης γέμων
Θεὸς πέφυκας, ὁ πρὶν ὀφθεὶς πατράσι,
Θεὸς κραταιὸς, φρικτὸς, οἰκτίρμων γέμων.
δίκαιος εἶ τὰ πάντα, καὶ πᾶσαι κρίσεις
αἱ σαὶ δίκαιοι, πᾶσα δ' εὐθεῖα τρίβος,
καὶ πᾶσα πρᾶξις εἰς ἀλήθειαν βλέπει.
καὶ πάντα νῦν ἐπῆξας ἡμῖν σὺν δίκῃ,
ἡμῖν τε καὶ σοῦ τῇ πανολβίῳ πόλει·
πόλει κραταιᾷ φιλτάτων σου πατρίδι.
πολλὰς δίκας σοὶ τίνομεν[q] τολμημάτων,
ὡς ἐξαπεστράφημεν, ὡς ἀποστάται
ὤφθημεν ἐκ σοῦ, τοὺς τεθέντας σοι νόμους
πατοῦντες οὐκ ἔγνωμεν· οὐ προσταγμάτων
τῶν σῶν ἐπεστράφημεν, οὐδὲ καρδίαις
κεκρυμμέναις συνείδομεν τὰ πρακτέα.
δι' ὧν δικαίως ἐξετόξευσας βέλος
ἅπαν καθ' ἡμῶν, πᾶν ἐπῆξας σὺν κρίσει·
δέδωκας ἡμᾶς χερσὶ δυσμενεστάταις
ἐχθρῶν ἀπίστων, ἐκνόμων, μιαιφόνων·
δεινῷ βασιλεῖ καὶ τυραννικωτάτῳ,
νικῶντι πᾶσαν ἐν πονηρίᾳ χθόνα·
οὐκ ἔστιν ἡμῖν οὖν διᾶραι τὸ στόμα,
χλεύη, γέλως, ὄνειδος, αἰσχύνη, κόπρος
πᾶσι δικαίως σοῖς κατέστημεν λάτραις.
μὴ δὴ παραδῷς εἰς τέλος μαστιγίας·

[q] τείνομεν Cod.

ὅρκους δὲ τοὺς σοὺς σκορπίσῃς εἰς ἀέρα,
οἶκτον τὲ τὸν σὸν ἐξαποστήσῃς ὅλως.
σὴν κλῆσιν αἰδέσθητι καὶ τὴν σὴν φύσιν
δι' Ἀβραάμ· τὸ φίλτρον Ἰσαὰκ, λάτριν
σὸν Ἰσραὴλ, τρὶς ἡ τριὰς πρέσβεις δέχου
οἷς καὶ προσεῖπας σπέρμα πληθῦναι τόσον,
ψάμμον θαλάσσης ὥσπερ, ἄστρα τοῦ πόλου.
δι' ὧν, βασιλεῦ, ἐσμὲν ἠπορημένοι,
σμικροὶ, ταπεινοὶ, δυστυχεῖς, ἀπωσμένοι
ἔθνους τὲ παντὸς, γῆς ὅλης ὑβρισμένοι
μάστιξι πολλαῖς, οἷα ταῖς ἁμαρτίαις·
οὐκ ἔστιν ἄρχων, οὐ προφήτης, οὐδέ τις
ποιμὴν, δικαστὴς, ἱερεὺς, στρατηγέτης·
οὐ θυμίαμα προσφορὰ καὶ θυσία,
οὐ ναὸς, οὐδὲ βωμὸς, ὥστε καὶ θύσαι
κάρπωμα δεκτὸν, καὶ γόνυ κλῖναι κάτω,
καὶ τὸν σὸν οἶκτον ἑλκύσαι παραυτίκα.
ἀλλ' ἀντὶ πολλῶν ταῦτα θυμάτων δέχου
ψυχὴν ταπεινὴν, πνεῦμα συντετριμμένον,
πηγὰς ῥεούσας δακρύων, ἐξ αἱμάτων
ταύρων καθώς περ μυριάδας καὶ τράγων,
σκαίροντας ἀρνοὺς, πίονας μόσχους νέους·
οὕτως παρ' ἡμῶν τὰς ἀναίμους θυσίας
ὡς τερπνὰ δῶρα καὶ δέχου καὶ προσδέχου.
οὐ γὰρ καλύψει τὸ πρόσωπον αἰσχύνη
τῶν σοὶ τὸ θάρσος εἰσαεὶ τεθεικότων.
καὶ νῦν ποθοῦμεν ἐξ ὅλης σε καρδίας
καὶ φρίσσομέν σε, καὶ θέας ἠρτημένοι
τῆς σῆς ὄπισθεν ὥσπερ ἐκπεπληγμένοι,
δριμεῖς ἐρασταὶ σοὶ βοῶμεν ἐκ βάθους·
μὴ δὴ παρόψει, μὴ καταισχύνῃς λάτρας,
δράσον μεθ' ἡμῶν, οἷα χρηστὸς τὴν φύσιν,
πρᾶος, προσηνὴς, ἵλεως, οἴκτου γέμων,
θαυμαστὸς ἰσχὺν, δόξαν ἠμφιεσμένος,
μετατραπείη τοῖς κακούργοις ἡ δίκη,

τὴν ἐντροπὴν λάβοιεν οἱ τολμητίαι.
λήψοιτο δεινὰ, δεινὰ τοὺς εἰργασμένους[r].
λήψοι τὸ πρόσωπον αὐτῶν αἰσχύνη·
πάσης πέσοιεν ἐκ δυναστικῆς βίας,
καὶ συντριβείη πᾶν τὸ τῆς ῥώμης κράτος.
γνώτωσαν ὡς σὺ Κύριος Θεὸς μόνος,
Θεὸς κραταιὸς, γῆς ὅλης δόξης ὅλος.
οἱ τρεῖς μὲν οὕτως εὐσεβεῖς νεανίαι.
οἱ δ' ἐμβαλόντες εἰς κάμινον τοὺς νέους,
βάλλοντες οὐκ ἔλειπον οἷς περ τὴν φλόγα
εἰς ὕψος ἦρον, ἑπτάκις πυργουμένην.
ἐξ ἑπτὰ πηχῶν ἔβρεμε τὸ πῦρ μέγα,
ἡ φλὸξ ἐχεῖτο, καὶ διέτρεχε κύκλῳ,
φλέγει δὲ πάντας ὥσπερ εὗρε καὶ κύκλῳ,
δεινοῦ τυράννου δημίους ὑπηρέτας·
καὶ συγκατῆλθε τοῦ Θεοῦ παραστάτης·
οὗτος ῥαπίζει τὴν κάμινον κυκλόθεν
φαιδρὸς, ῥιφεῖσι τοῖς νέοις εἰς τὴν φλόγα,
ὃς ἐκτινάσσει τῆς καμίνου τὴν φλόγα,
μέσον δὲ πνεῦμα τῆς καμίνου πνεῖ δρόσου
ψύχον τι[s] τερπνὸν καὶ συρίζον ἠρέμα.
τὸ πῦρ μερισθὲν φῶς παρεῖχε τοῖς νέοις·
τὸ καυστικὸν δὲ τοῖς ἀνάψαυσι μόνοις,
συνεῖχεν ὡς θάλαμος ἡδὺς τοὺς νέους,
ἔφλεξεν οὐδὲν, οὐ παρηνώχλησέ τι,
δεσμοὺς ἔκαυσε, τῶν τριχῶν ἀπέσχετο.
τότε κροτοῦντες εὐσεβῶς οἱ τρεῖς ἅμα
μιᾷ τε γλώσσῃ καὶ μιᾷ προθυμίᾳ
πλέκοντες ἦσαν αἶνον, ὕμνουν, εὐλόγουν,
εἶχον χορείαν, ᾖδον εὐχαριστίαν.
καὶ ταῦτα τερπνῶν ἐξεφώνουν χειλέων.
ὡς εὐλογητὸς, ὡς ὑμνητὸς, ὡς μέγας
Θεὸς κραταιὸς, Κύριος παντοκράτωρ.

r ἠργασμ. Cod. s ψύχοντι Cod.

Θεὸς παλαιὸς τῶν πάλαι γεννητόρων,
ὑψηλὸς, ὕψους παντὸς, αἰώνων ἄνω,
καὶ κλῆσις εἰς ἄπειρον αἰώνων τέλος,
νικῶσα δόξαν, ὕμνον, ὕψος καὶ χρόνον.
βλέπων ἄνωθεν τῆς ἀβύσσου πᾶν βάθος·
θρόνῳ Χερουβὶμ ἐγκαθήμενος φλέγων,
ὡς εὐλογητὸς, ὡς ὑμνητὸς, ὡς μέγας·
ὃν εὐλογοῦσιν οὐρανοὶ γῆ καὶ νόες·
ὡς εὐλογητὸς, ὡς ὑμνητὸς, ὡς μέγας.

ᾨδὴ η.

Τὰ κτιστὰ τὸν κτίσαντα Χριστὸν εὐλόγει,
ὑψοῦτε, δοξάζοιτε, μέχρι τερμάτων.
πόλος Θεοῦ, νόες τε, τὸν Θεοῦ Λόγον
ὑψοῦτε, δοξάζοιτε μέχρι τερμάτων.
ἅπαν τὸ ῥευστὸν, πᾶσα τῶν ἄνω φύσις, [ὑψοῦτε]
ἄστρων, σελήνης κάλλος, ἡλίου φάος, [ὑψοῦτε]
πᾶν πνεῦμα, καὶ πᾶς ὄμβρος ἢ πᾶσα δρόσος, [ὑψοῦτε]
καύσων, ψύχος, πῦρ, καῦμα καὶ φλὸξ ἡλίου, [ὑψοῦτε]
φῶς καὶ σκότος, πῦρ ἡδὺ, φέγγος ἡμέρας, [ὑψοῦτε]
πάχναι, κεραυνοὶ, χιόνες, πάγοι, νέφη, [ὑψοῦτε]
ὄρη, λόφοι, γῆ πᾶσα, πᾶσα γῆς φύσις, [ὑψοῦτε]
πηγαὶ, θάλασσα, τῆς ὑγρᾶς πᾶν θηρίον, [ὑψοῦτε]
θῦται, προφῆται καὶ λάτραι, νεωκόροι, [ὑψοῦτε]
ψυχαὶ δικαίων, αἱ πνοαὶ τῶν κειμένων, [ὑψοῦτε]
οἱ ζῶντες ἁγνῶς, οἱ ταπεινοὶ καρδίᾳ, [ὑψοῦτε]
Ἀνανία τε Μισαὴλ, Ἀζαρία, [ὑψοῦτε]
στίφος προφητῶν, μαρτύρων, ἀποστόλων [ὑψοῦτε]
τὸν φύντα, τὸν φανέντα, πνεῦμα, τὰ τρία,
εἷς Κύριος, σέβοιμεν ἓν καὶ τὸ κράτος,
νῦν καὶ πρὶν καὶ εἰς αἰῶνας αἰώνων ἀμήν.

Ὠιδὴ θ.

Ὠιδὴ θεάνδρου μητροπαρθένου κόρης.

Ψυχὴ, σέμνυνε δεσπότην, τὸ πνεῦμά μου
ἀγαλλία, χόρευε, χαῖρε καὶ κρότει.
ἐπεῖδε καὶ γὰρ Κύριος πρὸς τὴν λάτριν,
καὶ τὴν ταπεινὴν ἦρεν εἰς ὕψος μέγα·
τέθεικε θαῦμα τῆς ὅλης οἰκουμένης·
ἰδὲ κλεΐζει πᾶν γένος με, πᾶν ἔθνος·
μέγιστά μοι δέδρακε καὶ κρείττω λόγου·
οὗ δόξα, κλῆσις, οἶκτος οὐκ ἔχων ὅρον.
ἔδειξεν ἡμῖν τὸ κράτος βραχιόνων.
εἷλε δυνάστας ἐκ θρόνων, καὶ τοὺς κάτω
ὕψωσεν ἐκ γῆς, ἐξέπλησε γαστέρας
λιμῷ τακείσας, ἐξέτηξε τὴν ὕβριν·
τοῦ παιδὸς ἀντίληψις Ἰσραὴλ ἔφυ,
καθὼς προεῖπε τοῖς παλαιοῖς πατράσι,
πρὸς Ἀβραάμ τε καὶ σεμνοῖς Ἀβραμίδαις.

Ζαχαρίου θέσπισμα καὶ χρησμῳδία.

Ὡς εὐλογητὸς, Ἰσραὴλ, ὁ δεσπότης,
οἷς εὐμενῶς ἐπεῖδεν οἰκείους λάτρας,
καὶ παιδὸς οἴκῳ Δαῒδ ἤγειρε κέρας·
δέδωκε καὶ λύτρωσιν αὐτοῖς, ὡς ἔφη
γλώσσαις προφητῶν, πατριαρχῶν μακρόθεν,
ἐχθρῶν παρασχεῖν δυσμενῶν σωτηρίαν,
οἶκτον τεκόντων· καί τε μνησθῆναι λόγων,
ὅρκου θ' ὃν εἶπεν Ἀβραὰμ δοῦναι πάλιν,
ῥυσθεῖσιν ἡμῖν χειρὸς ἐξ ἐναντίων,
αὐτῷ λατρεύειν καὶ μόνῳ ζωῆς χρόνους.
σὺ δὲ προφήτης, παιδίον, Θεοῦ γένῃ,
καὶ πρὸ προσώπου προσδραμῇ τοῦ Κυρίου
λίθους διᾶραι, τὰς ὁδοὺς ἑτοιμάσαι,
γνῶσίν τε δοῦναι πᾶσι τῆς σωτηρίας,
λύτρον δι' οἶκτον πταισμάτων εὑρηκόσιν.

ἐν οἷς ἰδόντες οἱ καθήμενοι σκότει
ἐπισκοπῆς φῶς ὑψόθεν διαυγάσαν,
πόδας κατευθύνωμεν εἰς θείας τρίβους.

Παντοίην βιότοιο τάμοις τρίβον· εἰν ἀγορῇ μὲν
κύδεα καὶ πυνητὸν[q] πρήξιες· ἐν δὲ δόμοις
ἄμπαυμ'· ἐνδ' ἀγροῖς φύσιος χάρις· ἐν δὲ θαλάσσῃ
κέρδος· ἐπὶ ξένης, ἢν μὲν ἔχῃς τί, κλέος·
ἢν δ' ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον; οἶκος ἄριστος
ἔσεται. οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερος.
τέκνα, πόθος· ἄφροντις ἄπαις βίος· αἱ νεότητες
ῥωμαλέαι, πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.
οὐκ ἄρα τῶν δισσῶν μόνον[r] αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν· πάντα γὰρ ἐσθλὰ βίου.

Ἡ Ἥρα τοῦ Ἡρακλέος θεωθέντος.

Σῆς ἀρετῆς ἱδρῶτι καλὴν ἀπέδωκεν ἀμοιβὴν
σὸς γενέτης, Ἥρακλες, ἐπεὶ πόνων ἄσχετον εὖχος
ἀνδράσιν οἶδεν ἄγειν μετ' ἀπείρονα κύκλον ἀέθλων.

Τοσοῦτον ὁ πλοῦς, καὶ μάτην· καὶ ποῦ πλέω;
ἐρυθριῶ γὰρ ὀλέσας τὴν φιλτάτην,
αἰσχρῶς φανῆναι τοῖς φίλοις ἐν πατρίδι.
ἆρ' οὖν τις αὐτὴν ἐξέκλεψε τῶν θεῶν
τεθαυμακὼς τὸ κάλλος; ὤμοι τῶν κακῶν·
πάλιν τέτρωμαι τῷ πόθῳ διπλασίως,
τὸ κάλλος εἰπὼν, τοιγαροῦν σιγητέον.

Ἥρη παμβασίλεια νεοζυγέων ὑμεναίων,
δέρκεο λυγρὸν ἔρωτα μαραινομένης Γαλατείης·
δέρκεο πικρὰ βέλεμνα κορυσσομένης Ἀφροδίτης·
ὁ πρὶν ἐρωμανέων στυγέει Γαλάτειαν ἰδέσθαι.

Τυνδαρέη κρητῆρα κερασαμένη παρὰ δεῖπνον

[q] Leg. πινυταί. [r] μόνων Cod.

δάκρυα Τηλεμάχου κατέσβεσεν ἐς μίαν ὥρην.
εἰ δὲ ῥόδα προσέμιξε παρηγορέοντι κυπέλλων,
εἶχε μένειν ἄκλαυστος ἕως νόστησεν Ὀδυσσεύς.

---

[s] Μὴ σύγ᾽ ἐπ᾽ ἀλλοτρίης, ἄνερ, ἵζοιο τραπέζης,
μῶμον ὀνείδειον γαστρὶ χαριζόμενος·
ἄλλοτε μὲν κλαίοντι καὶ ἐστυγωμένῳ ὄμμα
συγκλαίων, καὖθις σὺν γελόωντι γελῶν,
οὔτε σύ γε κλαυθμοῦ κεχρημένος, οὐδὲ γέλωτος,
καὶ κλαίω μὴ λίην, καὶ γελώω μὴ λίην.

---

[t] Αἴολον ἡμεροθαλλὲς ἔαρ φαίνουσα μέλισσα
ξουθὴ, ἐφ᾽ ὡραίοις ἄνθεσι μαινομένα,
χῶρον ἐφ᾽ ἡδύπνοον ποτωμένα, ἔργα τίθεσο,
ὄφρα τοὺς πλήθῃ κηροπαγὴς θάλαμος.

Εἰς Ἀφροδίτην.

[u] Τίς λίθον ἐψύχωσε; τίς ἐν χθονὶ Κύπριν ἐσεῖδεν;
ἵμερον ἐν πέτρῃ τίς τόσσον εἰργάσατο;
Πραξιτέλους χειρῶν ὅδέ πω πόνος, ἢ τάχ᾽ Ὄλυμπος
χηρεύει, Παφίης ἐς Κνίδον ἐρχομένης.

---

[x] Οὔτε σε Πραξιτέλης τεχνάσατο, οὔθ᾽ ὁ σίδηρος,
ἀλλ᾽ οὕτως ἔστης ὡς πάλαι κρινομένη.

---

[y] Τὰν ἐκφυγοῦσαν ματρὸς ἐκ κόλπων ἔτι,
ἀφρῷ τε μορφωροῦσαν εὐλεχῆ Κύπριν
εἰδὼς Ἀπελλῆς κάλλος ἱμερώτατον,
οὐ γραπτὸν, ἀλλ᾽ ἔμψυχον ἐξεμάξατο.
εὖ μὲν ἄκραις χερσὶν ἐκθλίβει κόμαν,
εὖ δ᾽ ὀμμάτων γαληνὸς ἐκλάμπει πόθος,
καὶ μαζὸς, ἀκμῆς ἄγγελος, κυδωνίας·

[s] Anth. Jacobs. II. 204. Ἀμμιανοῦ. [t] II. 200. Νικίου. [u] II. 674. Ἄδηλον· εἰς ἄγαλμα Ἀφροδίτης τῆς ἐν Κνίδῳ. [x] II. 675. Πλάτωνος. [y] II. 680. Λεωνίδου Ταραντίνου.

αὐτὰ δ' Ἀθάνα καὶ Διὸς συνευνέτις
φάγουσιν[z], ὦ Ζεῦ, λειπόμεθα τῇ κρίσει.

Περσεὺς κῆτος ὦλε, καὶ Ἀνδρομέδην ἐσάωσεν.

---

[a] Γυμνὴν εἶδε Πάρις με καὶ Ἀγχίσης καὶ Ἄδωνις·
τοὺς τρεῖς οἶδα μόνους, Πραξιτέλης δὲ πόθεν;

ΕἸΣ ἚΡΩΤΑ.

[b] Ποῦ τοι τόξον ἐκεῖνο παλίντονον, οἵτ' ἀπὸ σεῖο
πηγνύμενοι μεσάτην ἐς κραδίην δόνακες;
ποῦ πτερά; ποῦ λαμπὰς πολυώδυνος; ἐς τί δὲ τρισσὰ
στέμματα χερσὶν ἔχεις, κρατὶδ' ἐπ' ἄλλο φέρεις.

Ὁ ἜΡΩΣ.

Οὐκ ἀπὸ πανδήμου, ξένε, Κύπριδος, οὐδ' ἀπὸ γαίης
εἰμὶ, καὶ ὑλαίης ἔκγονος εὐφροσύνης.
ἀλλ' ἐγὼ ἐς καθαρὴν μερόπων φρένα πυρσὸν ἀνάπτω
εὐμαθίης, ψυχὴν δ' οὐρανὸν εἰσανάγω.
ἐκ δ' ἀρετῶν στεφάνους πισύρων πλέκω, ὧν ἀφ' ἑκάστης
τούσδε φέρων, πρώτῳ τῷ σοφίης στέφομαι.

---

[c] Γυμνὸς ἔρως διὰ τοῦτο γελᾷ καὶ μειλίχιός ἐστι·
οὐδὲ γὰρ ἔχει τόξον, καὶ πυρόεντα βέλη.
οὐδὲ μάτην παλάμαις κατέχει δελφῖνα καὶ ἄνθος,
τῇ μὲν γὰρ γαῖαν, τῇ δὲ θάλασσαν ἔχει.

---

[d] Στᾶθι πέλας, δάκρυσον ἰδὼν, ξένε, μυρία πένθη
τῆς ἀθυρογλώσσου Ταντολίδος Νιόβης·
ἧς ἐπὶ γᾶς ἔστρωσε δυωδεκάπαιδα λοχείαν
ἄρτι, τὰ μὲν Φοίβου τόξα, τὰ δ' Ἀρτέμιδος.

[z] Vel φεύγουσιν. [a] Anth. Jacobs. II. 676. [b] II. 686. Μαριανοῦ σχολαστικοῦ. [c] II. 688. Παλλάδα. [d] II. 665. Θεοδωρίδου.

ἃ δὲ λίθῳ καὶ σαρκὶ μεμιγμένον εἶδος ἔχουσα,
πετροῦται· στενάχει δ' ὑψιπαγὴς Σίπυλος.
θνατοῖς ἐν γλώσσῃ δολία νόσος, ἃδ' ἀχάλινος
ἀφροσύνα τίκτει πολλάκις δυστυχίαν.

Εἰς τὸν Τάνταλον [f].

Οὗτος ὁ πρὶν μακάρεσσι συνέστιος, οὗτος ὁ νηδὺν
πολλάκι νεκταρέου πλησάμενος στόματος,
νῦν λιβάδος θνατᾶς ἱμείρεται, ἡ φθονερῶς δὲ
κρᾶσις ἀεὶ χείλους ἐστὶ ταπεινοτέρη.
πῖνε, λέγει τὸ τόρευμα, καὶ ὄργια μάνθανε σιγῆς·
οἱ γλώσσῃ προπετεῖς ταῦτα κολαζόμεθα.

---

[g] *Ἔκφρονα τὴν βάκχην οὐχ ἡ φύσις, ἀλλ' ἡ τέχνη*
θήκατο, καὶ μανίην ἐγκατέμιξε λίθῳ.

---

[h] *Ἡ Νέμεσις προλέγει τῷ πήχεϊ τῷ τε χαλινῷ,*
μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

---

[i] *Ἱππόλυτος τῆς γραὸς ἐπ' οὔατι νηλέα μῦθον*
φθέγγεται· ἀλλ' ἡμεῖς οὐ δυνάμεθα κλύειν.
ὅσσον δ' ἐκ βλεφάροιο μεμηνότος ἐστὶ νοῆσαι,
ὅττι παρεγγυάα μηκέτ' ἄθεσμα λέγειν.

---

[k] *Μῖξον μειλιχίῃ βαιὸν φόβον, ὅττι καὶ αὐτὴ*
βομβήεσσα μέλισσα κορύσσεται ὀξέϊ κέντρῳ·
οὐ γὰρ ἄτερ μάστιγος ἰθύνεται ἵππος ἀγήνωρ,
οὐδὲ συῶν ἀγέλη ἐπιπείθεται ἀνδρὶ νομῆϊ,
πρὶν καὶ ἐριγδούποιο καλαύροπος ἦχον ἀκούει.

[f] II. 649. Γάλλου εἰς Τάνταλον ἐπὶ ποτηρίου γεγλυμμένον. [g] II. 641. Παύλου Σιλεντιαρίου εἰς βάκχην ἐν Βυζαντίῳ. [h] II. 693. Ἄδηλον· εἰς στήλην Νεμέσεως. [i] II. 657. Ἀγαθίου· εἰς Ἱππόλυτον διαλεγόμενον τῇ τροφῷ τῆς Φαιδρᾶς. [k] II. 646. Ἄδηλον, παραίνεσις πρὸς αὐτὴ ἄρχοντα.

Εἰς γατφίδα.

[l] Ἀψηφὶς Ὑάκινθος, Ἀπόλλων δ' ἐστὶν ἐν αὐτῇ.

---

[m] Εἰμὶ μέθυ τὸ γλύμμα σοφῆς χερὸς, εὖ δ' ἀμεθύσῳ,
γέγλυμμαι· τέχνης δ' ἡ λίθος ἀλλοτρίη.
ἀλλὰ Κλεοπάτρης ἱερὸν κτέαρ· ἐν γὰρ ἀνάσσης
χειρὶ θρόνον νήφειν καὶ μεθύουσαν ἔδει.

---

[n] Τὰς τρεῖς μοι χάριτας λεύσεις, ξένε, ποντομέδων γὰρ
γείτονος ἐκ πόντου τὴν μίαν εἰργάσατο. [χώρᾳ]
τὴν δ' ἑτέρην ἐτέλεσε φυγὼν εὔκαρπον ἁλωήν·
τὴν δ' ὑπολειπομένην τοῦτο τὸ λουτρὸν ἔχει.

Εἰς τάτα . . .

[o] Παίγνια μὲν τάδε πάντα· τύχης δ' ἑτερόπροπος ὁρμὴ
ταῖς ἀλόγοις ταύταις ἐμφέρεται βολῆσι.
καὶ βροτέου βιότοιο σφαλερὸν μίμημα νοήσεις,
νῦν μὲν ὑπερβάλλων, νῦν δ' ἀπολειπόμενος.
αἰνέο μὲν δὴ κεῖνον, ὃς ἐν βιότῳ τε κύβῳ τε
χάρματι καὶ λύπῃ μέτρον ἐφηρμόσατο.

---

[p] Στῶμεν ἁλιρράντοιο παρὰ χθαμαλὰν χθόνα πόντου,
δερκόμενοι τέμενος Κύπριδος εἰναλίας,
κράναν τ' αἰγείροιο κατάσκιον, ἧς ἀπὸ νᾶμα
ξουθαὶ ἀφύσσονται χείλεσιν ἀλκύονες.

---

[q] Ἐνθάδε λουσαμένη δέμας ἄμβροτον αὐτίκα Κύπρις
δεῖξεν Ἀλεξάνδρῳ καὶ ἄθλιον ἥρπασε μῆλον.

---

[l] Anth. Jac. II. 255. Πλάτωνος νεωτέρου. ἁ σφραγὶς ὑάκινθος.
[m] II. 255. Ἀσκληπιάδου, τινὲς δὲ Ἀντιπάτρου Θεσσαλονικέως.
[n] II. 239. Ἀδέσποτον εἰς παραθαλάσσιον κῆπον, ἐν ᾧ ἦν καὶ λουτρὸν, ἐν Ἀντιοχείᾳ. [o] II. 259. Ἀγαθίου σχολαστικοῦ εἰς τάβλαν. [p] II. 115. Μνασάλκου. [q] II. 224.

[r]Κύπρις, Ἔρως, Χάριτες, Νύμφαι, Διόνυσος, Ἀπόλλων
ὤμοσαν ἀλλήλοις ἐνθάδε ναιετάειν.

---

[s]Ἢ τοῖον Κυθέρειαν ὕδωρ ἔτεκεν, ἢ Κυθέρεια
τοῖον τεῦξεν ὕδωρ, ὃν χρόα λουσαμένη.

---

[t]Μικρὰ μὲν ἔργα τάδ' ἐστὶν, ἔχει δ' ἡδεῖαν ὀδωδὴν,
οὕτως λουτρὰ τάδε, μικρὰ μὲν ἀλλὰ φίλα.

---

[u]Αἱ Χάριτες λούσαντο, ἀμειψάμεναι δὲ λοετρὸν,
δῶκαν ἑῶν ῥεθέων ὕδασιν ἀγλαΐην.

---

[x]Ἐνθάδε λουσαμένων Χαρίτων ποτὲ, θέσκελα πέπλα
βαιὸς ἔρως ἔκλεψε καὶ ὤχετο, τάς δ' ἔλιπ' αὐτοῦ,
γυμνὰς αἰδομένας θυρέων ἔκτοσθε φανῆναι.

---

[y]Δάφνης εὐπετάλοιο φερώνυμόν ἐστι λοετρόν.

Εἰς λουτρὸν εὔμορφον.

[z]Κύπρις σὺν Χαρίτεσσι καὶ υἱέϊ χρυσοβελέμνῳ
ἐνθάδε λουσαμένη, μισθὸν ἔδωκε χάριν.

Εἰς λουτρὸν λεγόμενον Ἔρωτα.

[a]Μητέρα Κύπριν ἔλουσεν Ἔρως ποτὲ τῷδε λοετρῷ,
αὐτὸς ὑποφλέξας λαμπάσι καλὸν ὕδωρ.
ἱδρὼς δ' ἀμβροσίου χυθεὶς χροὸς ἄμμιγα λευκοῖς
ὕδασι, φεῦ πνοιῆς ὅσον ἀνῆψεν ἔαρ.
ἔνθεν ἀεὶ ῥοδόεσσαν ἀναζείουσιν ἀϋτμὴν,
ὡς ἔτι τῆς χρυσῆς λουομένης Παφείης.

[r] II. 224. [s] II. 216. ἀδέσποτον. [t] II. 217. [u] II. 216.
[x] II. 218. Λεοντίου σχολ. [y] II. 224. [z] II. 220. Κύρου ποιητοῦ.
[a] II. 221.

Εἰς κῆπον Ἔρωτα λεγόμενον.

[b]Οὐ μέγας ὅδ' Ἔρως, ἀλλ' εὔχαρις· ὡς καὶ ἐγώ τοι
οὐ μέγας ἐν κήποις, ἀλλὰ γέμων χαρίτων.

Εἰς ἀστεῖον.

[c]Ὕδασι καὶ κήποισι καὶ ἄλσεσι καὶ Διονύσῳ,
καὶ πόντου πλήθω γείτονος εὐφροσύνῃ.
τερπνὰ δέ μοι γαίης τε καὶ ἐξ ἁλὸς ἄλλοθεν ἄλλος
καὶ γριπεὺς ὀρέγει δῶρα καὶ ἀγρονόμος.
τοὺς δ' ἐν ἐμοὶ μίμνοντας ἢ ὀρνίθων τίς ἀείδων
ἢ γλυκὺ πορθμήων φθέγμα παρηγορήσει.

---

[d]Δεῦρ' ἴθι, βαιὸν, ὁδῖτα, πεσὼν ὑπὸ δάσκιον ἄλσος,
ἄμπαυσον καμάτου γυῖα πολυπλανέος.
χλωρὸν ὅπου πλατάνων αὐτόρρυτον ἐς μέσον ὕδωρ
καλὰ πολυκρούνων ἐκπρορρέει στομάτων.
ὁππόθι πορφυρέης ὑπὲρ αὔλακος εἴαρι θάλλει
ὑγρὸν ἴον ῥοδέῃ κιρνᾶ μὲν[e] κάλυκι.
ἤνιδε πῶς δροσεροῖο πέδον λειμῶνος ἔρεψεν
ἔκχυτον εὐχαίτης κισσὸς ἔπλεξε κόμην.
ἐνθάδε καὶ ποταμὸς λασίην παραμείβεται ὄχθην.
πέζαν ὑποξύων αὐτοφύτοιο νάπης.

Οὗτος Ἔρως, τί γὰρ ἄλλο καὶ ἔπρεπεν οὔνομα χώρῳ,
πάντοθεν ἱμερτῶν πληθομένων χαρίτων;

---

[f]Χείματος ἠνεμόεντος ἀπ' αἰθέρος οἰχομένοιο,
πορφυρέη μείδησε φεράνθεος εἴαρος ὥρη·
γαῖα δὲ κυανέη χλοερὰν ἐστέψατο ποίην,
καὶ φυτὰ θηλήσαντα νέοις ἐκόμησε πετήλοις.
οἱ δ' ἁπαλὴν πίνοντες ἀξιφώτου δρόσον ἠοῦς

[b] Anth. Jac. II. 234. ἄδηλον. [c] II. 234. Ἀραβίου χολ.
[d] II. 235. Μαριανοῦ Σχολ. εἰς προάστειον ὀνομαζόμενον Ἔρωτα ἐν Ἀμασείᾳ.
[e] Leg. κιρνάμενον. [f] II. 125. Μελεάγρου.

λειμῶνες γελόωσιν ἀνοιγομένοιο ῥόδοιο.
χαίρει καὶ σύριγγι νομεὺς ἐν ὄρεσσι λιγαίνων,
καὶ πολιοῖς ἐρίφοις ἐπιτέρπεται πόλος αἰγῶν.
ἤδη δὲ πλώουσιν ἐπ' εὐρέα κύματα ναῦται[g]
ἄνθεϊ βοτρυόεντος ἐρεψάμενοι τρίχα κισσοῦ.
ἔργα δὲ τεχνήεντα βοηγενέεσσι μελίσσαις
καλὰ μέλη, καὶ σίμβλῳ ἐφήμεναι ἐργάζονται
λευκὰ πολυτρήτοισι νεόρρυτα κάλλεα κηροῦ.
πάντη δ' ὀρνίθων γενεὴ λιγύφωνον ἀείδει,
ἀλκυόνες περὶ κῦμα, χελιδῶνες δ' ἀμφιμέλαθρα,
κύκνος δ' ἐπ' ὄχθεσι ποταμοῦ, καὶ ὑπ' ἄλσος ἀηδών.
ἐκ δὲ φυτῶν χαίρουσι κῶμαι, καὶ γαῖα τέθηλε,
συρίζει δὲ νομεὺς, καὶ τέρπεται εὔκομα μῆλα,
καὶ ναῦται δὲ πλώουσι, Διόνυσος δὲ χορεύει,
καὶ μέλπει ποτεεινὰ, καὶ ὠδίνουσι μελίσσαι.
πῶς οὐ χρὴ καὶ ἀοιδὸν ἐν εἴαρι καλὸν ἀεῖσαι;

---

[h]Ὑψίκομον παρὰ τάνδε καθίζεο φωνήεσσαν
φρίσσουσαν πυκνοῖς κῶμον ὑπὸ ζεφύροις·
καί σοι καχλάζουσιν ἐμοῖς παρὰ νάμασι σύριγξ
θελγομένων ἄζει κῶμα κατὰ βλεφάρων.

Εἰς τὸν Μύρωνος βοῦν.

[i]Μόσχε τί μοι λαγόνεσσι προσέρχεαι, τίπτε δὲ μυκᾷ;
ἁ τέχνα μαζοῖς οὐκ ἐνέθηκε γάλα.

Ἡ βοῦς ἐξ ἀρότοιο νέον ἦλυθε, καὶ διὰ τοῦτο
ὀκνεῖ, κοὐκ ἐθέλει βῆμ' ἐπίπροσθεν ἄγειν.

---

[k]Ὁ πλόος ὡραῖος, καὶ γὰρ λαλεῦσα χελιδὼν
ἤδη μέμβλωκε, χ' ὡς χαρίεις ζέφυρος·

[g] Duo seqq. versus hic exciderunt. [h] II. 628. Πλάτωνος.
[i] II. 249. Ἀντιπάτρου Σιδωνίου. [k] II. 279. Λεωνίδου.

λειμῶνες δ' ἀνθεῦσι, σεσίγηκε δὲ θάλασσα,
κύμασι καὶ τρυχεῖ πνεύματι βρασσομένη.
ἀγκύρας ἀνέλοιο, καὶ ἐκλύσαιο γυίαια,
ναυτῖλος, καὶ πλώοις πᾶσαν ἐφεὶς ὀθόνην.
ταῦθ' ὁ Πρίηπος ἐγὼ ἐπιτέλλομαι, ὁ λιμενίτης,
ἄνθρωπ' ὡς πλώοις πᾶσαν ἐπ' ἐμπορίην,

---

[l] Ὡς τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπόλαυε,
ὡς δὲ βιωσόμενος φείδεο σῶν κτεάνων.
ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας,
φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

---

[m] Ἀνθρώπους μὲν ἴσως λήσεις, ἄτοπόν τι ποιήσας·
οὐ λήσεις δὲ θεὸν, οὐδὲ λογιζόμενος.

---

[n] Μήποτε τὸν παρεόντα παρεὶς φίλον, ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

---

[o] Ἀρρήτων ἐπέων γλώσσῃ σφραγὶς ἐπικείσθω·
κρείσσων γὰρ μύθων ἢ κτεάνων φυλακή.

---

[p] Εὖγε λέγων τὸν καιρὸν ἔφης θεὸν, εὖγε, Μένανδρε,
ὡς ἀνὴρ μουσῶν καὶ χαρίτων τρόφιμος.
πολλάκι γὰρ τοῦ σφόδρα μεμεριμνήσαντος ἄμεινον
προσπεσὸν εὐκαίρως, εὗρέ τι ταὐτόματον.

---

[q] Ἦρά γε ποῦ τὸ φρύαγμα τὸ τηλίκον; οἱ δὲ περισσοὶ
πῇ ἔβαν ἐξαίφνης ἀγχίποροι κόλακες;
νῦν γὰρ ἑκὰς πόλιος φυγὰς ᾤχετο, τοῖς πρότερον δὲ
οἰκτροῖς τὴν κατὰ σοῦ ψῆφον ἔδωκε τύχη.

---

[l] Anth. Jac. II. 289. Λουκιανοῦ. [m] II. 289. τοῦ αὐτοῦ.
[n] II. 292. Ἄδηλον. [o] II. 292. Λουκιανοῦ. [p] II. 295.
[q] II. 299. Ἀγαθίου Σχολ.

[r]Γῆς ἐπέβην γυμνὸς, γυμνὸς θ' ὑπὸ γαῖαν ἄπειμι·
καὶ τί μάτην μοχθῶ; γυμνὸν ὁρῶ τὸ τέλος.

---

[s]Καλὸν μὲν στυγόδεμνον ἔχειν νόον, εἰδ' ἄρ' ἀνάγκη,
ἀρσενικὴ φιλότης μή ποτέ σε κλονέοι.
θηλυτέρας φιλέειν ὀλίγον καλὸν, οὕνεκα κείναις
κυπριδίους ὀάρους πότνια δῶκε φύσις.
δέρκεο τῶν ἀλόγων ζώων γένος· ἡ γὰρ ἐκείνων
οὐδὲν ἀτιμάζει θέσμια ζυγίης
ἄρσενι γὰρ θήλεια συνάπτεται, οἱ δ' ἀλεγεινοὶ (in marg.)
ἄνδρες ἐς ἀλλήλους ξεῖνον ἄγουσι γάμον.

---

[t]Σκηνὴ πᾶς ὁ βίος καὶ παίγνιον. ἢ μάθε παίζειν
τὴν σπουδὴν μεταθεὶς, ἢ φέρε τὰς ὀδύνας.

---

[u]Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου. εἰδ' ἀγανακτεῖς,
καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

---

[x]Μήτε βαθυκτεάνοιο τύχης κουφίζεο ῥοίζῳ,
μήτε σέο γνάμψῃ φροντὶς ἐλευθερίην.
πᾶς γὰρ ὑπ' ἀσταθέεσσι βίος πολεμίζεται αὔραις,
καὶ τῇ καὶ τῇ θαμιναῖς ἀντιμεθελκόμενος.
ἡ δ' ἀρετὴ, σταθερόν τι καὶ ἄτροπον, ἧς ἐπὶ μούνης
κύματα θαρσαλέως ποντοπόρει βιότου.

---

[y]Οὐ τὸ ζῇν χαρίεσσαν ἔχει φύσιν, ἀλλὰ τὸ ῥίψαι
φροντίδας ἐκ στέρνων πολιοκροτάφους.

---

[z]Δακρυχέων γενόμην, καὶ δακρύσας ἀποθνήσκω,
δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.

[r] II. 298. Παλλάδα. [s] II. 300. Ἀγαθίου. [t] II. 302. Παλλάδα. [u] Ibid. [x] II. 302. Παύλου Σιλεντιαρίου. [y] II. 303. τοῦ αὐτοῦ. [z] II. 305. Παλλάδα.

ὦ γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενὲς, οἰκτρὸν
φερόμενον κατὰ γῆς, καὶ λυόμενον.

---

[a]Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα,
τοὺς δὲ κακοὺς, δι' ὅλου πάντας ἀποστρέφομαι.
οὐδένα τοθεύω πρὸς ὑπόκρισιν. οὓς δ' ἄρα τιμήσω,
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

Εὐόδμοις δὴ μύροις καὶ εὐπετάλοις στεφάνοισι
καὶ Βρομίῳ παῦσον φροντίδας ἀργαλέας.
δὸς πιέειν, ἵνα Βάκχος ἀποσκεδάσειε μερίμνας,
ἂψ ἀναθερμαίνων ψυχομένην κραδίην.

---

[b]Οὔ μοι μέλει Γύγεω
τοῦ Σαρδίων ἄνακτος.
οὔθ' αἱρέει με χρυσὸς,
οὐ φθονέω τυράννους.
ἐμοῦ μέλει μύροισι
καταβρέχειν ὑπήνην·
ἐμοῦ μέλει ῥόδοισι
καταστέφειν κάρηνα.
τὸ σήμερον μέλει μοι,
τὸ δ' αὔριον τίς οἶδε;

---

[c]Τὸν ἄργυρον τορεύσας,
Ἥφαιστέ, μοι ποίησον·
ποτήριον δὲ κοῖλον,
ὅσον δύνῃ βάθυνον.
ποίει δέ μοι κατ' αὐτοῦ,
μηδ' ἄστρα μηδ' ἁμάξας,
μὴ στυγνὸν Ὠρίωνα,
ἀλλ' ἀμπέλους χλοώσας,

a Anth. Jac. II. 313. Φωκυλίδου. b II. 333 Ἀνακρέοντος.
c II. 334. τοῦ αὐτοῦ.

καὶ βότρυας γελῶντας,
σὺν τῷ καλῷ Λυαίῳ.

---

[d]Εὐδαίμων πρῶτον μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων,
εἶτα δ' ὁ μὴ γήμας· τὸ τρίτον, ὅστις ἄπαις.
ἢν δὲ μανεὶς γήμῃ τίς, ἔχει χάριν, ἢν κατορύξῃ
εὐθὺς τὴν γαμετὴν, προῖκα λαβὼν μεγίστην.
ταῦτ' εἰδὼς, σοφὸς ἴσθι. μάτην δ' Ἐπίκουρον ἔασον
ποῦ τὸ κενὸν ζητεῖν, καὶ τίνες αἱ μονάδες.

---

[e]Θᾶττον ποιήσει μέλι κάνθαρος, ἢ γάλα κώνωψ,
ἢ σὺ τί ποιήσεις, σκορπίος ὢν, ἀγαθόν.
οὔτε γὰρ αὐτὸς ἑκὼν τί ποιεῖς, οὔτ' ἄλλον ἀφίης
ὡς ἀστὴρ Κρονικὸς πᾶσιν ἀπεχθόμενος.

---

[f]Ὦ 'γαθὲ, καὶ μῶν οὖν, καὶ ποῖ δὴ καὶ πόθεν, ὦ τᾶν,
καὶ θαμὰ, καὶ φέρε δὴ, καὶ κομιδῆ, καὶ ἴσθι,
καὶ στόλιον, μάλιον, πωγώνιον, ὤμιον ἔξω,
ἐκ τούτων ἡ νῦν εὐδοκιμεῖ σοφία.

---

[g]Δάφνην καὶ Νιόβην ὠρχήσατο Μέμφις ὁ σιμὸς,
ὡς ξύλινος, Δάφνην, ὡς λίθινος, Νιόβην.

---

[h]Χωλὸν ἔχεις τὸν νοῦν, ὡς τὸν πόδα, καὶ γὰρ ἀληθῶς
εἰκόνας τῶν ἐντὸς ἡ φύσις ἔξω φέρει.

---

[i]Ὑβρίζεις, τί τὸ θαῦμα; τί δυσχερές; ἀλλὰ φέρω σε·
τῶν γὰρ ὑβριζόντων ἡ θρασύτης κόλασις.

---

[k]Ἥλιος ἀνθρώποις αὐγὴν θεός· εἰ δὲ καὶ αὐτὸς
ὕβριζες φαίνων, οὐδὲ τὸ φῶς ἐπόθουν.

---

[d] II. 335. Αὐτομέδοντος. [e] II. 384. Ἀμμιανοῦ. [f] II. 367. τοῦ αὐτοῦ. [g] II. 392. Παλλάδα. [h] II. 396. Ἄδηλον. [i] II. 402. Παλλάδα. [k] II. 402. τοῦ αὐτοῦ.

[l]Τὴν φωνὴν ἐνωπήν σε λέγειν ἐδίδαξεν Ὅμηρος,
τὴν γλῶσσαν δ' ἐνωπὴν, τίς ἐδίδαξεν ἔχειν;

---

[m]Εἰπὲ πόθεν σὺ μετρεῖς, κόσμον καὶ πείρατα γαίης,
ἐξ ὀλίγης γαίης σῶμα φέρων ὀλίγον.
σαυτὸν ἀρίθμησον πρότερον, καὶ γνῶθι σεαυτόν·
καὶ τότ' ἀριθμήσεις [καὶ] γαῖαν ἀπειρεσίην.
εἰδ' ὀλίγον πηλὸν τοῦ σώματος οὐ καταριθμεῖς,
πῶς δύνασαι γνῶναι τῶν ἀμέτρων τὰ μέτρα;

---

[n]Εἰ μὲν φιλεῖς, ἔργῳ με φίλει, καὶ μή μ' ἀδικήσῃς,
ἀρχὴν τοῦ βλάπτειν τὴν φιλίαν θέμενος.
πᾶσι γὰρ ἀνθρώποισιν ἐγὼ πολὺ κρείσσονα φημὶ
τὴν φανερὰν ἔχθραν τῆς δολερῆς φιλίης.
φασὶ δὲ καὶ νήεσσιν ἁλιπλανέεσσι χερείους
τὰς ὑφάλους πέτρας τῶν φανερῶν σπιλάδων.

Τλῆθι λέων ἄτλητα παθὼν τετληκότι θυμῷ·
οὐδεὶς ἀνθρώπων ἀδίκων τίσιν οὐκ ἀποτίσει.

---

[o]Θήρη μὲν, πολέμου μελέτη· θήρη δὲ διδάσκει
κρυπτὸν ἑλεῖν, ἐπιόντα μένειν, φέροντα διώκειν.

---

[p]Ἁγνὸς εἰς τέμενος καθαρὸς, ξένε, δαίμονος ἔρχου
ψυχὴν, νυμφαίου νάματος ἁψάμενος.
ὡς ἀγαθοῖς κεῖται βαιὴ λιβὰς, ἄνδρα δὲ φαῦλον
οὐδ' ὁ πᾶς νίψει νάμασιν ὠκεανός.

Εἰς τὸν Ὅμηρον.

[q]Υἱὲ Μέλητος Ὅμηρε, σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ
καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐναΐδιον.

l Anth. Jac. II. 413. ἀδέσποτον. m II. 416. Παλλάδα. n II. 432. Λουκίλλου. o II. 552. p II. 566. χρησμὸς τῆς Πυθίας. q II. 714. ἄδηλον.

καὶ τὰς δ' ἀντιθέῳ ψυχῇ γεννήσαο κούρας,
  δισσὰς ἐκ στηθέων γραψάμενος σελίδας.
ὑμνεῖ δ' ἡ μὲν νόστον Ὀδυσσῆος πολύπλαγκτον,
  ἡ δὲ τὸν Ἰλιακὸν Δαρδανίδων πόλεμον.

---

[r]Τί πρῶτον, τί δ' ἔπειτα φρεσὶ, τί δε λοίσθιον ὄσσοις
  θαυμάσω τέχνης ἀνέρος ἠδ' ἐλάφου;
ὧν ὁ μὲν ἰξύϊ θηρὸς ἐπεμβεβαὼς, γόνυ βρίθει,
  εὐπτόρθων παλάμαις δραξάμενος κεράων·
ἡ δ' ὑπὸ χάσματι πολλῷ καὶ ἄσθματι φυσιόωσα,
  γλώσσῃ σημαίνει θλιβομένην κραδίην.
Ἥρακλες γήθησον· ὅλη κεμὰς ἄρτι τέθηλεν,
  οὐ κέρασι μόνοις, ἀλλὰ τέχνῃ χρυσέῃ.

---

[s]Οὗτος ὁ πανδαμάτωρ, παρ' ἀνδράσι δωδεκάεθλος
  μελπόμενος, κρατερῆς εἵνεκεν εἰνορέης,
οἰνοβαρὴς μετὰ δαῖτα μεθυσφαλὴς ἴχνος ἑλίσσει,
  νικηθεὶς ἁπαλῷ λυσιμελεῖ Βρομίῳ.

---

[t]Τίς δήσας παλάμας πρὸς κίονα δῆσεν ἀφύκτοις
  ἅμμασι; τίς πυρὶ πῦρ, καὶ δόλον εἷλε δόλῳ;
νήπιε, μηδὲ δάκρυα κατὰ γλυκεροῖο προσώποιο
  βάλλε. σὺ γὰρ τέρπῃ δάκρυσιν ἠϊθέων.

---

[u]Λαμπάδα θεὶς καὶ τόξα, βοηλάτιν εἵλετο ῥάβδον
  οὖλος Ἔρως, πήρην δ' εἶχε κατωμαδίην.
καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων
  ἔσπειρε Δηοῦς αὔλακα πυροφόρον.
εἶπε δ' ἄνω βλέψας αὐτῷ Διΐ, πλῆσον ἀρούρας,
  μή σε τὸν Εὐρώπης βοῦν ἐπ' ἄροτρα βάλω.

---

[r] II. 653. ἄδηλον εἰς Ἡρακλέα ἀγρεύοντα τὴν ἔλαφον. [s] II. 654. εἰς Ἡρακλέα μεθύοντα. [t] II. 685. Ἀντιπάτρου. [u] II. 686. Μόσχου εἰς ἔρωτα ἀροτριῶντα.

[x] Κλίνας αὐχένα γαῦρον ὑφ' ἡμετέροισι πεδίλοις,
χερσὶ μέλη ἰδίαις ἔπλασε Πραξιτέλης.
αὐτὸν γὰρ τὸν Ἔρωτα τὸν ἔνδοθεν κευθόμενον
χαλκεύσας, Φρύνῃ δῶκε γέρας φιλίης.
ἡ δέ μιν αὖθις προσήγαγε, καὶ γὰρ ἐρῶντας
δῶρον Ἔρωτι φέρειν αὐτὸν Ἔρωτα θέμις.

---

[y] Οὗτος ὁ τῶν δαλῶν φυσῶν, ἵνα λύχνον ἀνάψῃς,
δεῦρ' ἀπ' ἐμᾶς ψυχᾶς ἅψον, ὅλος φλέγομαι.

---

[z] Εἰ καί σοι πτέρυγες ταχιναὶ περὶ νῶτα τέτανται,
καὶ Σκυθικὴ τόξων ἀκροβολεῖς ἀκίδες,
φεύξομ' Ἔρως ὑπὸ γᾶν σε· τί τὸ πλέον; οὐδὲ γὰρ αὐτὸς
σὰν ἔφυγε ῥώμαν πανδαμάτωρ Ἀΐδης.

---

[a] Ταῦτά σοι, ὦ βασιλεῦ Μηδοκτόνε, δῶρα κομίζει
σῆς ῥώμης γενέτης καὶ πάϊς Εὐστάθιος·
πῶλον ὑπὲρ νίκης, Νίκην στεφανηφόρον ἄλλην,
καὶ σὲ μετηνεμίων ἵππων ἐφεζόμενον
ὑψόσ' Ἰουστινιανὲ, τεὸν κράτος, ἐν χθονὶ δ' αἰεὶ
δεσμὸς ἔχει Μήδων καὶ Σκυθέων προμάχους.

Ὠδάριον Ἐρωτικόν.

Ποταμοῦ μέσον κατεῖδον
ποτὲ τὸν γόνον Κυθήρης.
ἐνενήχετο προπαίζων
μετὰ Νηρηΐδων χορείης·
ποταμὸς δὲ χρυσοδίνης,
ἐβόα, τί πυρπολεῖς με;
τί με παιδίον φλογίζεις;
ἀπ' ἐμῶν ἄπελθε ῥείθρων.

[x] Anth. Jac. II. 687. Ἰουλιανοῦ Αἰγυπτίου εἰς τὸν Πραξιτέλους ἔρωτα.
[y] II. 689. ἄδηλον. [z] II. 690. Μελεάγρου οἱ δὲ Στράτωνος.
[a] II. 642. ἄδηλον. εἰς στήλην Ἰουστινιανοῦ βασιλέως ἐν τῷ ἱπποδρόμῳ.

Πλοκάμους χρυσοχύτους θαῦμα ἰδέσθαι
ὁ ἔρως τῆς Παφίης εἶχε καρήνῳ.
Ὃν ἰδὼν ἐγὼ τότ' ἔσχον
ἐπιθυμίαν κρατῆσαι,
κρατεραῖς πέδαις τε δῆσαι,
θαλεροῖς νέοις τε δεῖξαι.
ὁ δὲ νόσφι τῶν ῥεέθρων
ὑπέφευγε προσγελῶν μοι·
ποτὲ μὲν ποσὶ προβαίνων,
ποτὲ δὲ πτεροῖς ἀλύσκων.
μικρὸς ἦν, ὑπόπτερός τε,
πολυποίκιλός τε μύθῳ,
πολυδαίδαλος τὸ εἶδος,
πολυήρατος τὸ κάλλος.
Παῖδα ὀϊστοβόλον Ἀφρογενείης
εὐγενέων λογάδων, φεύγετε, κοῦροι.
Γυμνὸς ἦν ἀνάρβιλός τε,
πυρὶ δ' εἴκελος τὰ πάντα·
ἀπὸ δ' ὀμμάτων βολάων
φλογερὴν ἔπεμπεν αἴγλην·
ἐρατὰν φέρων φαρέτρην
πεπυρωμένων βελέμνων·
ἐπίχρυσον εἶχε τόξον,
κεχαλασμένον κατ' ὤμων.
Μικρὸν ἔχει τὸ βέλος, μακρὰ δὲ βάλλει,
ὃν δὲ βάλῃ, πυρόεις οἶστρος ἐλαύνει.
Γλυκερὴν ὄπα προῆκε
διὰ τὸν πόθον λαλῶν μοι,
λιγυρὸν μέλος λυρίζων,
καθάπερ Πρόκνη κατ' ἄλσος·
παλάμην ἄγαν βραχεῖαν
ἐπεμειδία κραδαίνων.
ἐπεδείκνυ δὲ ταύτην,
προφανῶς τὸ πῦρ ἀφάσσων·
ἀναγγαλίδας[a] παρῆλθεν,

[a] Leg. ἀναγαλλίδας.

ἴα καὶ κρόκους παρέπτη.
Ζεφύρου πνοὰς γὰρ εἶχε
κατοπισθίους λιγείας.

Τὸ βρέφος τῆς Παφίης φεύγετε κοῦροι,
ἀφανῶς τόξα πόθων ἀγκύλα τείνει.

Καθάπερ ταώς τις ὄρνις,
ὁ κατάστερος πτεροῖσιν,
ὑπερίπτατο πλανῶν με,
λιβάδων ὕπερθε παίζων·
ἔκαμνον τρέχων, ἐλαύνων,
ἀπεπαυσάμην διώκων.
ὁ δὲ τοῖς ῥόδοις ἐμβάλλων,
ὑπέθελγέ πως πρὸς οἶστρον.

Πόσα ἄνθη ἔδραμον καὶ ῥοδωνιῶνας
ὀπίσω παιδαρίου πολλὰ διώκων;

. . . .
μανίης πέφυκε δεῖγμα,
νεότητός ἐστι πῆμα
. . . . πέφυκε πᾶσα
ἀκατάσχετός τε τόλμα
ἀτελῶν πόνων ἐρῶσα
καλύκων συνῆγεν ἄνθη,
παρέσχε μοι πονεῖν δέ.
πλατάνοισι γὰρ προβαίνων,
στεφάνους πλέκειν με θῆκεν.

Δροσερὰς εἰς λιβάδας πολλὰ διώξας,
τὸν ἔρωτα βροχίσαι οὐκ ἠδυνήθην.

Ὑποδὺς δ' ἔνερθεν λόχμης,
σκιεροῖς ἔπαιζε δένδροις.
πήματον [a] βέλος πέμψας
βάλεν ἡπάτων τὰ κοῖλα.
συνομηλίκων χορεία,
συναρήξατε προθύμως,

[a] Leg. πύματον.

κατακαίομαι, κλονουμένων[a],
ἀφανῶς τε πυρπολοῦμαι.
Ἀνθοκόμους λιβάδας πεζοπονήσας
παῖδα πανοῦργον ἑλεῖν οὐκ ἠδυνήθην.
Δότε μοι λόγον, τί ῥέξω,
τί πάθω, τί δ' αὖ προσήσω[b],
τί δὲ φάρμακον πόθ' εὕρω,
κραδίην ἐμὴν δροσίζον.
Φάρμακον ἐξ Ἑλένης εἴ τις ἐφεύροι
ἡμετέραις φιάλαις ἐγκαταμίξαι.
Ἄκος εἰς ἔρωτ' ἀκούω
ἀποδημίαν γενέσθαι.
σὺ μένειν θέλων δὲ μᾶλλον,
ἕτερον τρόπον μετέρχου·
ἀΰπνους ἴαυε νύκτας
μετ' Ἀχιλλέως ἑταίρων·
σὺν ἀηδόσι λιγείαις
μελιηδέα προσάδων.
Ἐδάην πόθου τὸ φίλτρον,
ὁδὸν δ' οὐδαμῶς ἐπέγνων.
δότε μοι συνομοδίτην
τὸν ἔρωτα συλλαλοῦντα.
Τῆς Παφίης τὸ βρέφος φεύγετε κοῦροι,
λαμπάδα καιομένην χερσὶ κομίζει.

Εἰ μὲν ἀεὶ θάλλεις τήρει φίλος, εἰ δὲ μαραίνῃ,
τί φθονέεις, ποῦ τῷ σὲ θέλοντι γίσαι;

---

[c]Τῆς ὥρας ἀπόλαυε· παρακμάζει πάντα[d]
ἓν θέρος ἀντ' ἐρίφου τρηχὺν ἔθηκε τράγον.

---

[a] Leg. κλονοῦμαι. [b] Leg. προσοίσω. [c] Anth. Jac. II. 335. ἄδηλον. [d] Leg. ταχὺ πάντα.

[e]Τὴν ψυχὴν, Ἀγάθωνα φιλῶν, ἐπὶ χείλεσιν ἔσχον,
ἦλθε γὰρ ἡδὺς ἔρως, ὡς διαβησομέναν.

---

[f]Τλήμονες οἷς ἀνέραστος ἔφυ βίος· οὔτε γὰρ ἔρξαι
εὐμαρὲς, οὔτ' εἰπεῖν ἐστί τι νόσφι πόθων.
καὶ γὰρ ἐγὼ νῦν εἰμι λίην βραδὺς, εἰδ' ἐσίδοιμι
Ξεινόφιλον, στεροπῆς πείσομαι ὀξύτερος.
τοὔνεκεν οὐ φεύγειν γλυκὺν ἵμερον, ἀλλὰ διώκειν
πᾶσι λέγω· ψυχῆς ἐστιν ἔρως ἀκόνη.

---

[g]Οὐ δύναμαί σε θέλων θέσθαι φίλον, οὔτε γὰρ αἰτεῖς,
οὔτ' αἰτοῦντι δίδως, οὔθ' ἃ δίδωμι δέχῃ.

---

[h]Κλέψομεν ἄχρι τίνος τὰ φιλήματα, καὶ τὰ λαθραῖα
νεύομεν ἀλλήλοις ὄμμασι φειδομένοις;
μέχρι τίνος δ' ἀτέλεστα λαλήσομεν, ἀμβολίαισι
ζευγνύντες κενεὰς ἔμπαλιν ἀμβολίας;
μέλλοντες τὸ καλὸν δαπανήσομεν· ἀλλὰ πρὶν ἐλθεῖν[i]
τᾶς φθονερᾶς φειδοῦς θῶμεν ἐπ' ἔργα λόγοις.

Κοῦρε τί μοι λεπτὸς, θαλεραὶ δ' οὐχ ως ποτέ σα......
οὐδὲ τὸ πρὶν ἐρασταῖς ἐν λαγόνεσσι γάνος.
ποῖαι σεῦ κάλαμον ἄνθος ἀποσμύχου μεριμν......
μήτι τὸ Ναρκίσσου νᾶμα κατωπτρίσαο.

---

[k]Εἰ μὲν ἑκὼν ἀρχὴν ἐπεκόμωσα, μυρία μέμφου·
εἰ δ' ἄκων ἥκω, τὴν προπέτειαν ἔα.
ἄκρατος καὶ Ἔρως με ἠνάγκασαν. ὧν ὁ μὲν αὐτῶν
εἷλκεν, ὁδ' οὐκ εἴα, τὴν βίαν ὅσσην ὅρα.
ἐλθὼν δ' οὐκ ἐβόησα, τίς ἢ τίνος, ἀλλ' ἐφύλαξα
τὴν φιλίην· εἰ τοῦτ' ἐστὶν ἀδίκημ', ἀδικῶ.

---

[e] Anth. Jac. I. 106. Πλάτωνος. [f] II. 454. Ἀλφείου Μιτυληναίου.
[g] II. 454. ἄδηλον. [h] II. 455. Στράτωνος. [i] ἐλθεῖν om. Cod.
[k] II. 486. Καλλιμάχου sed discrepat.

Ἠράσθη κίτυος, τίς ὃν οὐκ ἴδεν οὔατα πεισθείς;
φεῦ καλῶς, ἡμεῖς δ' ὄμμασι μεμφόμεθα.

---

[l]Πρόταρχος καλός ἐστιν, καὶ οὐ θέλει, ἀλλὰ θελήσει
ὕστερον· ἡ δ' ἄρα λαμπάδ' ἔχουσα τρέχει.
καὶ ῥόδον ἀκμάζει βαιὸν χρόνον[m], εἰ δὲ παρέλθῃ,
ζητῶν εὑρήσεις, οὐ ῥόδον ἀλλὰ βάτον.

---

[n]Ἡ Τροίζην' ἀγαθὴ κουροτρόφο; * * * ἁμάρτοις
αἰτήσας παίδων, οὐδὲ τὸν ὑστάτιον.
τόσσον δ' Ἐμπεδοκλῆς φαν * * * ἐν ἄλλοις
ἄνθεσιν εἰαρινοῖς καλὸν ἔλαμψε ῥόδον.

Εἶπεν Ἔρως τὸν καλὸν ἰδὼν * * * ωρίσκρν
δωροῦμαι, τὰ δ' ἐμὰ τόξα σοι καὶ φαρέτρην.
δωροῦμαι καὶ πτηνὸν * * * * ἅ γε χείλεα
χεῖλος ἐμὸν θείης, λάμβανε καὶ πτέρυγα.

---

[o]Εἰ μὲν γηράσκει τὸ καλὸν, μετάδος, πρὶν ἀπέλθῃ.
εἰ δὲ μένει, τί φοβῇ τοῦθ' ὃ μένει διδόναι;
μηκέτι [p] νῦν ὀμόσῃς· ἔγνωκα γὰρ, οὐδέ με λήθεις
. . . .
καὶ πρώην ὀμόσας μηκέτι διδόναι
. . . .
οἶδα τὸ ποῦ καὶ πῶς καὶ τίνι, καὶ τὸ, πόσου.

---

[q]Ἄγκιστρον πεποίηκας, ἔχεις ἰχθῦν ἐμὲ, τέκνον·
ἕλκε μ' ὅπου βούλει, μὴ τρέχε, μή σε φύγω.

Αὐτοῦ μοι Κλεόβουλε, παρὰ στροφάλιγγα θυρᾶ [r]
κλεπτομένην χάρισαι Κύπριδος εὐφροσύνην.
β . . . ἔρως οὐκ οἶδε ποθούμενος· ἡ γὰρ ἀνάγκης

[l] II. 458. Ἀλκαίου. [m] Cod. χ. [n] II. 467. Ῥιανοῦ.
[o] Anth. Jac. II. 523. Στράτωνος. [p] Hic versus erasus est.
[q] II. 524. [r] Leg. θυράων.

μίξις προστίμοις ἐνδέχεται πάθεσι.
καὶ γὰρ Ζεὺς θεὸς ἦν, ἀλλ' ἡνίκα καιρὸν ἔκλεπτεν,
αἰετὸς ἢ δάμαλις ἢ κύκνος ἐβλέπετο.

Τηρῶ σου τὸ φίλημα τὸ χρύσεον, ὡς ἀπὸ σίμβλου
κηρίον, ὡς μήλου πνεῦμα πεπαινόμενον.
τηρῶ καὶ συνεχῶς τοῖς χείλεσι, κἢν προσίῃ τις,
χαῖρε λέγων, εὐθὺς τοῦτον ἀποστρέφομαι.
τοῦτο καὶ αὐτὸ καθ' αὑτὸ κακὸν μέγα συμβάλλειν
ἐστὶ τὸ σὺν τούτῳ τῷ πυρὶ πῦρ ἕτερον.

Ὕπνε τί μ' ἐξ ὕπνου φρενοθελγέος ἐξεβόησας;
τίπτε δ' ὀνειροπόλου νόσφισας ἀμβροσίης;
αὐτόθι γ' ἂν γλυκεροῖς περιπλέγμασι παιδὸς ἐχρώμην
ἐγγὺς ἔχων τὸν ἐμὸν καὶ φιλέων ἑτάρον.
ἐξ οἵης μ' ἀπάτης ἀπενόσφισας; ὕπνε, σὺ πᾶσιν
ὢν βαρὺς, εἰς ἐμὲ νῦν ὠκυπέτης ἐγένου.

Σκέψαι Νάρκισσον, καὶ μηκέτι γαῦρα φρονήσῃς.
τοῦθ' ὑπεριφανίης ἄνθος ἔφυσεν ἔρως.
τίνα τὸν στέργοντα παλίστροφα ἔργα δεδορκὼς,
πειράθητι φρονέειν μηδὲν ὑπὲρ τὸ μέτρον·
τοῦθ' ὃ βλέπεις στέφωμα παρὰ κρήνην ἐστὶν ἐρασθὲν.
ἔκλαυσε μορφῆς εἰκόνας ἀντιτύπους.

Ὑπνώοις ἐπὶ πολὺν, Ἔρως, χρόνον, ἄχρι γὰρ ἂν
εὕδῃς, εἰρήνην σῶν ἔχομεν βελέων.
ἢν δέ σ' ὁ λυσιμελὴς προφύγῃ κόπος, οἰκτρὸς ἐκεῖνος,
ὃς πρῶτος σὸν ἴδοι κάνθον ἀνοιγόμενον.

Οἷος ἀποστάζει μηρῶν πόθος, οἷον ἀκμαῖον
ὥριον ἐκ λαγόνων ἄνθος ἀποκρέμαται;
οἷον δ' οἱ δροσόεντες ὑποιδαίνουσιν ἀκμαίως
αὐτοερυθρὰ φαιδρὰ σαλευόμενον;

τίς πλάστης τοιοῦτο τεχνήσατο; τρισμακάριστος
κεῖνος ὃς ἐργοπόνους τῷδ' ἐπέθηκε χεῖρας.

Ψευδὲς μυθίζουσι, Θεόκλεες, ὡς ἀγαθαὶ μὲν
Χάριτες, τρισσαὶ δ' εἰσὶν ἂν Ὀρχομένον.
πεντάκι γὰρ δέκα σεῖο περισκιρτῶσι πρόσωπα,
τοξοβόλοι, ψυχέων ἅρπαγες ἀλλοτρίων.

---

[r]Τοὺς σοβαροὺς τούτους καὶ περιπορφυροσήμους
παῖδας, ὅσους ἡμεῖς οὐ προσεφιέμεθα.
ὥσπερ σῦκα πέτραισιν ἐπ' ἀκρολόφοισι πέπειρα
ἔσθουσι γύπες, Διόφιλε, καὶ κόρακες.

---

[s]Μήτε λίην στυγνὸς παρακέκλισο, μήτε κατηφὴς
Δίφιλε, μὴ δείσῃς παιδίον ἐξ ἀγέλης.
ἔστω προὔνεικα πρῶτα φιλήματα, καὶ τὰ πρὸ ἔργων
παίγνια, πληκτισμοὶ, κνῆσμα, φίλημα, λόγος.

---

[t]Δός μοι, καὶ λάβε χαλκόν· ἐρεῖς, ὅτι πλούσιός εἰμι·
δώρηται τοίνυν τὴν χάριν, ὡς βασιλεύς.

Περπούρου τὸ πρόσωπον ἐμοὶ προσιόντος ἀπαρκεῖ,
οὐκέτι δ' ἐξόπισθεν καὶ παριόντα βλέπω.
οὕτω γὰρ καὶ ἄγαλμα θεοῦ καὶ νηὸν ὁρῶμεν
ἀντίον, οὐ πάντως καὶ τὸν ὀπισθόδομον.

---

[u]Εἰς ἀγαθὴν συνέβημεν ἀταρπητὸν, ἣν ἀπὸ πρώτης
φράζευ ὅπως ἔσται[x], Δίφιλε, καὶ μονίμη.
ἄμφω γὰρ πτηνόν τι λελόγχαμεν· ἔστι μὲν ἐν σοὶ
κάλλος, ἔρως δ' ἐν ἐμοὶ, καίρια δ' ἀμφότερα·
ἄρτι μὲν ἁρμοσθέντα, μένει χρόνον, εἰδ' ἀφύλακτα
μίμνετον, ἀλλήλων οἴχετ' ἀποπτάμενα.

---

[r] Anth. Jac. II. 508. Στράτωνος. [s] II. 515. τοῦ αὐτοῦ. [t] II. 517. τοῦ αὐτοῦ. [u] II. 520. Στράτωνος. [x] Cod. ἔστε.

[y] Ὀφθαλμοῖσιν θῆρας ἔχεις, θεόμορφε Λυκῖνε,
μᾶλλον δ' ἀκτῖνας, δέσποτα, πυρσοβόλους.
ἀντωπὸς βλέψαι[z] βαιὸν χρόνον οὐ δύναμαί σε·
πῦρ γὰρ ἀστράπτεις ὄμμασιν ἀμφοτέροις,

---

[a] Πίν' Ἀ[σκληπ]ιάδη[b], τί τὰ δάκρυα ταῦτα; τί πάσχεις;
οὐ σὲ μόνον χαλεπὴ Κύπρις ἐληΐσατο,
οὐδ' ἐπὶ σοὶ μούνῳ κατεθήκατο τόξα καὶ ἰοὺς
πικρὸς Ἔρως· τί ζῶν ἐν σπουδῇ τίθεσαι;
πίνω μὲν Βάκχου ζωρὸν πόμα· δάκτυλος ἕως·
ἢ πάλιν κομιστὰν λύχνον ἰδεῖν μένομεν;

Νῦν ὁ καλὸς θάλλει Νικόστρατος, ἀλλ' ἀρύσασθε
ὡς ἀπὸ κρηνίδος ψυχρὸν ὕδωρ θέρεος.

[y] Anth. Jac. II. 511. τοῦ αὐτοῦ. [z] Cod. ἀντω . . . . έψαι.
[a] II. 563. [b] Cod. πὶν ἀ . . . . ϊάδη.

His perlectis, satis nunc dispiciet Lector, duas admodum diversas in uno Codice coaluisse poematiorum collectiones. Quarum, una quæ sacri est argumenti, ut opinor, Joannem Geometram sibi vindicat auctorem. Certum enim est quod in quibusdam Codicibus Canticorum Metaphrases ei diserte tribuuntur. (Leo Allatius ap. Fabr. B. Gr. t. VII. p. 715, not.) nec improbabile est cætera ejusdem fere materiæ ex eadem manu esse profecta; præsertim cum poeta sæpius se Joannem nominatum esse fateatur. Vixit ergo ut videtur regnante Nicephoro Logotheta, cujus cladem a Bulgaris illatam deflet. A. D. 811.

Altera quæ profani et plerumque erotici generis est farrago, ex Anthologia, sed pleniore certe quam ea quæ hactenus vulgata est, derivata esse videtur. Plurima in omnibus depravata sunt, quorum nonnulla quisque facile corrigere poterit. Nos pauca quædam currente prelo in margine tentavimus. Codicis ipsius lectionem rarissime, tacite nunquam immutavimus.

APPENDIX AD EXCERPTA PHILOSOPHICA E COD COISL. 387.

Appendantur et iis quæ in primo Anecdotorum Volumine ad Philosophiam Spectantia contulimus, Anonymi Auctoris Prolegomena e Cod. Coisl. 387, quem jam nunc fere totum vulgavimus. Est autem revera præfatio ad quinque voces Porphyrii, sicut ea Ammonii Hermiæ, sed prorsus diversa. Noster qui in multis se Christianum [a] prodit, sed non indoctum aut insulsum hominem, suam disquisitionem quam de universa philosophia habet, in praxes quindecim dividit; quod solitum fuisse hujus argumenti scriptoribus, videtur. Id exemplo firmamus Davidis Philosophi, qui et ipse Prolegomena edidit in quinque voces, similiter in actiones digesta. Hæc dedimus e Cod. 1938. qui est Chart. Sæc. XV. Erravit autem Catalogi Cod. Paris. confector, qui in sex actiones opus absolutum esse tradit, cum tres tantum numerari debuissent.

ΠΡΟΛΕΓΟΜΕΝΑ ΣΥΝ ΘΕΩΙ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.

Πρᾶξις α.

ἘΠΕΙΔΗ πάντα τοῦ ἀγαθοῦ ἐφίεται, καὶ κοινὸς πάντων ὅρμος ἐστὶ τὸ ἀγαθόν. ἀγαθὸν γὰρ εἴρηται διὰ τὸ ἄγαν θέειν ἐπ' αὐτὸ πάντα. τὸ δὲ ἄγαν ἐπίτασιν δηλοῖ, ὅθεν καὶ γραμματικῶν παῖδες παραγγέλλουσι μὴ λέγειν ἀγαθώτερον καὶ ἀγαθώτατον, διὰ τὸ μὴ ἐν μιᾷ λέξει δύο εἶναι ἐπιτατικώτερα, ἀλλὰ λέγειν μᾶλλον ἀγαθόν· δύο γὰρ λέξεις ἐνταῦθα εἰσὶ, καὶ μάλιστα ἀγαθὸν, ὅπερ ἐπιτατικώτερον καὶ τοῦ μᾶλλον ἐστί. τούτου χάριν τοῦ εἶναι μὲν καταφρονοῦμεν πολλάκις, τοῦ δὲ ἀγαθοῦ οὐ καταφρονοῦμεν. καὶ αὐτοὶ γὰρ οἱ τὰ κακὰ διαπραττόμενοι, οὐχ ὡς κακὰ διαπράττονται, ἀλλ' ὡς ἀγαθά· ὁ γοῦν ἰατρὸς ἑλκοῖ τὸ σῶμα φλεβοτομῶν, οὐχ ἑλκῶσαι προθέμενος, ἀλλ' ὑγιᾶσαι βουλόμενος· καὶ ὁ φονεὺς ἐγχειρεῖ τῷ φόνῳ, οὐχ ὡς φόνου ὀρεγόμενος, ἀλλὰ διὰ τὸ προσγινόμενον αὐτῷ ἐξ αὐτοῦ κέρδος, ὅπερ ἐκεῖνος ἀγαθὸν νομίζει. πάντα

[a] Annotavit aliquis in primo Cod. fol. hæc prolegomena esse Troili Sophistæ; sed nescio qua auctoritate fretus. Quisquis est noster, certe Marino, quem laudat, junior fuit.

οὖν τοῦ ἀγαθοῦ ἐφίεται, ἀλλ' ἢ τοῦ ὄντος ἀγαθοῦ ἢ τοῦ νομιζομένου, οὐ πάντως δὲ ἀγαθοῦ.

Εἰ οὖν πάντα τοῦ ἀγαθοῦ ἐφίεται, ὃ ἂν δειχθῇ μᾶλλον ἀγαθὸν, τούτου μᾶλλον ἐφίεται. ὡς γὰρ τὸ μᾶλλον θερμὸν μᾶλλον θερμαίνει, καὶ μᾶλλον ψυχρὸν μᾶλλον ψύχει, οὕτω καὶ τοῦ μᾶλλον ἀγαθοῦ μᾶλλον πάντα ἐφίεται. καὶ ἡμεῖς οὖν διάπυροι καὶ ἐκμανεῖς ἐρασταὶ φιλοσοφίας γενόμεθα, εἰ τὸ παραγινόμενον ἡμῖν ἐξ αὐτῆς ἀγαθὸν γνῶμεν ὁποῖον ἐστί. μέγα γὰρ τὸ ἀγαθὸν τῆς φιλοσοφίας καὶ τοιοῦτον ὁποῖον ἐδήλωσεν ὁ Πλάτων περὶ αὐτοῦ εἰπὼν, "ὅτι τοιοῦτον ἀγαθὸν εἰς ἀνθρώπους οὐδὲ ἦλθεν, οὐδὲ ἥξει ποτὲ "δωρηθὲν ἐκ Θεοῦ." ἀλλ' ἐπειδὴ τὸ ἀγαθὸν τῆς φιλοσοφίας γνῶναι οὐ δυνατὸν, τῆς φύσεως αὐτῆς ἀγνοουμένης, δεῖ τὴν φύσιν αὐτῆς εἰπεῖν ὁποία τυγχάνει· τῆς γὰρ διαφόρου φύσεως διάφορον καὶ τὸ ἀγαθόν. οὕτω γοῦν ἵππου ἀγαθοῦ, τὸ ἴτην εἶναι καὶ πορευτικὸν τοῖς ποσὶν, ἀνθρώπου δὲ ἀγαθὸν τὸ ἀναθρεῖν ἃ ὄπωπεν· μόνος γὰρ τῶν ζώων ἄνθρωπος ἀναμιμνήσκεται, τῶν ἀλόγων μνήμην ἐχόντων μόνον. ὡς δηλοῖ ὁ κύων τοῦ Ὀδυσσέως ὁ Ἄργος, φυλάξας τὴν μνήμην εἰς εἴκοσι ἔτη. οὐ ταυτὸν δὲ μνήμη καὶ ἀνάμνησις· μνήμη μὲν γάρ ἐστι μονὴ νοῦ, ἀνάμνησις δὲ, ἀπολλομένης μνήμης ἀνανέωσις. καὶ ἡμεῖς μὲν οὕτως.

Ὁ δὲ φιλόσοφος Πρόκλος βούλεται ἐν τοῖς εἰς Φαίδωνα ὑπομνήμασιν ἔχειν καὶ τὰ ἄλογα ἀνάμνησιν· ὑπερβαίνει γάρ, φησι, τὴν ἐκείνων ζωὴν τὸ ἀμετάπτωτον τῆς γνώσεως· τὸ γὰρ διὰ παντὸς μεμνῆσθαι αὐτὰ καὶ μὴ ἐπιλανθάνεσθαι, ὑπὲρ τὴν ἐκείνων φύσιν ἐστι. τοῖς γὰρ ἀνθρώποις κρείττοσιν οὖσιν, οὐχ ὑπάρχει τοῦτο. ἐπιλανθάνεται δὲ καὶ τὰ ἄλογα· δεινοῖς γάρ ποτε περιπεσόντα, αὖθις τοῖς αὐτοῖς περιπίπτει, καὶ τὰ πρότερον σαίνοντα μετὰ χρόνον ὑλακτεῖ καὶ ἀγριαίνει πρὸς τοὺς ποτὲ συνήθεις. ὅθεν δῆλον κἀντεῦθεν ἐκ τοῦ μὴ ὁμοίως εἰς συνήθειαν ἄγεσθαι τῷ προοραθέντι καὶ τῷ πάντη ξένῳ· θᾶττον γὰρ ἐν συνηθείᾳ γίνεται τοῦ προοραθέντος, ὡς φυλάξας δῆλον ὅτι τύπον τινὰ καὶ δι' αὐτοῦ λαβεῖν ἀφορμὴν ἀναμνήσεως. πλὴν εἰ καὶ ἐπὶ ἀμφοτέρων ἐστὶν ἀνάμνησις, ἀλλ' οὖν διαφορά τίς ἐστι. ἐπὶ μὲν γὰρ ἀνθρώπου πᾶν τῇ ἀναμνήσει ἐστὶ καὶ τὸ συναισθάνεσθαι αὐτοὺς τῆς ἀναμνήσεως. ἐπὶ δὲ τῶν ἀλόγων οὐκ ἔστι τοῦτο, οὐδὲ γὰρ συναισθάνεται ἐκεῖνα

ὅτι ἀνεμνήσθη. ὥσπερ γὰρ ἡ ὄψις ὁρᾷ μέν, οὐκ οἶδεν δὲ ὅτι ὁρᾷ, οὕτω καὶ ἐπ' ἐκείνων.

Ἔδειξεν οὖν ὁ λόγος ὅτι τῆς διαφόρου φύσεως καὶ τὸ ἀγαθὸν διάφορον. διὰ τοῦτο οὖν χρὴ καὶ τῆς φιλοσοφίας τὴν φύσιν εἰδέναι. ἀλλ' ἐπεὶ ταύτην χωρὶς ὁρισμοῦ γνῶναι ἀδύνατον, οἱ γὰρ ὁρισμοὶ ἀνατομαὶ καὶ ἀναπτύξεις εἰσὶ τῶν φύσεων, δεῖ ἐκ τοῦ ὁρισμοῦ ἄρξασθαι. εἰς τοιαύτην γὰρ ἀνάγκην κατήντησεν ὁ λόγος· τοῦ δὲ ὁρισμοῦ πρόσρημα τὸ τί ἐστιν. ἐκ τούτου οὖν δεῖ ἄρξασθαι, ὡς ἔδειξεν ὁ λόγος. τίς δὲ ὁρισμὸς τῆς φιλοσοφίας, ἐν ἑτέρᾳ θεωρίᾳ εὐμενείᾳ τοῦ κρείττονος παραστήσομεν.

Πρᾶξις β'.

Καὶ κατὰ δευτέραν δὲ αἰτίαν ὀφείλομεν ἀπὸ τοῦ τί ἐστιν ἄρξασθαι, τουτέστι τοῦ ὁρισμοῦ, παρέντες τὸ εἰ ἔστιν. ἔδει μὲν γὰρ ἡμᾶς ἀρχομένους τῆς φιλοσοφίας ἀπὸ τοῦ εἴ ἐστιν ἄρξασθαι, ἑπομένους νόμῳ διαλεκτικῷ τῷ λέγοντι, δεῖν ἐπὶ πάσης τέχνης καὶ ἐπιστήμης τέσσαρα προβλήματα ζητεῖν, εἰ ἐστὶ, τί ἐστιν, ὁποῖον τί ἐστι καὶ διατί ἐστι. καὶ εἰκότως καὶ τὸ μὲν εἰ ἐστὶ ζήτημα, ἐπειδὴ πολλὰ μὲν ὀνομάζονται, οὐχ ὑφεστήκασι δέ, οἷον τραγέλαφος, σκινδαψὸς καὶ τὰ τοιαῦτα. ἕτερα δὲ ὀνομάζονται μέν, ἀμφιβαλλομένην δὲ ἔχουσι τὴν ὕπαρξιν, οἷον ἡ ἄναστρος σφαῖρα καὶ οἱ ἀντίποδες. ἐπὶ τούτων πάντων ζητοῦμεν τὸ εἰ ἐστί. τὸ δὲ τί ἐστι ζητοῦμεν ἐπὶ τῶν ὕπαρξιν ἐχόντων, θελόντων δὲ ἡμῶν γνῶναι τί εἰσιν, οἷον ἄνθρωπος καὶ ἵππος. ἀλλ' ἐπειδὴ καὶ αὐτοὶ οἱ ἀναιροῦντες αὐτήν, ἄκοντες δεδώκασι τὸ εἶναι αὐτήν· ἀποδεῖξαι γὰρ βουλόμενοι ὃ οὐκ ἔστιν, εἰσάγουσιν αὐτήν. εἰ[b] γὰρ ἀπόδειξις μέρος φιλοσοφίας, τούτου χάριν ἀφέντες τὸ εἰ ἐστὶν, ἀπὸ τοῦ τί ἐστι τὴν ἀρχὴν ποιησώμεθα· χάριν ἐκείνοις τοῖς ἀναιρεῖν αὐτὴν ἐσπουδακόσιν ὁμολογοῦντες, ὅτι τοῦτο ἐπιτηδεύσαντες μᾶλλον ἡμῖν κατάδηλον αὐτὴν πεποιήκασι διὰ τῶν ἀποδείξεων, ἢ καὶ ὥς φησιν Ἀριστοτέλης ἐν τῷ Προτρεπτικῷ ἐπιγεγραμμένῳ, ἐν ᾧ προτρέπει τοὺς νέους πρὸς φιλοσοφίαν. φησὶ γὰρ οὕτως, "εἰ μὲν φιλοσοφητέον, φιλοσοφητέον, καὶ εἰ μὴ φιλοσοφητέον, φιλοσοφητέον· πάντως ἄρα φιλοσοφητέον."

Εἰ μὲν γάρ ἐστι, πάντως ὀφείλομεν φιλοσοφεῖν, οὔσης αὐτῆς·

[b] Leg. ἡ.

εἰ δὲ μὴ ἔστι, καὶ οὕτως ὀφείλομεν ζητεῖν, πῶς οὐκ ἔστιν ἡ φιλοσοφία· ζητοῦντες δὲ φιλοσοφοῦμεν, ἐπειδὴ τὸ ζητεῖν αἰτία τῆς φιλοσοφίας ἐστι. καὶ κατὰ τρίτην δὲ αἰτίαν δεῖ ἀπὸ τοῦ τί ἐστιν ἄρξασθαι. εἰ γὰρ αἱ προελθοῦσαι ἐκ τῆς φιλοσοφίας, ῥητορικὴ καὶ γραμματικὴ καὶ ἰατρικὴ, εὐθέως ὁρίζονται ἑαυτὰς καὶ ὑπογράφουσι, πολλῷ μᾶλλον ἡ φιλοσοφία τοῦτο πράξει, εὑρέτις οὖσα τούτων, καὶ τοῖς ἑαυτῆς χρήσεται εἰς ἑαυτήν· ταύτης γὰρ εὕρημα ἡ ὁριστικὴ καὶ ἡ διαιρετική.

Δέδεικταί γοῦν διὰ τριῶν αἰτιῶν, ὅτι δεῖ ἡμᾶς ἀπὸ τοῦ ὁρισμοῦ ἄρξασθαι. ἀλλ' ἐπειδὴ τὸν ὁρισμὸν τῆς φιλοσοφίας γνῶναι οὐ δυνατὸν, τοῦ ἁπλῶς ὁρισμοῦ ἀγνοουμένου, ὥσπερ οὐδὲ γράφειν καλῶς δυνατὸν, τὸν αὐτὸ τοῦτο ἁπλῶς γράφειν μὴ ἐπιστάμενον, οὐδὲ ἀττικίζειν ἄνευ τοῦ ἁπλῶς διαλέγεσθαι· οὕτως οὐδὲ τὸν τινὰ ὁρισμὸν δυνατὸν γνῶναι, τοῦ ἁπλῶς ὁρισμοῦ ἀγνοουμένου. φέρε οὖν τρία τινὰ περὶ ὁρισμοῦ ζητήσωμεν. πρῶτον μὲν τί ἐστιν ὁρισμός· δεύτερον πόθεν εἴρηται ὁρισμός· τρίτον πόθεν λαμβάνεται πᾶς ὁρισμός. καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου.

Ὁρισμὸς τοίνυν ἐστι λόγος σύντομος τῆς ἑκάστου φύσεως δηλωτικός. λόγος δὲ εἴρηται διὰ τὸ ὄνομα, ἐπειδὴ καὶ αὐτὸ δηλοῖ φύσιν. ἐὰν γὰρ εἴπω ἄνθρωπον, τῶν λοιπῶν ζώων χωρίζων. ἀλλὰ μία λέξις τὸ ὄνομα, ὁ δὲ ὁρισμὸς σωρεία καὶ συναγωγή ἐστι πλειόνων λέξεων· τὸ δὲ σύντομος πρόσκειται διὰ τὰ ἀποτάδην λεγόμενα ῥητορικὰ καὶ ἰατρικὰ, ἢ καὶ διὰ τὸ ὄνομα· συντομωτάτη γὰρ ἡ διὰ τοῦ ὀνόματος δήλωσις· σύντομος δὲ καὶ ἡ τῶν ὁρισμῶν. διὸ καὶ τὸν ὁρισμὸν τινὲς φασὶν ὄνομα ἐξηπλωμένον, τὸ δὲ ὄνομα ὁρισμὸν συνεσταλμένον. πρόσκειται γὰρ τῆς ἑκάστου φύσεως δηλωτικὸς, διὰ τὰς ὑπογραφάς. αἱ γὰρ ὑπογραφαὶ οὐ τὴν ἑκάστου φύσιν δηλοῦσιν, ἀλλὰ τὸ συμβαῖνον ἑκάστῳ. οἱ δὲ ὁρισμοὶ τὴν ἑκάστου φύσιν δηλοῦσι. καὶ εἰκότως· ἐπειδὴ οἱ ὁρισμοὶ ἐκ τῶν κατ' οὐσίαν λαμβάνονται. κατ' οὐσίαν δὲ ἐκεῖνα λέγω, ὧν χωρὶς οὐ δύναται ὑποστῆναι τὸ ὁριζόμενον· οἷον ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ὑφίσταται ποτὲ ἄνθρωπος, ἢ ἐπινοεῖται[c], καὶ ἑνὸς δὲ τούτων ἀπόντος οὐχ ὑφίσταται. αἱ δὲ ὑπογραφαὶ ἐκ τῶν συμβεβηκότων λαμβανόμεναι δύναται χωρίζεσθαι χωρὶς φθορᾶς τοῦ ὑποκειμένου. οἷον

[c] In marg. καὶ χωρὶς τούτων.

Σωκράτης ἐστὶν Ἀθηναῖος, φαλακρὸς, προγάστωρ, σιμὸς, μέλας. τούτων χωρὶς δύναται ὑποστῆναι ὁ Σωκράτης. εἰκότως οὖν τὸν ὁρισμὸν λέγομεν δηλωτικὸν τῆς φύσεως, ὡς τῶν ὑπογραφῶν οὐ τὴν φύσιν δηλουσῶν, ἀλλὰ τὸ συμβαῖνον ἑκάστῳ· ὅθεν καὶ ὑπογραφὴ εἴρηται, οἷον ὑφειμένη γραφὴ οὖσα καὶ σκιαγραφία, ὡς τῶν ὁρισμῶν τῇ τελείᾳ γραφῇ ἀναλογούντων, λέγω δὴ τῇ διὰ τῶν χρωμάτων. ἀποροῦσι δέ τινες ὅτι εἰ τοῦ ὁρισμοῦ ὁρισμὸν εἶπας, εἰπὲ κατ᾽ ἐκείνου ὁρισμὸν, καὶ τοῦτο ἐπ᾽ ἄπειρον. πρὸς ὃ φαμὲν ὅτι ὁ τὸν καθόλου ὁρισμὸν ὁρισάμενος λόγος, καὶ ἑαυτὸν συμπεριέλαβεν. ὡς εἴ τις ἄνθρωπος ὁρίσαιτο τὸν καθ᾽ ὅλου ἄνθρωπον. ὁ γὰρ τοιοῦτος καὶ ἑαυτὸν συμπεριέλαβε. καὶ ὁ ὁριζόμενος γὰρ ζῶον λογικὸν, καὶ ὁ καθόλου ἄνθρωπος. ἐν οἷς τὸ πρῶτον κεφάλαιον.

Πρᾶξις γ.

Δεύτερον ζητείσθω, πόθεν εἴρηται ὁ ὁρισμός; ὁρισμὸς τοίνυν εἴρηται ὡς ἐκ μεταφορᾶς τῶν ὁροθεσίων τῆς γῆς. πάλαι γὰρ τοῦ Νείλου ἀνιόντος καὶ συγχέοντος τὰς ἀρούρας, μετὰ τὴν ἀπόστασιν αὐτοῦ πόλεμοι ἐγίνοντο καὶ φόνοι περὶ τὴν διανομὴν τῆς γῆς. ἐπενόησαν οὖν ὁροθέσια τινὰ πρὸς δήλωσιν τῶν τόπων· καὶ ἐπαύσαντο τοῦ πολεμεῖν· διὸ καὶ ἄκαινα μέτρον κέκληται παρ᾽ αὐτοῖς, παρὰ τὴν στέρησιν τοῦ φόνου, καίνω γὰρ τὸ φονεύω. οὕτως οὖν καὶ οἱ ἐξηγηταὶ τῶν φύσεων ὁρισμοὶ, τοῦ δικαίου καὶ τῆς ἀντιστροφῆς στοχαζόμενοι, οὐδὲ ἐλλείπειν θέλουσιν οὐδὲ πλεονάζειν· τότε γὰρ μόνον ἀντιστρέφουσιν, ἀντὶ τοῦ ἰσόστροφοί εἰσι τῷ πράγματι. τὸ γὰρ ἀντὶ ἐπὶ τοῦ ἴσου λαμβάνεται, ὥσπερ ἀντίθεος καὶ ἀντιάνειρα καὶ τὰ τοιαῦτα. καὶ θαυμαστὸς ὁ τῆς κακίας τῶν ὁρισμῶν τρόπος. εἴτε γὰρ ἐλλείψωσι τῇ λέξει, τῷ πράγματι πλεονάζουσιν· εἴτε πλεονάσωσι τῇ λέξει, τῷ πράγματι τῷ ὁριστῷ φημὶ, ἐλλείπουσιν. οἷον, ὡς ἵνα εἴπω, ἄνθρωπος ζῶον, ἰδοὺ τῇ λέξει ἐνέλλειπον, ἐπλεόνασα δὲ τῷ πράγματι συμπεριλαβὼν ἀγγέλους καὶ ἄλλα ζῶα. εἰ δὲ πάλιν εἴπω, ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν, μηχανικὸν, ἐπλεόνασα μὲν τῇ λέξει, τῷ δὲ πράγματι ἐνέλλειπον, φημὶ τῷ ὁριστῷ, διότι οὐ πᾶς ἄνθρωπος, μηχανικός. ἔστι μὲν γὰρ μηχανικὸν ἄνθρωπος, οὐκ ἔστι δὲ ἄνθρωπος μηχανικόν. τότε οὖν ἀντιστρέφουσιν, ὅτε μήτε

ἐλλείπωσι, μήτε πλεονάζωσιν. ἐν οἷς καὶ τὸ δεύτερον κεφάλαιον.

Τρίτον κεφάλαιον ἐν ᾧ ζητητέον πόθεν λαμβάνεται πᾶς ὁρισμός. καὶ λέγομεν ὅτι ἐκ τοῦ ὑποκειμένου, ἢ ἐκ τοῦ τέλους, ἢ ἐκ τοῦ συναμφοτέρου· καὶ εἰκότως. πᾶσα γὰρ τέχνη καὶ ἐπιστήμη καὶ ὑποκείμενον ἔχει καὶ τέλος. ὑποκείμενον μὲν, περὶ ὃ καταγίνεται, τέλος δὲ ὃ προτίθεται ποιῆσαι. τῇ ῥητορικῇ ὑπόκεινται τὰ ἰδιωτικὰ καὶ πολιτικὰ πράγματα. ἰδιωτικὰ δὲ λέγω τοὺς ἐπιτροπικοὺς Δημοσθένους λόγους, ἢ ὅταν ἑνί τινι συνηγορῇ. πολιτικὰ δὲ, τὰ δημόσια πάντα, ὅταν συνεβούλευε τῇ πόλει Φιλίππῳ πολεμῆσαι. τέλος δὲ ταύτης τὸ πεῖσαι. τῇ γραμματικῇ ὑπόκεινται πᾶσαι αἱ Ἑλληνίδες φωναί. τέλος δὲ αὐτῆς, μηδέποτε ἁμαρτεῖν περὶ αὐτὰς, μήτε περὶ μίαν μήτε περὶ πολλάς. ἡ μὲν γὰρ περὶ μίαν ἁμαρτὰς, βαρβαρισμὸς εἴρηται· ἡ δὲ περὶ πλείονας σολοικισμὸς, ὡς σώου λόγου αἰκισμός.

Εἰ οὖν πᾶσα τέχνη καὶ ὑποκείμενον ἔχει καὶ τέλος, εἰκότως οἱ ὁρισμοὶ, ἢ ἐξ ἑνὸς τῶν β, ἢ ἐκ τοῦ συναμφοτέρου λαμβάνονται. ἐκ τοῦ ὑποκειμένου μὲν, ὡς ἵνα εἴπω, ἰατρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη. ἐκ τοῦ τέλους δὲ, ὑγείας περιποιητική. ἐκ δὲ τοῦ συναμφοτέρου, τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη, ὑγείας περιποιητική. δεῖ δὲ εἰδέναι ὅτι ἐπὶ πασῶν τῶν ἄλλων τεχνῶν καὶ ἐπιστημῶν, μόνος ὁ ἐκ τοῦ συναμφοτέρου τέλειος ὁρισμὸς, ἐπὶ δὲ τὰ ὑποκείμενα αὐταῖς, καὶ ἄλλαις ὑπόκεινται τέχναις. οἷον τὰ ἀνθρώπεια σώματα ὑπόκεινται κουρεῖ, παιδοτρίβῃ. ἀλλὰ καὶ τὰ πολιτικὰ ὑπόκεινται καὶ ἄλλαις ὁμοίως· καὶ τὰ τέλη οὐχ ὑπὸ μόνων τῶν εἰρημένων γίνονται, ἀλλὰ καὶ ὑπὸ τύχης καὶ ὑπὸ ἄλλων τινῶν. τὴν γὰρ ὑγείαν οὐ μόνος ἰατρὸς ποιεῖ, ἀλλὰ καὶ ἐκ τύχης γίνεται, ὡς εἴρηται ἐν τῷ περὶ αἱρέσεων. καὶ γραῦς ἐπάδουσα ὑγείαν ποιεῖ, καὶ περιαπτὸν ὁμοίως. καὶ ἡ πειθὼ οὐχ ὑπὸ μόνης ῥητορικῆς γίνεται, ἀλλὰ καὶ χρυσὸς πείθει, καὶ δάκρυα πείθει, καὶ κάλλος πείθει, καὶ ἕτερα πολλά. ὁ γοῦν Ὑπερίδης[a] ὁ ῥήτωρ συνηγορῶν Φρύνῃ τῇ πόρνῃ, αἰσθόμενος ἐν τοῖς ἑαυτοῦ ἐπιλόγοις ὅτι οὐκ ἔπεισε τοὺς δικαστὰς, ἐπέτρεψε

a Cod. ὑπερειδης.

τῇ πόρνῃ διαρρῆξαι τοὺς χιτῶνας, καὶ τότε διὰ τῆς τῶν μαζῶν θέας εἷλεν αὐτούς.

Κριτέον οὖν τὰς ἕξεις οὐκ ἐκ τοῦ τέλους, ἀλλ᾽ ἐκ τῆς τοῦ τέλους παρασκευῆς· ἴδιον γὰρ ἰατροῦ οὐ τὸ ὑγιάσαι ἀλλὰ τὸ μηδὲν παραλιπεῖν τῶν εἰς ὑγείαν ἀγόντων. καὶ ῥήτορος τέλος οὐ τὸ πεῖσαι, ἀλλὰ τὸ μηδὲν παραλιπεῖν τῶν εἰς πειθὼ ἀγόντων. εἰκότως οὖν ἐπὶ μὲν τῶν ἄλλων τεχνῶν καὶ ἐπιστημῶν, μόνος ὁ ἐκ τοῦ συναμφοτέρου τέλειος ὁρισμός· ἐπὶ δὲ τῆς φιλοσοφίας, καὶ ὁ ἐκ θατέρου τέλειος· διότι τὸ ὑποκείμενον τῇ φιλοσοφίᾳ, ἄλλῃ τέχνῃ ἢ ἐπιστήμῃ οὐχ ὑπόκειται.

Πρᾶξις Δ.

Μεμαθήκαμεν διὰ τῶν φθασάντων ὅτι οἱ ὁρισμοὶ ἐκ τριῶν λαμβάνονται· ἐκ τοῦ ὑποκειμένου, ἐκ τοῦ τέλους, ἐκ τοῦ συναμφοτέρου. φέρε οὖν μάθωμεν τί ὑπόκειται τῇ φιλοσοφίᾳ, καὶ τί τὸ τέλος αὐτῆς, καὶ πῶς ἐκ τούτων ὁρίζεται. δεῖ εἰδέναι ὅτι πάντα τὰ ὄντα ὑπόκεινται τῇ φιλοσοφίᾳ· διὸ καὶ γνῶσις, ὡς μόνη πάντα γινώσκουσα. αἱ μὲν γὰρ ἄλλαι τέχναι ἤγουν ἐπιστῆμαι περὶ ἓν καταγινόμεναι, ἓν μέν τι γινώσκουσι, πολλὰ δὲ ἀγνοοῦσι, καὶ μᾶλλον ἄγνοιαί εἰσιν, εἴπερ γνώσεις· ἡ δὲ φιλοσοφία μᾶλλον γνῶσις, ὡς πάντα τὰ ὄντα ἐπαγγελλομένη εἰδέναι. τέλος δὲ τῆς φιλοσοφίας τὸ διὰ τῆς γνώσεως πάντων τῶν ὄντων, θεὸν ἐπίγειον δεῖξαι τὸν ἄνθρωπον, καὶ τοιοῦτον οἷον τὸν Λυκοῦργον ἡ Πυθία προσεῖπεν·

Ἤλυθες, ὦ Λυκόεργε, ἐμὸν ποτὶ πίονα νηόν.
δίζω εἴ σε θεὸν μαντεύσομαι, ἠὲ καὶ ἄνδρα.

καὶ μὴ νομίσῃς, ἐπειδὴ εἶπε "δίζω," ὅτι ἠγνόει· κατὰ τὰς Ἑλλήνων φημὶ ψευδεῖς δόξας· ἢ γὰρ ἂν ἡ Πυθία ἑτέρας ἐδεῖτο Πυθίας· ἀλλ᾽ ἐπειδὴ φύσει ἀμφίβολον ἦν, εἰ θεὸς ὁ Λυκοῦργος ἢ ἄνθρωπος. τὰ γὰρ ἀμφιβαλλόμενα ἄλλως οὐ γινώσκεται, εἰ μὴ μετὰ τοῦ ἀμφιβάλλειν. ὥσπερ γὰρ τὸ χλιαρὸν μέσον ὂν ψυχροῦ καὶ θερμοῦ, ἐὰν εἴπωμεν αὐτὸ θερμὸν, ψευδόμεθα, ὁμοίως καὶ ψυχρόν· εἰ δὲ μετὰ ἀμφιβολίας εἴπωμεν, οὐκ οἶδα τί αὐτὸ καλέσω, θερμὸν ἢ ψυχρὸν, ἔννοιαν παρέχωμεν τῷ ἀκούοντι ὅτι μετέχει καὶ θερμότητος, μετέχει καὶ ψυχρότητος. ὁμοίως καὶ τὸ

φαιὸν μέσον ὂν λευκοῦ καὶ μέλανος, ἐὰν εἴπωμεν αὐτὸ λευκὸν, ψευδόμεθα, ὁμοίως καὶ μέλαν· εἰ δὲ μετὰ ἀμφιβολίας, δῆλον γίνεται τῷ ἀκούοντι ὅτι μετέχει ἑκατέρου. οὕτως καὶ ἡ Πυθία, εἰ εἶπεν αὐτὸν θεὸν, ἐψεύδετο, ἄνθρωπον ὄντα. καὶ εἰ ἄνθρωπον εἶπεν αὐτὸν, ὁποῖοι εἰσὶν οἱ πολλοὶ τῶν ἀγελαίων, ἐψεύδετο, οὐ γὰρ ἦν τοιοῦτος, ἀλλὰ ἔνθεον αὐτὸν ἄνθρωπον εἶπεν. ὁμοίως καὶ ὁ Πλάτων ἐν τοῖς Νόμοις εἰσάγει τὸν Σωκράτη ἐρωτῶντα Κρῆτα καὶ Λάκωνα πολίτην περὶ Μίνωος καὶ Λυκούργου, οὓς ᾔδει νομοθέτας, Μίνω μὲν Κρητῶν, Λυκοῦργον δὲ Λακώνων· "θεὸς ὑμῖν, ὦ ξένοι, ἤ τις "ἀνθρώπων τῆς αἰτίας τῶν νόμων γέγονεν αἴτιος;" καὶ ἀπεκρίνατο ὁ Κρής· ὡς τιμιώτερος γὰρ ὁ Μίνως διὰ τὸν Δία. λέγουσι γὰρ αὐτὸν Ἕλληνες ὑπὲρ ἐννέα ἔτη ἀνιέναι πρὸς τὸν Δία, διορθώσεως τῶν νόμων χάριν· καὶ τοῦτο αἰνίττεται Ὅμηρος λέγων·

ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστύς.

τοιοῦτον οὖν ἡ φιλοσοφία θέλει δεῖξαι τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς.

Ἐπεὶ οὖν ἔγνωμεν τί τὸ τέλος τῆς φιλοσοφίας, καὶ τί τὸ ὑποκείμενον αὐτῇ, φέρε εἴπωμεν καὶ πῶς ἐκ τούτων ὁρίζεται. δεῖ εἰδέναι ὅτι ἕξ εἰσιν οἱ ὁρισμοὶ τῆς φιλοσοφίας, καὶ οὔτε πλείους οὔτε ἐλάττους· δύο ἐκ τοῦ ὑποκειμένου, δύο ἐκ τοῦ τέλους· εἷς ἐκ τῆς ὑπεροχῆς, καὶ εἷς ἐκ τῆς ἐτυμολογίας. ἡ δὲ τάξις αὐτῶν ἐστιν αὕτη. ἔσχατος πάντων ὁ ἐκ τῆς ἐτυμολογίας, ὡς περὶ φωνὰς μόνας ἠσχολημένος, καὶ οὐδὲν τοῦ πράγματος λέγων, τῆς φιλοσοφίας περὶ τὰ ὄντα ἐπτοημένης. μετ' αὐτόν ἐστιν ὁ ἐκ τῆς ὑπεροχῆς· ἐπειδὴ τὰ κοινὰ προηγοῦνται τῶν ἰδικῶν. καὶ κοινοὶ μὲν πάσης τέχνης καὶ ἐπιστήμης ὁρισμοὶ οἱ ἐκ τοῦ ὑποκειμένοι καὶ ἐκ τοῦ τέλους λαμβανόμενοι, ὁ δὲ ἐκ τῆς ὑπεροχῆς ὁρισμὸς, ἴδιος τῆς φιλοσοφίας. μόνη γὰρ αὕτη ἐκ τῆς ὑπεροχῆς ὁρισμὸν ἔσχε, τῶν ἄλλων ὡς εἴρηται ἐκ τοῦ συναμφοτέρου ὁριζομένων. μετὰ δὲ τὸν ἐκ τῆς ὑπεροχῆς εἰσὶν οἱ ἐκ τοῦ τέλους· καὶ μετὰ τοῦ τέλους εἰσὶν, οἱ ἐκ τοῦ ὑποκειμένου. ἀεὶ γὰρ τὸ ὑποκείμενον προηγεῖται τοῦ τέλους. καὶ οὕτως μὲν ἀναλυτικῶς. συνθετικῶς δὲ πάλιν οὕτως. πρῶτος ὁ λέγων γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί· δεύτερος ὁ λέγων γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων· μετ' αὐτὸν ὁ λέγων μελέτη θανάτου· τέταρτος ὁ λέγων ὁμοίωσις θεῷ κατὰ τὸ

δυνατὸν ἀνθρώπῳ· πέμπτος ὁ ἐκ τῆς ὑπεροχῆς, ὁ λέγων τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν· ἕκτος ὁ ἐκ τῆς ἐτυμολογίας, ὁ λέγων φιλία σοφίας· αὕτη μὲν ἡ τάξις. ἐφ' οἷς εἴπωμεν τίνες εὗρον τοὺς ὁρισμοὺς τῆς φιλοσοφίας.

Δεῖ εἰδέναι ὅτι τὸν ἐκ τῆς ἐτυμολογίας τὸν ἕκτον καὶ τοὺς δύο τοὺς ἐκ τοῦ ὑποκειμένου, ὁ Πυθαγόρας εἶπε· τοὺς δύο τοὺς ἐκ τοῦ τέλους ὁ Πλάτων· τὸν μὲν ἐν Θεαιτήτῳ "τὸν λέγοντα ὁμοίω-" σις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ." τὸν δὲ ἐν Φαίδωνι τὸν λέγοντα, "μελέτη θανάτου." τὸν ἐκ τῆς ὑπεροχῆς, Ἀριστοτέλης φησὶν ἐν τῇ μετὰ τὰ φυσικά· ἐφ' οἷς ἀποροῦσι τινὲς, ὅτι διατί ἓξ ὁρισμοὶ τῆς φιλοσοφίας; καὶ λέγομεν τούτου αἰτίαν τοιαύτην. ὅτι ἡ φιλοσοφία οὔτε πρᾶγμα ἐστὶν ἀνώνυμον, οἷα πολλά εἰσιν, ἀλλ' οὐδὲ φωνὴ ἄσημος· ἐπεὶ οὖν καὶ ὀνομάζεται καὶ ὑφέστηκε. διότι μὲν ὀνομάζεται, ἔχει τὴν ἐκ τῆς ἐτυμολογίας[a], ᾗ δὲ ὑφέστηκε, τὸ εἶναι ἐν πρώτῃ ἔσχεν ἐπιστήμῃ· καὶ ᾗ μὲν πρώτῃ, τὸν ἐκ τῆς ὑπεροχῆς ἔσχε· τὸ γὰρ πρῶτον ὑπεροχή· ᾗ δὲ ἐπιστήμῃ, ἔσχε τοὺς δύο τοὺς ἐκ τοῦ ὑποκειμένου, καὶ τοὺς δύο τοὺς ἐκ τοῦ τέλους. ἐφ' οἷς ἀποροῦσιν, ὅτι διατί δύο ἐκ τοῦ ὑποκειμένου καὶ δύο ἐκ τοῦ τέλους; καὶ φαμὲν πρὸς τοῦτο ὅτι τὸ ὑποκείμενον διττὸν, ἢ καθόλου ἢ μερικὸν, οἷον τῷ τέκτονι ὑπόκειται καὶ τόδε τὸ ξύλον τὸ ἀκάνθινον, φέρε εἰπεῖν, ἢ δρύϊνον, καὶ πᾶν ξύλον.

Διὰ μὲν οὖν τὸ καθόλου, ἔσχε τὸν λέγοντα, γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστι· διὰ δὲ τὸ μερικὸν ἔσχε τὸν λέγοντα, γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων· ὁμοίως τὸ τέλος διττὸν, προσεχὲς ἢ πόρρω· οἷον προσεχὲς τέλος τῷ ἰατρῷ, τήνδε τὴν διάθεσιν ὑγιᾶσαι, τὴν πυρεκτικὴν φέρε εἰπεῖν. πόρρω δὲ, πᾶσαν διάθεσιν ὑγιᾶσαι. διὰ μὲν οὖν τὸ προσεχὲς ἔσχε τὸν λέγοντα, μελέτη θανάτου· διὰ δὲ τὸ πόρρω, ἔσχε τὸν λέγοντα, ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ· προσεχέστερον γὰρ τὸ καθᾶραι τὴν ψυχὴν αὐτοῦ, εἶτα καθαρθεῖσαν ἐξομοιῶσαι θεῷ· πρότερον γὰρ καθαίρει τις ἑαυτὸν, καὶ εἶθ' οὕτως ἐξομοιοῦται θεῷ· μὴ καθαρὸν γὰρ καθαροῦ ἐφάπτεσθαι οὐ θεμιτὸν κατὰ τὰς Πλάτωνος φωνάς.

Τινὲς δὲ προστιθέασι καὶ ἄλλον ὁρισμὸν ἕβδομον. οἱ γὰρ

οι
[a] ἐτυμολογίας Cod.

ἰατροὶ χάλκεα χρυσέων ἀμειψάμενοι, οὐκ ἔμπαλιν χρύσεα χαλκείων καθ' Ὅμηρον, τοὺς ὁρισμοὺς ἤμειψαν, καὶ τὴν ἰατρικὴν ὡρίσαντο φιλοσοφίαν σωμάτων, τὴν δὲ φιλοσοφίαν ἰατρικὴν ψυχῶν. ἀλλ' ὦ ἰατροί, διάλληλος ἡ τοιαύτη δεῖξις, τὸ σαφὲς ἐκ τοῦ ἀσαφοῦς δεικνύουσα· διάλληλος δέ ἐστι δεῖξις ὅτε δύο τινῶν ἀμφιβαλλομένων πραγμάτων, ἑκάτερον διὰ τοῦ λοιποῦ θελήσωμεν πιστώσασθαι· οἷον ἀγνοῶν ποῦ μένει Θέων, καὶ εἴπῃς, ὅπου Δίων, εἰ ἐπανερωτήσω, καὶ ποῦ μένει Δίων, καὶ εἴπῃς ὅπου Θέων. ὁμοίως, ἡ δεῖνα τέτοκεν, ἐπειδὴ γάλα ἔχει, γάλα δὲ ἔχει ἐπειδὴ τέτοκε· φευκτέα δὲ ἡ διάλληλος δεῖξις παρὰ φιλοσόφοις, ὡς τὰ αὐτὰ τῶν αὐτῶν πρότερα ποιοῦσα καὶ ὕστερα σαφέστερα καὶ ἀσαφέστερα, αἴτια καὶ αἰτιατά. ὅτε μὲν γὰρ διὰ τοῦ Δίωνος δείκνυται ποῦ μένει Θέων, ὁ Δίων σαφέστερος ἐστὶ πρότερος αἴτιος· ὅτε δὲ ἔμπαλιν διὰ τοῦ Θέωνος γίνεται ἡ δεῖξις, ὁ Θέων σαφέστερος ἐστι, καὶ πρότερος καὶ αἴτιος. ἄλλως τε ἀδολεσχίαν εἰσάγει ὁ λόγος· εἰ γὰρ Θέων μένει ὅπου Δίων, Δίων δὲ μένει ὅπου Θέων, Θέων ἄρα μένει ὅπου Θέων· καὶ εἰ ἡ δεῖνα τέτοκε ἐπειδὴ γάλα ἔχει, γάλα δὲ ἔχει ἐπειδὴ τέτοκε, τέτοκε ἄρα ἐπειδὴ τέτοκεν· ὅπερ ἐστιν ἀδολεσχῆσαι. φευκτέον οὖν τὸ τοιοῦτον, οὐ μόνον ἐπὶ τῶν ἀποδείξεων, ἀλλὰ καὶ ἐπὶ τῶν ὁρισμῶν, ἀρχῶν ὄντωνἀπ οδείξεως. καὶ οὗτος δὲ ἀνάγεται ὑπὸ τὸν ἐκ τοῦ τέλους ὁρισμὸν, τὸν λέγοντα μελέτη θανάτου· ὁ γὰρ θάνατος τῆς ἀκολάστου ζωῆς ἰατρεία ψυχῆς ἐστιν.

Ἄλλον ὄγδοον ὁρισμὸν ἀναφέρουσι τῷ Πλάτωνι εἰρημένον ἐν Θεαιτήτῳ. φησὶ γὰρ ἐκεῖ τὴν φιλοσοφίαν μεγίστην μουσικήν· μουσικὴν δὲ οὐ χορδὰς ἁρμόζουσαν, ἐντελὲς γὰρ τοῦτο, ἀλλὰ τὰ μόρια τῆς ψυχῆς, λόγον, θυμὸν, ἐπιθυμίαν· ἵνα ὁ μὲν λόγος ἀεὶ ἄρχῃ, ὁ δὲ θυμὸς ἄρχηται ὑπὸ τοῦ λόγου, καὶ ἄρχῃ τῆς ἐπιθυμίας, ἡ δὲ ἐπιθυμία ἄρχηται. ὅταν γὰρ ταῦτα ἰδιοπραγῶσι, σώζεται ἡ ἁρμονία τῆς ψυχῆς· εἰ δὲ τὰ χείρω τυραννήσει, ποιεῖ ἀναρμοστίαν, ἐὰν ἡ ἐπιθυμία κρατήσῃ, ὡς ἐπὶ τῆς Φαίδρας δι' ἔρωτα ἀπαγξαμένης· ἢ ὅταν ὁ θυμὸς κρατῇ τοῦ λόγου, ὡς ἐπὶ τῆς Μηδείας φασκούσης·

αἶ μ' ἀθλίαν, οἷα δρᾶν μέλλω κακά.
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.

ἀλλὰ καὶ οὗτος ὁ ὁρισμὸς ἀνάγεται ὑπὸ τὸν ἐκ τῆς ὑπεροχῆς· τὸ γὰρ μέγιστον ὑπεροχή ἐστιν.

Πρᾶξις ε.

Μετὰ τὸ πλῆθος τῶν ὁρισμῶν τῆς φιλοσοφίας, καὶ τὴν τάξιν αὐτῶν καὶ τοὺς εὑρετὰς αὐτῶν, καὶ τὴν αἰτίαν δι' ἣν εἰσὶν ἕξ, ἐκ διαιρέσεως τοῦτο δέδεικται, καὶ ἐκ τοῦ ἀνελεῖν ἡμᾶς τοὺς προστεθέντας β, φέρε ἔλθωμεν ἐπὶ τὴν ἐξήγησιν αὐτῶν. πρῶτος τοίνυν ὁρισμός ἐστι τῆς φιλοσοφίας, ἐκ τοῦ καθόλου ὑποκειμένου λαμβανόμενος, καὶ εἰς Πυθαγόραν ἀναγόμενος, ὁ λέγων γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί. καὶ οὐκ ἔχομεν εἰπεῖν ἐν ποίῳ συγγράμματι ὁ Πυθαγόρας εἶπεν αὐτόν· οὐδὲ γὰρ κατέλιπε συγγράμματα. ἀλλ' ὃ τοῖς ἄλλοις τὰ συγγράμματα, τοῦτο ἐκείνῳ οἱ μαθηταί· οὐδὲ γὰρ ὡς ἐν ἀγγείῳ ἀψύχῳ ᾤετο δεῖν καταλιπεῖν τοὺς ἑαυτοῦ λόγους, διότι οὐδὲν πλέον ὑπὲρ ἑαυτῶν ἢ τῶν διδασκάλων δύνανται ἀπολογεῖσθαι. καλῶς δὲ πρόσκειται ἐν τῷ ὁρισμῷ τὸ "ᾗ ὄντα," ἀντὶ τοῦ καθὸ ὄντα. ἵνα οἶδε τὴν φύσιν τῶν ἀστέρων τὸ πόθεν εἰσὶ, καὶ τὴν φύσιν τῶν ἀνθρώπων· οὐδὲ γὰρ πόσοι οἱ ἀστέρες, ἢ πόσοι οἱ ἄνθρωποι θέλει εἰδέναι, ἀλλὰ τὴν φύσιν αὐτῶν· ὁ γὰρ τοὺς ἀνθρώπους ᾗ ἄνθρωποι ἐπιστάμενος, οὗτος καὶ τοὺς γεγονότας καὶ τοὺς ὄντας καὶ τοὺς μέλλοντας εἴσεται· καὶ κατὰ τὸν ποιητὴν,

μάντις ἄριστος
ὃς κ' ἴδῃ τά τ' ἐόντα, τά τ' ἐσόμενα πρό τ' ἐόντα.

Ἀποροῦσι δέ τινες, ὅτι διατί μὴ εἶπε πάντων τῶν ὄντων; καὶ λέγομεν ὅτι τῷ "ᾗ ὄντα" συμπεριέχεται τὸ πάντων. ὁ γὰρ τὸ ὂν εἰδὼς, καὶ πᾶν ὂν οἶδε, καὶ ὁ τὸν ἄνθρωπον εἰδὼς, καὶ πάντα ἄνθρωπον οἶδεν. ἢ καὶ ἄλλως· ὅτι τὸ "ᾗ" ἄρθρον ἰσοδυναμεῖ τῷ πάντων· τὰ γὰρ ἄρθρα τοῖς καθόλου προσδιορισμοῖς ἰσοδυναμεῖ, εἰ μὴ ἀναφορικὰ εἴη, οἷον ἄνθρωπος ἦλθε, τοῦτο γὰρ ὡς ἐπὶ ἐγνωσμένου λέγεται ἀνθρώπου. εἰ δὲ εἴπω ὅτι ὁ ἄνθρωπος ζῶον, ἰσοδυναμεῖ τὸ ὁ ἄρθρον τῷ πᾶς ἄνθρωπος· πᾶς γὰρ ἄνθρωπος ζῶον. ἄλλη πάλιν ἀπορία. εἰ πάντα τὰ ὄντα γινώσκει ἡ φιλοσοφία, πάρεργοι αἱ ἄλλαι τέχναι· οὐδὲν γὰρ εὑρίσκεται ὑποκείμενον

αὐταῖς. καὶ λέγομεν ὅτι τῇ φιλοσοφίᾳ ὑπόκεινται πάντα τὰ ὄντα, πρὸς γνῶσιν καὶ θεωρίαν μόνην, ταῖς δὲ ἄλλαις τέχναις, ἵνα πράξωσί τι περὶ αὐτά· οἷον ἡ φωνὴ ὑπόκειται τῷ φιλοσόφῳ, ἵνα γνῷ τὰ αἴτια αὐτῆς, καὶ ὑπὸ ποίας δυνάμεως γίνεται· τῷ δὲ γραμματικῷ, ἵνα τί πράξῃ περὶ αὐτὴν, καὶ γνῷ τὴν συνθήκην αὐτῆς. τὰ ἀνθρώπινα σώματα ὑπόκεινται τῷ φιλοσόφῳ, ἵνα γνῷ τὴν φύσιν αὐτῶν μόνον καὶ τὰ στοιχεῖα· τῷ δὲ ἰατρῷ ἵνα ἐργάσηται περὶ αὐτὰ ὑγείαν. εἰ δὲ λέγεις, ὅτι τί οὖν οὐ προγινώσκει ὁ ἰατρός; καὶ λέγομεν ὅτι προγινώσκει, ἵνα μὴ μόνον οἶδεν αὐτὰ ὡς ὁ φιλόσοφος, ἀλλ' ἵνα καὶ πράξῃ τί διὰ τῆς γνώσεως· ὁμοίως καὶ ὁ γραμματικὸς οἶδε τὰ ὀκτὼ μέρη τοῦ λόγου, οὐχ ἵνα οἶδεν αὐτὸ τοῦτο, ἀλλ' ἵνα ἐργάσηται Ἑλληνίδα φωνήν. καὶ ἁπλῶς εἰπεῖν ὁ φιλόσοφος τὰς φύσεις αὐτῶν οἶδεν, αἱ δὲ ἄλλαι τέχναι τὰ συμβαίνοντα τοῖς οὖσιν.

Ἄλλος ὁρισμὸς τῆς φιλοσοφίας ἐκ τοῦ μερικοῦ ὑποκειμένου λαμβανόμενος, καὶ αὐτὸς εἰς Πυθαγόραν ἀναγόμενος, ὁ λέγων "γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων." τί φῇς, ὦ Πυθαγόρα; θεῖα καὶ ἀνθρώπινα μὲν οἶδεν ἡ φιλοσοφία; οὐκ οἶδε ἵππου φύσιν καὶ βοὸς καὶ φυτοῦ καὶ τῶν ἄλλων ἁπάντων; καὶ λέγομεν ὅτι πάντα περιέλαβε. διττῶν γὰρ ὄντων πάντων, ἢ ἀϊδίων ἢ φθαρτῶν, καὶ ἐν μὲν τοῖς ἀϊδίοις προὔχοντος τοῦ θείου, ἐν δὲ τοῖς φθαρτοῖς τοῦ ἀνθρώπου, ἀφ' ἑκάστου τοῦ τιμιωτέρου μνησθεὶς, καὶ τὰ λοιπὰ εἰσήγαγεν. ἐφ' οἷς ἀποροῦσιν ὅτι διατί κἀνταῦθα μὴ πρόσκειται τὸ ᾗ ὄντα ἐστί; καὶ λέγομεν ὅτι ὅλως ἔφη εἰς διαφορὰς ἐλθεῖν, καὶ περιττὸν ἦν τὸ ᾗ ὄντα. μνησθεὶς γὰρ θείων, ᾗ θεῖα αὐτὰ οἶδε, καὶ ἀνθρωπείων μνησθεὶς, ᾗ ἀνθρώπεια αὐτὰ οἶδεν. πάλιν ἀποροῦσι τινὲς, ὅτι εἰ λέγεις καὶ τὸν πρῶτον ὁρισμὸν πάντα περιλαβεῖν, καὶ τοῦτον, τί διαφέρει οὗτος ἐκείνου; καὶ πῶς ἐκεῖνον μὲν καθολικὸν, τοῦτον δὲ μερικὸν φατέ; πρὸς ὃ λεκτέον ὅτι αὐτὸ τοῦτο μερικὸν αὐτὸν ποιεῖ τὸ μνησθῆναι αὐτὸν ὀνομαστὶ θείων καὶ ἀνθρωπίνων. δεῖ δὲ εἰδέναι ὅτι πλεονεκτεῖ ὁ πρῶτος ὁρισμὸς τὸν δεύτερον συντομίᾳ καὶ ἀκριβείᾳ· συντομίᾳ μὲν, εἰπὼν τῶν ὄντων, ἀκριβείᾳ δὲ, προσκειμένου τοῦ ᾗ ὄντα. ὁ μέντοι β πλεονεκτεῖ τὸν πρὸ αὐτοῦ σαφηνείᾳ. ἃ γὰρ ἐκεῖνος ἔκρυψεν, οὗτος ἐσαφήνισεν,

εἰπὼν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. τὰ γὰρ ὄντα ἢ θεῖα εἰσὶν ἢ ἀνθρώπινα, συνεπινοουμένων τῶν μέσων ὡς εἴρηται· οὕτως καὶ ὁ Ζεὺς, πατὴρ ἀνδρῶν τε θεῶν τε λέγεται, οὐχ ὅτι καὶ τῶν ἄλλων οὐκ ἔστι πατὴρ, κατὰ τοὺς Ἑλλήνων ψευδεῖς μύθους, ἀλλὰ διὰ τούτων καὶ τὰ λοιπὰ εἰσάγεται.

Ἄλλος ὁρισμὸς τῆς φιλοσοφίας ἐκ τοῦ προσεχοῦς τέλους λαμβανόμενος, ὁ λέγω αὐτὴν μελέτην θανάτου. ἐν γὰρ τῷ Φαίδρῳ τῷ διαλόγῳ οὕτως ὁ Πλάτων ὁρίζεται. φησὶ γὰρ "ὅτι κινδυνεύουσιν οἱ "φιλοσοφοῦντες λεληθέναι σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους, μηδὲν "ἕτερον μελετῶντες πλὴν ἀποθνήσκειν τε καὶ τεθνᾶναι," τουτέστιν ἢ καθαροὶ θέλουσι γίνεσθαι, ἢ ἤδη κεκαθαρμένοι. ὧν τὸ μὲν θνήσκειν ἐνεστῶτος χρόνου ἐστι, καὶ δηλοῖ τὸν καθαρτικὸν φιλόσοφον· τὸ δὲ τεθνᾶναι παρῳχηκότος, καὶ δηλοῖ τὸν κεκαθαρμένον· ὡς συνάγεσθαι ὅτι οὐδὲν ἕτερον μελετῶσιν οἱ φιλόσοφοι, ἢ καθαίρεσθαι ἢ κεκαθᾶρθαι. τουτέστι φιλοσοφία ἐστὶ μελέτη θανάτου. τὸ δὲ κινδυνεύουσιν, ἀντὶ τοῦ δι' ἀνάγκης καὶ ἀποδείξεως τοῦτο αὐτοῖς συνάγεται. ἐφ' οἷς ἀποροῦσι λέγοντες, τί φῂς ὦ Πλάτων; ὁ φιλόσοφος ὃν ἔθου τῷ θεῷ ὅμοιον ἐπὶ γῆς, τυραννίδα μελετᾷ κατὰ τοῦ δημιουργοῦ; καὶ ὃν ἔδησεν ἐκεῖνος δέσμιον, οὗτος ἐπιχειρεῖ λύειν, δίκην τῶν τὰς εἱρκτὰς δραπετευόντων δούλων, παρὰ γνώμην τῶν ἀρχόντων; οὐκ αὐτὸς ἔφης ἐν τῷ αὐτῷ διαλόγῳ ἐναντίας φωνάς· ὡς "ἔν τινι "δὴ φρουρᾷ ἐσμὲν, καὶ οὐ δεῖ ταύτην λύειν, ἄχρις οὗ λύσει ὁ "δήσας;" τί οὖν ποιητέον ὦ Πλάτων; μελετητέον θάνατον διὰ πρώτην σου ῥῆσιν; οὐ μελετητέον θάνατον διὰ τὴν δευτέραν σου ῥῆσιν;

Πρὸς ὃ φαμὲν, ὅτι οὐ διαφωνεῖ ὁ Πλάτων ἑαυτῷ, οὔτε ὁ φιλόσοφος προεξανίσταται τοῦ δημιουργοῦ, καὶ ὃν ἔδησεν ἐκεῖνος δέσμιον, οὗτος ἐπιχειρεῖ λύειν. ἀλλ' ἐπειδὴ ὁ θάνατος διττὸς, μᾶλλον δὲ ἡ ζωὴ, ἵνα ἀπὸ τῶν σαφεστέρων ἄρξωμαι, σαφέστεραι γὰρ αἱ ἕξεις τῶν στερήσεων. ἔστι γὰρ φυσικὴ ζωὴ καὶ προαιρετικὴ ζωή· καὶ φυσικὴ ζωή ἐστι δεσμὸς ψυχῆς καὶ σώματος, ὅτε ἡ ψυχὴ χορηγεῖ αἴσθησιν καὶ κίνησιν τῷ σώματι, ἣν πάντες οἱ ἄνθρωποι ὑπομένομεν. προαιρετικὴ δὲ ζωή ἐστι δεσμὸς ψυχῆς καὶ σώματος, ὅταν ἡμεῖς ἐπιτρέψωμεν τῇ ψυχῇ ἕπεσθαι ταῖς ἡδυπαθείαις τοῦ σώματος. φησὶ γὰρ οὕτως ὁ Πλάτων, ὅτι

“ἑκάστη ἡδονὴ δίκην ἥλου προσπερονᾷ τὴν ψυχὴν τῷ σώματι.” ταύτην οὐ πᾶς ἄνθρωπος ζῇ, ἀλλ' ὁ ἀκόλαστος μόνον· εἰ οὖν διττὴ ἡ ζωὴ, καὶ ὁ θάνατος ἄρα διττός· ὁσαχῶς γὰρ τὸ ἀντικείμενον, τοσαυταχῶς καὶ τὸ ἀντικείμενον, ὄντων αὐτῶν ἰσοσθενῶν· ἐπεὶ ἀεὶ τὸ ἰσχυρότερον κατακρατήσει, καὶ ἔσται ἓν οὐκ ἔτι δύο. φυσικὸς μὲν θάνατός ἐστι χωρισμὸς ψυχῆς ἀπὸ σώματος, ὃν πάντες ἄνθρωποι ὑπομένομεν, ἡνίκα μὴ χορηγεῖ ἡ ψυχὴ τῷ σώματι αἴσθησιν καὶ κίνησιν. προαιρετικὸς δὲ θάνατός ἐστιν ἡνίκα μὴ συγχωροῦμεν τῇ ψυχῇ ἕπεσθαι ταῖς ἡδυπαθείαις. ἀλλ' ἐπιστήσω[b] λοιπὸν ἡ ψυχὴ, ὅτι αὐτὴ μὲν Ὀλυμπία, γηγενὲς δὲ τὸ σῶμα, καὶ οὐ θέμις τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος ἄρχεσθαι. τοῦτον τὸν θάνατον οἱ φιλόσοφοι ὑπομένουσι μόνοι, περὶ ὧν φησιν ὁ ποιητής·

δισθανέες ὅτε τ' ἄλλοι ἅπαξ θνήσκουσιν ἄνθρωποι.

Εἰ οὖν διττὸς ὁ θάνατος, οὐ διαφωνεῖ γε ἑαυτῷ ὁ Πλάτων, ποτὲ μὲν λέγων ὅτι δεῖ μελετᾶν τὸν θάνατον, ποτὲ δὲ λέγων, μὴ λύειν ἄχρις οὗ λύσει ὁ δήσας· ἀλλὰ τὸν μὲν φυσικὸν δεσμὸν ἐατέον τῇ φύσει λύειν, ὅτε φίλον αὐτῇ· τὸν δὲ προαιρετικὸν δεσμὸν ἡμεῖς ἐδήσαμεν, ἡμεῖς καὶ λύσωμεν, ἵνα πανταχοῦ τὰ τοῦ Πλάτωνος κρατῇ, καὶ τὸ δῆσαν, ἐκεῖνο καὶ τὴν λύσιν ἐπαγάγει. λέγουσι δὲ καὶ τοιαύτην διαίρεσιν, ὅτι τέσσαρα τινὰ παράκεινται ἀλλήλοις, εἶναι, μὴ εἶναι, εὖ εἶναι, κακῶς εἶναι· καὶ εἶναι μὲν ποιεῖ ἡ φυσικὴ ζωή· μὴ εἶναι δὲ, ὁ φυσικὸς θάνατος· εὖ εἶναι, ὁ προαιρετικὸς θάνατος· κακῶς εἶναι, ἡ προαιρετικὴ ζωή. δύο δὲ οὐσῶν ἀντιθέσεων, ἓξ γίνονται συμπλοκαί. ὧν αἱ μὲν τρεῖς συνίστανται, αἱ δὲ ἄλλαι τρεῖς ἀσύστατοί εἰσι, καθὼς τὸ διάγραμμα τοῦτο δηλοῖ.

ἀσύστατον

συ φυσικὴ ζωή· σ υ

Ν

νίσταται προαιρετικὴ ζω Ι ἡ ΣΥΝΙΣΤΑΤΑΙ φυσικὸς θάνατος

Σ

Τ

α

ται προαιρετικὸς θάνατος

ἀσύστατον.

[b] νοήσω, βουλεύσομαι, γνώσομαι in margine.

Θάνατον οὖν μελετητέον, οὐ τὸν μὴ εἶναι ποιοῦντα, ἀλλὰ τὸν εὖ εἶναι. ἔστι δὲ φυσικὴ μὲν ζωὴ καὶ προαιρετικὸς θάνατος, ὅτε τῆς ψυχῆς χορηγούσης τῷ σώματι αἴσθησιν καὶ κίνησιν, μὴ συγχωρῶμεν αὐτῇ ἕπεσθαι ταῖς ἡδυπαθείαις τοῦ σώματος, ἀλλ' ἄρχῃ τὸ κρεῖττον τοῦ χείρονος. φυσικὸς δὲ θάνατός ἐστι, καὶ προαιρετικὴ ζωὴ, ὅταν αἱ φιλοσώματοι ψυχαὶ, μετὰ τὸν φυσικὸν θάνατον, περιπολῶσιν εἰς τοὺς τάφους, σκιοειδῆ ποιοῦσαι φαντάσματα, κατὰ τὰς τῶν Ἑλλήνων δόξας καὶ φλυαρίας· καθὼς καὶ Ὅμηρος τοῦτο αἰνίττεται ἡνίκα φησὶν,

ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδρότητά τε καὶ ἥβην.

φυσικὴ δὲ ζωὴ καὶ προαιρετικὴ ζωή ἐστιν, ὅταν τὴν κατὰ φύσιν ζωὴν ζῶντες, ἀκολάστως τὸν βίον μετερχόμεθα. ἐβουλόμην δὲ τούτων τῶν λόγων ἀκοῦσαι Κλεόμβροτον· οὗτος γὰρ περινοήσας τὸ ἐν Φαίδωνι ῥητὸν, ὡς δηλοῖ τὸ εἰς αὐτὸν ἐπίγραμμα τοῦ Καλλιμάχου, οὕτω λέγον·

Εἴπας, ἥλιε χαῖρε, Κλεόμβροτος Ἀμβρακιώτης,
ἥλλατ' ἀφ' ὑψηλοῖο τείχεως ἐς ἀΐδην,
ἄξιον οὔτι παθὼν θανάτου κακόν· ἀλλὰ Πλάτωνος
ἐν τῷ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

ἐγὼ δὲ τἀναντία ἐκείνῳ φημὶ ἔπη οὕτως·

εἰ μὴ γράμμα Πλάτωνος ἓν [c] ἐπέδησεν ἐρωὴν,
ἤδη λυγρὸν ἔδησα βίου πολὺ [d] κυδέα δεσμόν.

τουτέστιν, εἰ μὴ ὠφελήθην ἐκ Πλάτωνος τρόπον εὐζωΐας, προέκρινον ἂν μὴ εἶναι, ἢ κακῶς εἶναι. ἔστιν οὖν τις θάνατος ζωῆς τινος κρείττων, ὃν ἡ φιλοσοφία μελετᾷν ἀεὶ ἐπαγγέλλεται.

Πρᾶξις ϛ'.

Οὐ μόνος ὁ Κλεόμβροτος, ἀλλὰ καὶ οἱ Στωϊκοὶ φιλόσοφοι, οἷον Κλεόμβροτοί τινὲς ὄντες, τὴν φιλοσοφίαν ὑπέλαβον μελέτην εἶναι τοῦ φυσικοῦ θανάτου· διὸ καὶ πέντε τρόπους εὐλόγου ἐξαγωγῆς ἔγραψαν. ἔοικε γάρ φησιν, ὁ βίος μακρῷ συμποσίῳ, ἐν ᾧ δοκεῖ εὐωχεῖσθαι ἡ ψυχή. καὶ παρ' ὅσους τρόπους λύεται τὸ συμπόσιον, παρὰ τοσούτους τρόπους γίνονται καὶ εὔλογοι ἐξαγωγαί.

[c] Leg. ἐμήν. [d] πολλὺ Cod.

λύεται δὲ τὸ συμπόσιον κατὰ πέντε τρόπους· ἢ διὰ χρείαν μεγάλην ἄφνω καταλαβοῦσαν, οἷον παρουσίαν[e] φίλου διὰ χρόνου. ὑπὸ χαρᾶς γὰρ ἀνίστανται οἱ φίλοι, καὶ λύεται τὸ συμπόσιον. ἢ διὰ τοὺς ἐπεισκωμάζοντας καὶ αἰσχρορρημονοῦντας λύεται ὁμοίως τὸ συμπόσιον. ἢ διὰ τὸ νεκρὰ καὶ νοσώδη εἶναι τὰ παρατιθέμενα. ἢ διὰ σπάνιν ἐδεσμάτων· ἢ διὰ μέθην λύεται τὸ συμπόσιον.

Κατὰ τοὺς αὐτοὺς οὖν πέντε τρόπους γίνονται καὶ εὔλογοι ἐξαγωγαί. ἢ διὰ χρείαν μεγάλην καταλαβοῦσαν, ὡς προσέταξεν ἡ Πυθία τινὶ ἀποσφάξαι ἑαυτὸν ὑπὲρ τῆς ἰδίας πόλεως, φθορᾶς τῇ πόλει ἐπικειμένης, ὅπερ πεποίηκεν ὁ Μενοικεὺς ἀποσφάξας ἑαυτὸν ὑπὲρ τῆς ἰδίας πατρίδος, καὶ σώσας αὐτήν. ἢ διὰ τοὺς ἐπεισκωμάζοντας τυράννους καὶ ἀναγκάζοντας ἡμᾶς ἢ πράττειν αἰσχρὰ ἢ λέγειν τὰ ἀπόρρητα· οὕτως Πυθαγόρου γύναιον ὑπὸ τυράννου συσχεθὲν καὶ ἀναγκαζόμενον ἐξορχήσασθαι τὰ ἀπόρρητα, τουτέστι τὴν αἰτίαν εἰπεῖν δι᾽ ἣν οὐκ ἐσθίουσι κυάμους. ἦν γὰρ παρ᾽ αὐτοῖς τό,

ἶσόν τοι κυάμους φαγέειν, κεφαλάς τε τοκήων,

ἔφη, φάγοιμι ἂν ἢ εἴποιμι. τοῦ δὲ ἀναγκάζοντος, πάλιν εἶπεν, εἴποιμι ἂν ἢ φάγοιμι. τέλος οὖν ἀναγκαζομένη δυοῖν θάτερον πρᾶξαι, ἢ φαγεῖν ἢ εἰπεῖν, μασησαμένη τὴν ἑαυτῆς γλῶτταν, ἀπέτεμεν, ὡς ὄργανον διαλέκτου καὶ γεύσεως. καὶ ἐντεῦθεν αἰκιζομένη, μετήλλαξε τὸν βίον. Ἢ διὰ μακρὰν νόσον κωλύουσαν ἐπὶ πολὺ ὀργάνῳ χρῆσθαι τὴν ψυχὴν τῷ σώματι, εὐλόγως δεῖ ἐξάγειν αὐτήν. διὸ καὶ Πλάτων οὐκ ἀποδέχεται τὸ διαιτητικὸν τῆς ἰατρικῆς ὡς παιδαγωγοῦν τὰ νοσήματα καὶ ποιοῦν ἐγχρονίζειν, ἀλλ᾽ ἀποδέχεται τὸ χειρουργικὸν καὶ φαρμακευτικόν, ᾧ ἐχρῆτο Ἀρχιγένης ὁ στρατόπεδον θεραπεύων. φησὶ δὲ καὶ Σοφοκλῆς

οὐ πρὸς ἰατροῦ σοφοῦ
θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι τραύματι. (Aj. 582.)

ἢ διὰ πενίαν· καὶ καλῶς φησιν ὁ Θέογνις,

χρὴ πενίην φεύγοντα καὶ ἐς μεγακήτεα πόντον
ῥιπτεῖν, καὶ πετρῶν, Κῦρνε, κατ᾽ ἠλιβάτων. (v. 175.)

ἢ διὰ λῆρον· ὥσπερ γὰρ ἐκεῖ ἡ μέθη ἔλυε τὸ συμπόσιον, οὕτως κἀνταῦθα ἔστί τινα ἐξαγαγεῖν ἑαυτὸν διὰ λῆρον· οὐδὲν γάρ ἐστι

[e] Post παρουσίαν est vacuum spatium.

λῆρος, εἰ μὴ φυσικὴ μέθη· καὶ οὐδέν ἐστι μέθη, εἰ μὴ προαιρετικὸς λῆρος· καὶ ταῦτα μὲν περὶ τούτου.

Ὁ μέν τοι Πλωτῖνος περὶ εὐλόγου ἐξαγωγῆς γράφει μονόβιβλον, καὶ οὐδένα τῶν πέντε τρόπων τούτων ἀποδέχεται. φησὶ γὰρ, "ὅτι ὥσπερ ὁ θεὸς οὐκ ἀφίσταται ἡμῶν προνοούμενος, ἀλλ' ἡμεῖς ἑαυτοὺς ποιοῦμεν ἀνεπιτηδείους, καὶ νομίζομεν τὸν θεὸν πόρρω εἶναι ἀφ' ἡμῶν, ἀεὶ παρόντα πᾶσιν ἐπίσης, ὡς δηλοῦσιν οἱ καθαροὶ τὸν βίον, αὐτόπται τοῦ θείου καὶ συνομιληταὶ γινόμενοι. ὥσπερ καὶ ὁ ἥλιος χορηγεῖ ἐπίσης τὸ φῶς, ἀλλ' αἱ νυκτερίδες ἀνεπιτήδειοι οὖσαι, ἀποφεύγουσιν αὐτὸν, καὶ οὐ φωτίζονται ἐξ αὐτοῦ, ἀλλὰ σκότος αὐτὸν νομίζουσιν εἶναι πηγὴν φωτὸς ὑπάρχοντα· οὕτως δεῖ καὶ τὸν φιλόσοφον μιμούμενον θεὸν καὶ ἥλιον, μὴ ἀμελεῖν πάντα τοῦ σώματος δι' ἐπιμέλειαν τῆς ψυχῆς, ἀλλὰ τὴν προσήκουσαν αὐτοῦ ποιεῖσθαι πρόνοιαν, ἕως οὗ ἐκεῖνο ἀνεπιτήδειον γενόμενον διαστήσοι ἑαυτὸ τῆς πρὸς τὸ σῶμα κοινωνίας. ἄτοπον γὰρ τὸ πρὸ καιροῦ ἐξάγειν ἑαυτὸν πρὸ τοῦ λύσει ὁ δήσας." δηλοῦσι δὲ καὶ οἱ Ῥωμαίων νόμοι, μὴ πρότερον ταφῇ παραδιδόντες τὰ τῶν ἐξαγαγόντων ἑαυτοὺς σώματα, πρὶν ἂν αἰκίσωνται κατὰ τῶν ποδῶν. εἰ καὶ ἔστιν εἰπεῖν ἐπ' αὐτῶν τὸ ῥηθὲν ὑπὸ τοῦ ποιητοῦ ἐπὶ τῷ σώματι τοῦ Ἕκτορος·

"κωφῆ γὰρ δὴ γῆ ἀναικίζεις μενεαίνων."

καὶ ταῦτα μὲν περὶ τούτου.

Ἄλλος ὁρισμὸς τῆς φιλοσοφίας ἐκ τοῦ πόρρω αὐτῆς τέλους λαμβανόμενος, ὁ λέγων αὐτὴν ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. ἐν γὰρ τῷ Θεαιτήτῳ τῷ διαλόγῳ πρός τινα Θεόδωρον Κυρηναῖον γεωμέτρην, εἰσάγει τὸν Σωκράτη τὸν ἑαυτοῦ διδάσκαλον ὁ Πλάτων διαλεγόμενον· ἔχει δὲ ἡ ῥῆσις οὕτω. "ἀλλ' ἐπεὶ τὰ κακὰ ὦ Θεόδωρε, ἔνθα τε καὶ τόνδε τὸν βίον περιπλεῖ, φευκτέον ἐνθένδε· τίς δὲ ἡ φυγή;" εἰπόντος τοῦ Θεοδώρου, τοῦ πρὸς ὃν ὁ λόγος, ἔφη ὁ Σωκράτης, "ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ." καὶ τίς ὁ τρόπος τῆς ὁμοιότητος; εἰπόντος, ἔφη· "δίκαιον γενέσθαι καὶ ὅσιον μετὰ φρονήσεως, καὶ ταῦτα γινώσκειν." ταῦτα μὲν οὖν ὁ Πλάτων.

Ἀποροῦσι δέ τινες ὅτι πῶς δύναται ὁ φιλόσοφος ὅμοιος τῷ θεῷ

γενέσθαι; καὶ λέγομεν ὅτι ἐπειδὴ ἔχει τὰ χαρακτηρίζοντα τὸ θεῖον· οἱ γὰρ ποιηταὶ τρισσῶς τὸ θεῖον χαρακτηρίζουσι· τῷ ἀγαθῷ, τῷ δυνατῷ, τῷ γνωστικῷ, ὡς δηλοῖ τὸ

θεοὶ δωτῆρες ἐάων·
θεοὶ δέ τε πάντα δύνανται·
θεοὶ δέ τε πάντα ἴσασιν.

οὐκ ἀσφαλῶς δὲ ἐνταῦθα εἴρηται τὸ θεῖον πάντα δύνασθαι, διὰ τὸ ἀδυναμεῖν περὶ τὸ κακοποιεῖν, ὑπερβολῇ ἀγαθότητος· ὡς γὰρ τὸ πῦρ ψύχειν οὐ δύναται, διὰ τὸ ἐν θερμότητι αὐτὸ συνιστᾶσθαι, καὶ ἡ χιὼν θερμαίνειν οὐ δύναται, διὰ τὸ ἐν ψυχρότητι αὐτὸ συνιστᾶσθαι· οὕτω γοῦν καὶ ἐπὶ τῶν ἀνθρώπων ἔστιν ἰδεῖν, ὅτι τινὲς ὄντες φύσει ἀγαθοί, κἂν εἰ ἐπιτηδεύσωσι κακοὶ γενέσθαι, οὐ δύνανται· δυνατὸν δὲ καὶ τὸ ὑπὸ τῶν ποιητῶν εἰρημένον εἶναι ἀληθές· τὸ γὰρ κακοποιεῖν οὐκ ἔστι δύναμις, ἀλλ' ἀδυναμία ἀγαθότητος, ὥσπερ καὶ αἱ συμβαίνουσαι ἀρρωστίαι ἐξ ἀδυναμίας τοῦ ὑγιαίνειν γίνονται.

Ἐπειδὴ δὲ ἄλλο τὸ ἐν τῷ θεῷ ἀγαθὸν καὶ δυνατὸν καὶ γνωστικόν, καὶ ἄλλο τὸ ἐν τῷ φιλοσόφῳ. τὸ μὲν γὰρ ἐν τῷ θεῷ ἀγαθόν, οὐκ ἄλλο παρ' αὐτόν ἐστιν, ἀλλ' αὐτοαγαθότης ἐστὶ τὸ μεθεκτὸν ἀγαθόν. τὸ δὲ ἐν τῷ φιλοσόφῳ ἀγαθὸν μεθεκτὸν καὶ ἄλλο παρ' αὐτόν, ὡς λελευκωμένον ξύλον ἕτερον ὂν παρὰ τὸ λευκόν. ἀλλὰ καὶ τὸ δυνατὸν τοῦ θεοῦ ἕτερον. ὁ γὰρ θεὸς πάντα ὅσα βούλεται, δύναται. ὁ φιλόσοφος δὲ οὐ πάντα ὅσα βούλεται, δύναται. ἀληθὲς γὰρ τὸ

οὔποτε φῦλον ὁμοῖον
ἀθανάτων τε θεῶν, χαμαὶ ἐρχομένων τ' ἀνθρώπων.

ἀλλ' οὐδὲ τὸ γνωστικὸν τοῦ θεοῦ καὶ τοῦ φιλοσόφου ὅμοιον. ὁ γὰρ θεός, καὶ πάντα οἶδε, καὶ ἅμα καὶ ἀεί. ὁ δὲ φιλόσοφος πάντα μὲν ἐπαγγέλλεται εἰδέναι, οὐχ ἅμα δέ, ἀλλ' ἕκαστον ἰδίᾳ προχειρίζεται, καὶ οὐκ ἀεὶ αὐτὰ οἶδεν, ἀλλὰ ποτέ, ὡς δηλοῖ ὁ Πλάτων λέγων, "ὅτι ἀγαπητὸν ὅτῳ κἂν ἐν γήρᾳ παρῇ σοφία καὶ "φρόνησις."

Διὰ τοῦτο πρόσκειται κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ὅτι ὡς ἐνδέχεται ἄνθρωπον θεῷ ὁμοιωθῆναι, ὁ φιλόσοφος ὁμοιοῦται. δεῖ γὰρ αὐτὸν ἐν ἅπασι τὸν θεὸν μιμεῖσθαι· ἐν μὲν τῷ ἀγαθῷ ἵνα προνοῇ

καὶ αὐτὸς τῶν ἀτελεστέρων ψυχῶν, ὥσπερ ὁ Σωκράτης περιερχόμενος τὰ ἐργαστήρια, καὶ ἐκλεγόμενος τὰς ἐπιτηδείας φύσεις πρὸς φιλοσοφίαν· ἐν δὲ τῷ δυνατῷ ἵνα διὰ μηχανῆς τινὸς δυνηθῇ τὸ παντοδύναμον τοῦ θεοῦ πορίσασθαι· εἰ μόνα ἐκεῖνα βούλεται ὅσα δύναται καὶ μὴ ἀλλοκότων ὀρέγεται, οἷον ἵππασθαι· ἐν δὲ τῷ γνωστικῷ, ἵνα πάντων ἐπίσταται τὰς αἰτίας. ἐφ' οἷς καὶ ἀποροῦσιν, ὅτι εἰ τὸ ὅμοιον ὁμοίῳ ὅμοιον, ἔσται καὶ ὁ θεὸς τῷ φιλοσόφῳ ὅμοιος, εἰ ὁ φιλόσοφος τῷ θεῷ, καὶ οὐδὲν πλέον ἕξει ὁ θεὸς ἤλίκον τοῦ φιλοσόφου. πρὸς ὃ λεκτέον ὅτι παραλογισμός ἐστι τὸ τοιοῦτο. καθ' ἃ μὲν γὰρ ἐοίκασιν ἀλλήλοις, οὐδὲν διαφέρουσιν, κατ' ἄλλα δὲ πολλὰ διαφέρουσιν. ὥσπερ ἡ εἰκὼν τοῦ Σωκράτους ὁμοία ἐστὶν αὐτῷ, διαφέρει δὲ ὁ Σωκράτης τῆς εἰκόνος, ὡς ἔμψυχον ἀψύχῳ, οὕτω καὶ ὁ θεὸς διαφέρει τοῦ φιλοσόφου ὡς ἔμψυχον ἀψύχῳ, καὶ ὡς παράδειγμα ἀρχετύπου. ἢ καὶ ἄλλως, ὅτι ἡ μὲν εἰκὼν τῷ Σωκράτει λέγεται ὁμοία. ὁ δὲ Σωκράτης τῇ εἰκόνι οὐ λέγεται ὅμοιως, ὡς ἀρχέτυπον· οὕτως καὶ ἐπὶ θεοῦ καὶ φιλοσόφου, ὁ μὲν φιλόσοφος λέγεται τῷ θεῷ ὅμοιος, ὡς εἰκὼν ἀρχετύπῳ, ὁ δὲ θεὸς ἐπειδὴ ἀρχέτυπον τῷ φιλοσόφῳ, ὡς εἰκόνι ἰδίᾳ οὐκ ἔστιν ὅμοιος. ἢ καὶ ἄλλως. ὅτι ὁ μὲν φιλόσοφος μετέχει τοῦ θεοῦ τῷ ἀγαθῷ καὶ δυνατῷ καὶ γνωστικῷ, μετέχεται δὲ ὁ θεὸς ὁμοίως ὑπὸ τοῦ φιλοσόφου τοῖς αὐτοῖς, καὶ κατὰ τοῦτο λέγεται ὅμοιος.

Πρᾶξις Ζ.

Ἐπειδὴ μὴ ἠρκέσθη ὁ Πλάτων εἰπεῖν τὴν φιλοσοφίαν ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ἀλλὰ καὶ τὸν τρόπον τῆς ὁμοιώσεως προσέθηκεν εἰπών, "ὁμοίωσις δέ ἐστι δίκαιον καὶ ὅσιον γενέσθαι "μετὰ φρονήσεως, καὶ ταῦτα γινώσκειν." φέρε τρία τινὰ ζητήσωμεν· πρῶτον μὲν διατί προσέθηκε τῷ δικαίῳ τὸ ὅσιον· δεύτερον, διατί δ' οὐσῶν ἀρετῶν, δύο μόνων ἐμνήσθη, δικαιοσύνης καὶ φρονήσεως. τρίτον, διατί εἶπε καὶ ταῦτα γινώσκειν. καὶ πρὸς μὲν τὸ πρῶτον ἐν ᾧ ἐζητήσαμεν διατί προσέθηκε τῷ δικαίῳ τὸ ὅσιον. φαίνεται γάρ φησιν ἐκ τούτου ἀδολεσχῶν ὁ Πλάτων καὶ τὰ αὐτὰ λέγων, ἐπεὶ μηδὲν διαφέρει τοῦ δικαίου τὸ ὅσιον· λεκτέον ὅτι οὐκ ἀδολεσχεῖ ὁ Πλάτων. πολὺ γὰρ τὸ διάφορον τούτων. τί διαφέρει δίκαιον ὁσίου; δίκαιον μὲν γάρ ἐστι, τὸ πρὸς ἀνθρώπους τὰ καθή-

κοντα πράττειν, ὅσιον δὲ τὸ πρὸς τὸ θεῖον τὰ πρέποντα διαπράττεσθαι. ὅθεν τοὺς περὶ τὰ ἱερὰ ἠσχολημένους ὁσίους καλοῦμεν. ἐπιτεταμένη γὰρ δικαιοσύνη ἡ ὁσιότης. διὸ καὶ ἡ ἐπιτεταμένη ἀδικία, ἀνοσιότης λέγεται. τὸ γὰρ δίκαιον πρὸς τὰ ὅμοια λέγεται, οἷον πρὸς ἀνθρώπους. τὸ δὲ ὅσιον πρὸς τὰ κρείττω. τὸ οὖν δίκαιον ἢ πρὸς τὰ κρείττονα λέγεται, καὶ ποιεῖ τὸ ὅσιον, ἢ πρὸς τὰ ὅμοια, καὶ ἔστι δίκαιον, ἢ πρὸς τὰ χείρω, καὶ λέγεται κηδεμονικόν[f].

Τὴν δὲ διαφορὰν τοῦ δικαίου καὶ τοῦ ὁσίου, οὐδὲ ὁ Πλάτων ἠγνόησεν. δύο γὰρ διαλόγους γράψας, Εὐθύφρονα καὶ Πολιτείαν. τὸν μὲν Εὐθύφρονα ἐπέγραψεν Εὐθύφρων ἢ περὶ ὁσίου. τὴν δὲ Πολιτείαν, Πολιτεία ἢ περὶ δικαίου. ἡ γὰρ Πολιτεία ἀνθρώπων ἐστι· καὶ καλῶς κλιμακηδὸν προῆλθεν ὁ λόγος. πρότερον γὰρ τὸ δίκαιον τοῦ ὁσίου. οὐδὲ γὰρ δυνατὸν εἶναι τινὰ ὅσιον, μὴ γενόμενον δίκαιον. ὥσπερ οὐ δυνατὸν τὸν πρὸς ἀνθρώπους τὰ καθήκοντα μὴ πράττοντα, πρὸς τὸ θεῖον ταῦτα ἐπιτηδεύειν. ἐν τούτοις δὴ ἡ λύσις τῆς πρώτης ζητήσεως.

Δεύτερον κεφάλαιον χρὴ ζητῆσαι, διατί δ' οὐσῶν ἀρετῶν, δύο μόνων ἐμνήσθη; καὶ λέγομεν ὅτι τῶν δύο τῶν τιμιωτέρων μνησθεὶς, καὶ τὰς ἄλλας περιέλαβε. τιμιώτεραι γὰρ αὗται τῶν ἄλλων, ὡς δείξομεν. τριῶν γὰρ ὄντων μορίων τῆς ψυχῆς, λογικοῦ, θυμικοῦ, ἐπιθυμητικοῦ, ἑκάστη τῶν ἄλλων ἑνὶ μορίῳ ἐποχεῖται. ἡ μὲν φρόνησις τῷ λόγῳ, ἡ δὲ ἀνδρία τῷ θυμῷ, καὶ ἡ σωφροσύνη τῇ ἐπιθυμίᾳ. ἡ δὲ δικαιοσύνη οὐκ ἠξίωσεν ἑνὶ μορίῳ ἐποχεῖσθαι τῆς ψυχῆς, ἀλλὰ διὰ τῆς τριμερείας πεφοίτηκεν. δικαιοσύνης γὰρ τὸ τὸν κατ' ἀξίαν κόσμον ἐπάγειν τῷ κοσμουμένῳ. ὅταν γὰρ ἕκαστον ἰδιοπραγῇ κατὰ φύσιν ἔχον, οἷον ἵνα ὁ λόγος ἄρχῃ ὡς ὁ βασιλεὺς, ὁ θυμὸς ἄρχῃ καὶ ἄρχηται[g]. ἄρχῃ μὲν τῆς ἐπιθυμίας, ἄρχηται δὲ ὑπὸ τοῦ λόγου, ἀναλογῶν στρατιώταις, ἡ ἐπιθυμία ἄρχηται ἐοικυῖα δήμῳ, τότε ἐπιφαίνεται ἡ δικαιοσύνη ἁρμονία τις οὖσα τούτων.

Ὅτι δὲ δι' ὅλης τῆς ψυχῆς πεφοίτηκεν ἡ δικαιοσύνη, δηλοῦσιν οἱ ἀδικούμενοι, νεκροὺς ἑαυτοὺς καλοῦντες καὶ ἀνοσίους. ὡς τῆς

[f] κηδαιμονικόν Cod.

[g] ἄρχεται Cod.

οὐσίας αὐτῶν ἐστερημένης τοῦ δικαίου, οἷον συνέχοντος αὐτὴν καὶ ζωοῦντος. διὸ καὶ ἀποροῦσι τινὲς ὅτι ἡ δικαιοσύνη ἁρμονία ἐστὶ τῶν ἄλλων καὶ ἕπεται αὐταῖς, πῶς[h] συναριθμεῖται αὐταῖς κοινὴ αὐτῶν οὖσα. καὶ λέγομεν ὅτι τὸ κοινὸν διττὸν, ἢ ὡς γένος εἰς εἴδη διαιρούμενον, οἷον τὸ ζῶον εἰς λογικὸν καὶ ἄλογον, τότε γὰρ οὐ συναριθμεῖται τὸ γένος τοῖς εἴδεσιν. ἢ ὡς κτῆμα, ὅτε καὶ συναριθμεῖται, οἷον ὑποκείσθωσαν τρεῖς τινὲς ἔχοντες τρεῖς οἰκέτας, ἕκαστος ἕνα ἴδιον, ἐχέτωσαν δὲ καὶ ἕνα κοινὸν, οὗτος συναριθμεῖται τοῖς ἄλλοις, ὡς εἶναι τέσσαρας· οὕτως οὖν κἀνταῦθα ληπτέον. αἱ γὰρ ἀρεταὶ κτῆμα εἰσὶ τῆς ψυχῆς, ἑκάστη ἑνὶ μορίῳ ἐποχουμένη, κοινὸν δὲ κτῆμα τῆς τριμερείας τῆς ψυχῆς ἡ δικαιοσύνη· διὸ καὶ συναριθμεῖται ταῖς ἄλλαις ἀρεταῖς, καὶ εἰσὶ τέσσαρες. ἔδειξεν οὖν ὁ λόγος, ὅτι τιμιωτέρα ἡ δικαιοσύνη, ὡς διὰ τῆς τριμερείας τῆς ψυχῆς πεφοιτηκυῖα· μετ' αὐτὴν ἡ φρόνησις, ὡς ἐν τῷ τιμιωτέρῳ μορίῳ τῆς ψυχῆς τῷ λόγῳ ἐποχουμένη. μετ' αὐτὴν ἡ ἀνδρία, ὡς ἐν τῷ θυμοειδεῖ ἐποχουμένη· καὶ τετάρτη ἡ σωφροσύνη, ὡς ἐν τῇ ἐπιθυμίᾳ τῇ χείρονι ἐποχουμένη.

Ἔργον δὲ τῆς μὲν δικαιοσύνης τὸ τὸν κατ' ἀξίαν κόσμον ἐπάγειν τῷ κοσμουμένῳ· τῆς δὲ φρονήσεως, τὸ τὰ δέοντα ποιεῖν· τῆς ἀνδρίας, τὸ νικᾶν τὸ ἀνθιστάμενον· τῆς σωφροσύνης, τὸ μὴ εἴκειν τῷ χείρονι. εἰ γὰρ ἔστι καὶ ἀνδρίας τὸ μὴ χεῖρον εἴκειν, ἀλλ' οὖν κυρίως τὸ χεῖρον ἐπὶ τῆς ἡδονῆς λέγεται, ἐγκατακεχωσμένης τῷ σώματι. ὁ δὲ θυμὸς περιχωριστὸν ἔχει τέλος ἀντιλυπῆσαι τὸν λυπήσαντα. ὁ γὰρ λυπήσας ἐκτός. εἰ οὖν ταῦτα οὕτως ἔχει, ὁ ἔχων μίαν ἀρετὴν, καὶ τὰς λοιπὰς ἕξει, καὶ ἔσται ἑκάστη αὐτῶν δικαιοσύνη, τὸν πρέποντα κόσμον ἐπάγουσα τῷ κοσμουμένῳ· ἑκάστη φρόνησις, τὰ δέοντα ποιοῦσα· ἑκάστη ἀνδρία, νικῶσα τὸ ἀνθιστάμενον· ἑκάστη σωφροσύνη, μὴ εἴκουσα τῷ χείρονι. καὶ ταῦτα μὲν περὶ τούτου.

Τρίτον ἐστὶ κεφάλαιον ζητῆσαι διατί εἶπε τὸ καὶ ταῦτα γινώσκειν. καὶ λέγομεν ὅτι εὐλόγως, ἵνα ἔχοιμεν ἀρετὰς τὰς μετὰ παιδείας καὶ πόνου περιγινομένας, καὶ μὴ τὰς φυσικὰς καὶ ἠθικάς· αἱ μὲν γὰρ φυσικαὶ ἀρεταὶ ἐκ κράσεως παραγίνονται, οἷον

[h] Leg. καί πως.

οἱ ψυχροὶ σώφρονες, ἀλλὰ δειλοί· οἱ θερμοὶ ἀνδρεῖοι, ἀλλὰ ἀκόλαστοι. αὗται μὲν οὖν φυσικαὶ ἀρεταί, αἵτινες καὶ ἀλόγοις ὑπάρχουσιν. ὁ γοῦν πελαργὸς δίκαιος, φρόνιμος ἡ ἀλώπηξ, ἀνδρεῖος ὁ λέων, σώφρων ἡ τρυγών. αἱ δὲ ἠθικαὶ ἀρεταί, ἐκ συνηθείας τινὸς παραγίνονται, διὰ τὸ ἐσχηκέναι τινὰ ἢ γονεῖς τοιούτους, ἢ διδασκάλους. καὶ ἁπλῶς εἰπεῖν, αἱ μὲν μετὰ λόγου, αἱ δὲ χωρὶς λόγου. καὶ αἱ μὲν πάντη χωρὶς λόγου, ὡς αἱ φυσικαί. αἱ δὲ μετὰ λόγου μέν, ἀλλ' ἢ τοῦ θύραθεν, τουτέστι τοῦ διδάσκοντος, οἷαι αἱ ἠθικαί, ἢ τοῦ οἴκοθεν, οἷαι εἰσὶν αἱ μετὰ παιδείας καὶ πόνου τινὶ προσγινόμεναι. διὰ τοῦτο οὖν πρόκειται τὸ καὶ ταῦτα γινώσκειν, ἀντὶ τοῦ ἵνα ἔχωμεν ἀρετὰς οὐκ ἀλόγους, ἀλλὰ τὰς μετὰ λόγου τοῦ οἴκοθεν φημί, τὰς μετὰ πόνου τινὶ προσγινομένας. ὁ γὰρ Πλάτων τὰς φυσικὰς ἀρετὰς ἀνδραποδώδεις καλεῖ, ὡς καὶ ἀνδραπόδοις δυναμένας ὑπάρχειν· ὁ δὲ Πλωτῖνος ἀτελεῖς, διότι πρὸς τὸ μὴ ἀντιστρέφειν καὶ ἀντιπράττουσιν ἀλλήλαις. ὡς γὰρ εἴπομεν, εἴτις θερμὸς ὢν ἐπιτηδεύσει ἀνδρεῖος εἶναι, ὁ τοιοῦτος οὐ πάντως σώφρων· διὰ γὰρ τὴν θερμότητα ἀκόλαστος. καὶ εἴ τις πάλιν ψυχρὸς ὢν, ἐπιτηδεύσει σώφρων εἶναι, ὁ τοιοῦτος οὐ πάντως ἀνδρεῖος, ἀλλὰ δειλός. αἱ δὲ μετὰ πόνου καὶ παιδείας ἀρεταὶ ἀντιστρέφουσι, μὴ ἀντιπράττουσαι. ταῦτα καὶ περὶ τοῦ τετάρτου ὁρισμοῦ τῆς φιλοσοφίας εἰπεῖν ἐπέχομεν.

Πρᾶξις η.

Πέμπτος ὁρισμὸς τῆς φιλοσοφίας εἰς Ἀριστοτέλην ἀναγόμενος, ὁ λέγων αὐτὴν τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν· ἐν γὰρ τῇ μετὰ τὰ φυσικὰ πραγματείᾳ θεολογικῇ ἐπιγεγραμμένῃ, εἴρηται αὐτῷ ὁ ὁρισμὸς οὗτος. καὶ εἰκότως ἐκ τῆς ὑπεροχῆς οὗτος λέγεται, ὡς καὶ ἐν θεολογικῇ πραγματείᾳ εἰρημένος· διὸ καὶ ἀποροῦσιν ὅτι διατί τοιούτῳ ἐπαναδιπλασιασμῷ κέχρηται; καὶ λέγομεν τούτου αἰτίας πέντε.

Πρώτην ὅτι θαυμάσαντες τινὲς τὸ ὕψος τῆς φιλοσοφίας, τούτῳ ἐχρήσαντο τῷ ἐπαναδιπλασιασμῷ. ὡς εἰ καί τις θεασάμενος λευκὸν, εἴποι πολλάκις λευκὸν λευκὸν, καὶ πάντη μελανίας ἀνέμφατον· καὶ γλυκέος τίς γευσάμενος εἴποι, γλυκὺ γλυκὺ, καὶ πάντη πικρίας ἄψαυστον. οὕτως καὶ ἐπὶ τῆς φιλοσοφίας.

θαυμάσας τίς τὸ ὑπερέχον τῆς γνώσεως εἴποι, γνῶσις γνῶσις πολλάκις, καὶ οὐδαμῶς ἄγνοια. μόνη γὰρ ἡ φιλοσοφία γνῶσις. αὕτη πρώτη αἰτία.

Δευτέρα αἰτία ὅτι ἔοικεν ἡ φιλοσοφία βασιλεῖ καὶ θεῷ. καὶ ὥσπερ ὁ βασιλεὺς καθιστᾷ ἄρχοντας δι' ὧν ὁμιλεῖ πᾶσι, καὶ πάντας ὁρᾷ μηδένα ὁρῶν μηδὲ διαλεγόμενος. οὐδὲ γὰρ ῥυπαίνεται τῷ πολλῷ τῶν ἀνθρώπων ὁμίλῳ. καὶ ὥσπερ ὁ Θεὸς κατέστησεν ἀρχαγγελικὰς δυνάμεις, δι' ὧν φρουρεῖ τὸν κόσμον, οὕτως καὶ ἡ φιλοσοφία ἐν ἀκροπόλει τινὶ οὖσα, διὰ τῶν κατὰ μέρος τεχνῶν καὶ ἐπιστημῶν γινώσκει τὰ κατὰ μέρος. καὶ ὥσπερ ὁ βασιλεὺς ἄρχων ἐστὶν ἀρχόντων, οὕτως ἡ φιλοσοφία τέχνη τεχνῶν λέγεται. καὶ ὥσπερ πάλιν ὁ Θεὸς λέγεται βασιλεὺς βασιλέων, οὕτως καὶ ἡ φιλοσοφία ἐπιστήμη ἐπιστημῶν.

Τρίτη αἰτία ὅτι ταῖς ἄλλαις τέχναις καὶ ἐπιστήμαις χορηγεῖ τὰς ἀρχὰς ἡ φιλοσοφία. φησὶ γὰρ Ἀριστοτέλης ἐν ἀποφθέγμασιν, "ὅτι ὅσοι ταῖς ἄλλαις τέχναις καὶ ἐπιστήμαις σχολάζοντες "τῆς φιλοσοφίας ἀμελοῦσιν, ἐοίκασι τοῖς μνηστῆρσι τῆς Πηνε-"λόπης, οἵτινες αὐτῇ συγγενέσθαι μὴ δυνάμενοι, ἠγάπων κἂν "ταῖς θεραπαίναις αὐτῆς συγγίνεσθαι." τῆς γὰρ γραμματικῆς λεγούσης τῶν φωνηέντων τὰ μὲν ἐστὶ φύσει μακρὰ, τὰ δὲ φύσει βραχέα, τὰ δὲ ἐπαμφοτερίζει· ἐρωτωμένη διατί τὸ η καὶ τὸ ω φύσει μακρὰ, ἀγνοεῖν ὁμολογήσει, εἰς δὲ τὸν μουσικὸν φιλόσοφόν σε ἀποπέμψει. ὁμοίως τῆς ἰατρικῆς λεγούσης τέσσαρας τοὺς χυμοὺς, ἐπειδὴ καὶ δ' τὰ στοιχεῖα, ἐρωτωμένη διατί δ' καὶ οὐδὲ πλείονα οὐδὲ ἐλάττονα, ἀναπέμψει ἡμᾶς εἰς τὸν φυσικὸν φιλόσοφον. τῷ δὲ Ἀριστοτέλει δέδεικται ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς διατί οὐδὲ πλείονα τῶν δ' τὰ στοιχεῖα οὐδὲ ἐλάττονα. ὁμοίως τῆς ῥητορικῆς διελομένης ἑαυτὴν εἰς τρία, εἰς τὸ συμβουλευτικὸν καὶ δικανικὸν καὶ πανηγυρικὸν, καὶ τέλος εἰπούσης εἶναι, τοῦ μὲν συμβουλευτικοῦ τὸ συμφέρον, τοῦ δὲ δικανικοῦ τὸ δίκαιον, τοῦ πανηγυρικοῦ τὸ καλόν. καὶ ἐρωτωμένης τί τὸ ὄντως συμφέρον, τί τὸ ὄντως δίκαιον, ἢ τί τὸ καλὸν, αὐτὴ τοῦτο ἀγνοεῖν ὁμολογήσει, παραπέμψει δὲ ἡμᾶς τῷ πολιτικῷ φιλοσόφῳ. οὐ μόνον δὲ ταῖς τοιαύταις τέχναις καὶ ἐπιστήμαις ἀρχὰς χορηγεῖ, ἀλλὰ καὶ ταῖς βαναύσοις τέχναις. ἡ γοῦν τεκτονικὴ βουλομένη ποιῆσαι

εὐθεῖαν, ἀποτείνει τὴν στάθμην ὅτι μάλιστα λαβοῦσα παρὰ γεωμετρίας, ὅτι εὐθεῖά ἐστιν ἧς τὰ μέσα τοῖς ἄκροις ἐπιπροσθεῖ. τότε γὰρ λέγομεν ἐπ' εὐθείας τρεῖς ἑστάναι ἀνθρώπους, εἰ ἰσχύσει ὁ μέσος τοῖς ἄκροις ἐπιπροσθῆσαι. εἰ δὲ περιφέρειαν ποιοῦσιν, ἀλλήλους ὁρῶσιν. διὰ τοῦτο γὰρ τὰ θέατρα κυκλοτερῆ, διὰ τὸ ἀλλήλους βλέπειν· καὶ αἱ διατριβαὶ κυκλοτερεῖς, ἵνα ὁρῶσιν ἀλλήλους καὶ τὸν διδάσκαλον. ἀλλὰ καὶ τῇ οἰκοδομικῇ δίδωσιν ἀρχάς. βουλομένη γὰρ γνῶναι εἰ ὀρθὸς ὁ τοῖχος, κέχρηται βαρυλλίῳ, ἰδοῦσα ὅτι τὰ βαρέα πρὸς ὀρθὰς φέρεται τῷ ὁρίζοντι, οἷον μόλυβδος, ἤ τι τοιοῦτον. εἰ δὲ πτερὸν εἴη, οὐ κατ' εὐθὺ φέρεται, ἀλλὰ περιφέρειαν ποιεῖ. ταῦτα καὶ τὸ τρίτον.

Τετάρτη αἰτία ὅτι τὰ σφάλματα διορθοῦται τῶν ἄλλων τεχνῶν. τῆς γὰρ ῥητορικῆς θέσει λεγούσης τὸ δίκαιον, κατὰ γὰρ τοὺς τεθέντας, φησὶ, νόμους, ἄλλους ὄντας παρ' ἄλλοις, παρὰ μὲν Πέρσαις τὸ ταῖς μητράσιν ἑαυτῶν συγγίνεσθαι καὶ ἀδελφαῖς καὶ θυγατρᾶσι, παρὰ δὲ Τριβαλλοῖς τὸ τοὺς πατέρας γηράσκοντας ἀποσφάττειν, ἡ φιλοσοφία ἐφίστησι λέγουσα ὅτι ὁ μὲν νόμος θέσει. ἄλλος γὰρ παρ' ἄλλοις, τὸ δὲ δίκαιον φύσει, πανταχοῦ ὂν τὸ αὐτό. ἄδικον γὰρ τὸ τὰ αἴτια συγχεῖν τοῖς αἰτιατοῖς, καὶ ποιεῖν τὸ αἴτιον αἰτιατὸν, καὶ τὸ αἰτιατὸν αἴτιον· ἢ τὰ ἄρχοντα ἀρχόμενα ποιεῖν· ὅπερ ἐστὶν ἐπὶ τῆς μητρογαμίας. ἡ γὰρ πάλαι αἰτία καὶ ἄρχουσα ὡς μήτηρ, αἰτιατὴ καὶ ἀρχομένη ὡς γυνὴ γίνεται. ἄδικον δὲ παρὰ φιλοσοφίᾳ καὶ τὸ τοὺς πατέρας γηράσκοντας κατασφάττειν, ὡς λύοντας τὸν φυσικὸν δεσμὸν παρὰ γνώμην τοῦ δήσαντος. πάλιν τῆς ῥητορικῆς ἀντιδιαιρούσης τὸ δίκαιον τῷ συμφέροντι, καὶ τὴν Ἀντιλόχου περὶ τὸν ἴδιον πατέρα τὸν Νέστορα πρᾶξιν, δικαίαν μὲν οὖσαν ὡς ὑπὸ πατρὸς, οὐ συμφέρουσαν δὲ τῷ σώματι ὅτι ἐτρώθη, ἡ φιλοσοφία φησὶ καὶ δίκαιον τὸ τοιοῦτο καὶ συμφέρον. πᾶν γὰρ συμφέρον δίκαιον, καὶ πᾶν μὴ συμφέρον οὐ δίκαιον. τί γὰρ πρὸς ἡμᾶς τὰ τοῦ σώματος τραύματα, ἡμᾶς τὴν ψυχὴν εἰποῦσα; οὕτω τρωθείς τις ἐν πολέμῳ ὑπὲρ φίλου ἔφη,

> αὐτόν μ' ἐξεσάωσα· τί μοι μέλει ἀσπὶς ἐκείνη;
> ἐρρέτω.

αὐτὸν μὲν τὴν ἰδίαν ψυχὴν εἰπὼν, ἀσπίδα δὲ τὸ ἴδιον σῶμα καλέ-

σας. καὶ ἄλλος διψήσας ἔφη· "ἀπέρχομαι τὸν ὄνον μου ποτίσαι," ὄνον τὸ σῶμα καλέσας· καὶ τὸ "πτῖσαι, πτῖσαι τὸν Ἀναξάρχου "θύλακον, αὐτὸν γὰρ Ἀνάξαρχον οὐ μὴ πτίξῃς ποτέ." πάλιν τῆς ῥητορικῆς λεγούσης ὅτι κρεῖσσον τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι, ἡ φιλοσοφία τὸ ἐναντίον φησὶν, ὅτι μακρῷ χεῖρον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι. ὁ γὰρ ἀδικῶν εἰς ἑαυτὸν βλάπτεται καὶ εἰς ψυχὴν, ὁ δὲ ἀδικούμενος, ἢ εἰς τὸ πρῶτον κτῆμα ἀδικεῖται, τουτέστιν εἰς τὸ σῶμα, ἢ εἰς τὸ δεύτερον κτῆμα, φημὶ τὰ ὑπάρχοντα. μακρῷ δὲ χεῖρον τὴν ψυχὴν κακῶς ἔχειν, ἢ τὸ σῶμα· καὶ τὰ ἐκτὸς, φησὶν, οὐδείς σε βλάψει, εἰ μὴ σὺ σαυτόν· κατὰ τὴν ψυχὴν γὰρ οὐκ ἔστιν ὑφ' ἑτέρου ἀδικηθῆναι. ὁ γὰρ Πλάτων οὐκ οἶδε τὸν ἄνθρωπον ψυχὴν καὶ σῶμα, ἀλλὰ ψυχὴν λογικὴν, ὀργάνῳ χρωμένην τῷ σώματι. τρισὶ γὰρ προσρήμασι προσαγορεύει τὸν ἄνθρωπον, ἐγὼ, τὸ ἐμὸν, τὰ τοῦ ἐμοῦ. ἐγὼ καλῶν, τὴν ψυχὴν, τὸ ἐμὸν, τὸ σῶμα, τὰ τοῦ ἐμοῦ, τὰ κτήματα. ὅτι δὲ ταῦτα γινώσκει ἡ φιλοσοφία, Πλάτων φησὶν "ὅτι βουλοίμην μὲν οὐδέτερον, μήτε ἀδικεῖν μήτε "ἀδικεῖσθαι· αἱρέσεως δὲ οὔσης, ἑλοίμην μᾶλλον ἀδικεῖσθαι ἢ "ἀδικεῖν." ἐν οἷς καὶ τοῦτο.

Πέμπτη αἰτία ὅτι ἡ φιλοσοφία κατεσκεύασεν ἑαυτῇ τὸν συλλογισμὸν, καὶ κέχρηται αὐτῷ ὀργάνῳ, αἱ δὲ ἄλλαι τέχναι κέχρηνται μὲν συλλογισμῷ, ποιῆσαι δὲ οὐ δύνανται. καὶ ἔοικεν ἡ μὲν φιλοσοφία σκυτοτόμῳ, τῷ καὶ ποιοῦντι ὑποδήματα καὶ φοροῦντι. αἱ δὲ ἄλλαι τέχναι, φοροῦντι μόνον, οὐ μὴν καὶ ποιοῦντι. ἐν οἷς καὶ ἡ πέμπτη αἰτία.

Ἀποροῦσι δέ τινες ὅτι εἰ τέχνη τεχνῶν ἡ φιλοσοφία, ἔσται καὶ αὐτή. καὶ λέγομεν ὅτι τέχνη τεχνῶν οὖσα, ὑπὲρ τέχνην ἐστὶν, ἢ καὶ ὡς τεχνοῦσα τὰς ἄλλας τέχνας, τέχνη λέγεται τεχνῶν ἢ καὶ ἄλλως οὐ τὰ ἅμα λεγόμενα καὶ ἰδίᾳ δύνανται λέγεσθαι. νεκρὸς δὲ ἄνθρωπος λέγεται μὲν, ἄνθρωπος δὲ οὔ. καὶ λιθίνη ναῦς, ναῦς δὲ οὔ. καὶ κίβδηλος χρυσὸς, χρυσὸς δὲ οὔ. ὁ γὰρ χρυσὸς ἐγγυητής ἐστιν ὧν βουλόμεθα ἔχειν. ὁ δὲ κίβδηλος τοῦτο οὐ ποιεῖ. τὸ δὲ ἔμπαλιν οὐ τὰ ἰδίᾳ λεγόμενα, καὶ ἅμα δύνανται λέγεσθαι, ὡς ἵνα εἴπω, ὁ κύων σὸς, ὁ κύων πατὴρ, ὁ κύων σὸς πατὴρ, οὐ δύναται λέγεσθαι. ἐν τούτοις ὁ πέμπτος ὁρισμὸς τῆς φιλοσοφίας.

Πρᾶξις θ.

Οὐ δεῖ περιφρονῆσαι τοῦ ϛ´ ὁρισμοῦ τῆς φιλοσοφίας ὡς περὶ μόνας φωνὰς ἠσχολημένου, τῶν ἄλλων περὶ τὸ πρᾶγμα ἐπτοημένων ἤτοι ἐσπουδακότων. ἔχει γάρ τι πλέον ἐκείνων οὗτος. ἐκεῖνοι μὲν γὰρ μόνον τὸ πρᾶγμα λέγουσιν, οὗτος δὲ καὶ τὸ ὄνομα καὶ τὸ πρᾶγμα. ἕκτος τοίνυν ὁρισμὸς τῆς φιλοσοφίας, εἰς Πυθαγόραν ἀναγόμενος, ὁ λέγων αὐτὴν φιλίαν σοφίας. καὶ εὖγε ὅτι ἀρχὴ καὶ πέρας τῶν ὁρισμῶν τῆς φιλοσοφίας γέγονεν ἡμῖν ὁ Πυθαγόρας, ὁ ἀεὶ διὰ τῆς σιωπῆς πρὸς ἑαυτὸν ἐπιστρέφων. ἀλλ᾽ ὦ Πυθαγόρα, οὐκ ἀντιστρέφει ὁ ὁρισμὸς οὗτος, ὅπερ ἦν ἀρετὴ ὅρου. εἴτι μὲν γὰρ φιλοσοφία, φιλία σοφίας, οὐκ εἴτι δὲ ἔφεσις σοφίας, φιλοσοφία. πᾶσα γὰρ τέχνη καὶ ἐπιστήμη ἐφίεται τοῦ οἰκείου ὑποκειμένου.

Ἀλλ᾽ ἐπειδὴ οὔτε Πυθαγόρας ἐρωτώμενος ἀποκρίνεται, οὔτε οἱ μαθηταὶ αὐτοῦ ἄλλο τί ἀποκρίνονται, ἢ ὅτι "αὐτὸς ἔφα," τὴν ἀπόφασιν τοῦ διδασκάλου ὑπὲρ ἀπόδειξιν ἡγούμενοι, φέρε ἡμεῖς εἴπωμεν ὑπὲρ Πυθαγόρου εἴπερ λέγειν ἠνέσχετο. πάλαι μέν τοι καὶ μέχρι τῶν Ὁμήρου χρόνων ἠδικεῖτο καὶ ἐρυπαίνετο τὸ τῆς φιλοσοφίας ὄνομα, φερόμενον κατὰ παντὸς τοῦ ὁτιοῦν εἰδότος, ὡς φησὶ καὶ ὁ ποιητής,

εὖ εἰδὼς σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης,

καὶ

ἐπεὶ σοφὸς ἤραρε τέκτων.

ὁ γοῦν Πυθαγόρας ὀψέ ποτε ἐπιγενόμενος συνέστειλε τὸ τῆς φιλοσοφίας ὄνομα, ἐπὶ μόνους τοὺς τὰ ἄϋλα εἰδότας, τουτέστι τοὺς φιλοσόφους· σαφῆ γὰρ καὶ φανὰ τὰ θεῖα αὐτοῖς, εἰ καὶ ἡμῖν ἀσαφῆ, διὰ τὴν ἡμῶν ἀνεπιτηδειότητα, ὡς καὶ ταῖς νυκτερίσιν ὁ ἥλιος. παρὰ Πυθαγόρου γὰρ λεγόμενος οὗτος ὁ ὁρισμὸς τέλειος, πᾶσα γὰρ φιλοσοφία, φιλία σοφίας· καὶ πᾶσα ἔφεσις σοφίας, σοφίαν ἀκουόντων ἡμῶν τὴν τῶν ἀΰλων γνῶσιν, φιλοσοφία ἐστίν.

Ἀλλ᾽ ἐπειδὴ οὐ μόνης μάστιγος δεῖ τοῖς λόγοις ἀλλὰ καὶ χαλινοῦ· μάστιγος μὲν, ἵνα χαρισώμεθα τῇ μαθήσει· χαλινοῦ δὲ, ἵνα τῇ μνήμῃ χαρισώμεθα. μεμνήμεθα γὰρ τῶν δι᾽ ὀλίγων λεχθέντων, μανθάνομεν δὲ τὰ διὰ πλειόνων λεγόμενα. φέρε μετὰ

τὴν πλατικὴν διέξοδον τῶν ὁρισμῶν συνόψει αὐτοὺς περιβάλλωμεν. γνῶσις τοίνυν τῶν ὄντων ἡ φιλοσοφία, ἣ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. τὰ γὰρ ὄντα ἢ θεῖα ἢ ἀνθρώπεια· ἀσυμμετρία γὰρ οὖσα καὶ ἀρετὴ, οὔτε τῶν θείων ἠμέλησε, διὰ τὴν ποικιλίαν τῶν ἀνθρωπείων, οὔτε τῶν ἀνθρωπείων διὰ τὴν μεγαλειότητα τῶν θείων, ἀλλ᾽ ἑκατέρου πρόνοιαν ἐποιήσατο. ἀλλὰ καὶ μελέτη θανάτου ἡ φιλοσοφία, εἴπερ οἱ αὐτόχειρες ἑαυτῶν γινόμενοι ὃν ἔθηκεν ὁ δημιουργὸς λύουσι δεσμόν. οἱ δὲ φιλόσοφοι ὃν ἔδησαν δεσμὸν, αὐτὸν καὶ λύουσιν. ἀλλὰ καὶ ὁμοίωσις θεῷ ἡ φιλοσοφία, διὰ τὸ εἰρημένον τῷ Λυκούργῳ φιλοσόφῳ ὄντι.

δίζω ἤ σε θεὸν μαντεύσομαι, ἠὲ καὶ ἄνδρα.

ἀλλὰ καὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, ὡς τεχνοῦσα τὰς ἄλλας τέχνας· ἀλλὰ καὶ φιλία σοφίας, ὡς τὰ ἄϋλα γινώσκουσα.

Θαυμάσαι δέ ἐστιν καὶ τὸ πλῆθος τῶν ὁρισμῶν τῆς φιλοσοφίας, ἓξ γάρ εἰσιν, ὁ δὲ ἓξ τέλειος, ὡς ἴσος τοῖς ἑαυτοῦ μέρεσι. τὰ γὰρ μέρη αὐτοῦ συνερχόμενα, οὔτε πλεονάζει οὔτε ἐλλείπει. οὕτως ἥμισυ τῶν ἓξ, τρία, τρίτον τῶν ἓξ, δύο, ἕκτον, ἡ μονὰς, καὶ ἰδοὺ τέλειος. τὰ γὰρ τρία καὶ τὰ δύο καὶ τὸ ἓν συντεθέντα, ἓξ ἀποτελεῖ μόνον. τῶν γὰρ ἀριθμῶν, οἱ μέν εἰσι τέλειοι, οἱ δὲ ὑπερτελεῖς, οἱ δὲ ἐλλειπεῖς. καὶ ἔοικεν ὁ μὲν τέλειος ἀριθμὸς ἀρετῇ. ὁ δὲ ὑπερτελὴς καὶ ἐλλειπὴς, ταῖς ἀντικειμέναις τῇ ἀρετῇ κακίαις. ἡ γὰρ ἀρετὴ συμμετρία οὖσα, δύο κακίαις παρασπίζεται· οἷον δικαιοσύνη, πλεονεξίᾳ καὶ μειονεξίᾳ· ἡ φρόνησις, πανουργίᾳ καὶ ἀνοίᾳ· ἡ ἀνδρεία, δειλίᾳ καὶ θράσει· ἡ σωφροσύνη, ἀκολασίᾳ καὶ ἠλιθιότητι. οὕτως οὖν καὶ ὁ τέλειος ἀριθμὸς, ἀρετῇ ἔοικε καὶ συμμετρίᾳ, οἱ δὲ λοιποὶ, ἀμετρίαις ἤτοι κακίαις.

Τέλειοι μὲν ἀριθμοὶ εἰσὶν οἱ ἴσοι τοῖς ἑαυτῶν μέρεσι, ὡς οὕτως ὁ ἓξ, ὑπερτελεῖς δὲ, ὡς ὁ δύο καὶ δέκα. τούτου γὰρ καὶ συντεθέντων τῶν μερῶν γίνονται δεκαέξ· οὕτως· ἥμισυ τῶν δεκαδύο, ἕξ· γ τῶν ιβ δ· τέταρτον τῶν ιβ γ· ἕκτον τῶν ιβ β· καὶ τὸ δυοδέκατον ἡ μονὰς, δεκαὲξ ἀποτελοῦσιν. ἐλλειπεῖς δὲ ὡς ὁ ὀκτώ· τὰ γὰρ μέρη αὐτοῦ συντεθέντα, ἑπτὰ μόνον ποιοῦσιν οὕτως· ἥμισυ τῶν ὀκτὼ, τέσσαρα· τέταρτον τῶν ὀκτὼ, δύο, καὶ τὸ ὄγδοον ἡ μονὰς, ἑπτὰ ποιοῦσι· καὶ πολλοὶ μὲν οἱ ὑπερτελεῖς καὶ ἐλλειπεῖς·

οἱ δὲ τέλειοι τέσσαρες μόνον. ἀπὸ γὰρ μονάδος ἕως δεκάδος εἷς τέλειος ὁ ἕξ· καὶ ἀπὸ δεκάδος ἕως ἑκατοντάδος ὁ εἰκοστὸς ὄγδοος· καὶ ἀπὸ ἑκατοντάδος ἕως χιλιάδος, ὁ τετρακοσιοστὸς ἐνενηκοστὸς ἕκτος· καὶ ἀπὸ χιλιάδος ἕως μυριάδος ὁ ὀκτακισχιλιοστὸς ἑκατοστὸς εἰκοστὸς ὄγδοος. καὶ ἄλλως δὲ τέλειος ἀριθμὸς τῶν ὁρισμῶν τῆς φιλοσοφίας, διότι τέσσαρες ἦσαν αἱ ἀφορμαὶ, ἐξ ὧν ἐλαμβάνοντο οἱ ὁρισμοί. ἢ γὰρ ἐκ τοῦ ὑποκειμένου, ἢ ἐκ τοῦ τέλους, ἢ ἐκ τῆς ὑπεροχῆς, ἢ ἐκ τῆς ἐτυμολογίας. ὁ δὲ τέσσαρα ἀριθμὸς, δυνάμει δέκα. συντεθεὶς γὰρ μετὰ τῶν πρὸ αὐτοῦ ἀριθμῶν ὁ τέσσαρα, τουτέστι τὰ τρία καὶ δύο καὶ ἓν ὂν[1], τὸν δέκα ἀποτελεῖ. ὁ δὲ δέκα τέλειος, οὐχ ὡς ἴσος τοῖς ἑαυτοῦ μέρεσιν, ἀλλ' ὅτι πᾶς ἀριθμὸς καμπτῆρι αὐτῷ κέχρηται, καὶ ὅτι πάντα ἀριθμὸν δέχεται, διὸ καὶ δεχὰς εἴρηται. ἔοικε δὲ τούτῳ καὶ ἡ φιλοσοφία, ὡς πάντα τὰ ὄντα γινώσκουσα.

Πρᾶξις ι.

Μετὰ τὸ γνῶναι ἡμᾶς τὴν φιλοσοφίαν ὅλην ὡς ὅλην διὰ τῶν ἓξ ὁρισμῶν, φέρε καὶ ὡς μέρη ἔχουσαν αὐτὴν διὰ τῆς διαιρέσεως πολυπραγμονήσωμεν. ἀλλ' ὥσπερ ἐπὶ τῶν ὁρισμῶν τρία τινὰ ἐζητοῦμεν, τί ἐστιν ὁρισμός· πόθεν εἴρηται· πόθεν λαμβάνεται, οὕτω καὶ ἐπὶ τῆς διαιρέσεως τρία ζητήσωμεν, τί διαίρεσις, καὶ ἐπιδιαίρεσις, καὶ ὑποδιαίρεσις. ποῦ γὰρ οἰκειότερον ταῦτα ζητήσωμεν, ἢ τὴν φιλοσοφίαν διαιροῦντες, ἧς εὕρημα ὁρισμὸς καὶ διαίρεσις; διαίρεσις μέν ἐστιν ἡ πρώτη τομὴ τοῦ πράγματος, οἷον ὡς ἵνα διέλω τὸ ζῶον εἰς λογικὸν καὶ ἄλογον. ἐπιδιαίρεσις δέ ἐστιν ἡ τοῦ αὐτοῦ πράγματος δευτέρα τομὴ, οἷον ὡς ἵνα διέλω τὸ αὐτὸ ζῶον εἰς θνητὸν καὶ ἀθάνατον. οὐδὲν δὲ διαφέρει διαίρεσις ἐπιδιαιρέσεως· ἣν γὰρ ἂν προτάξωμεν, ἐκείνη ἐστὶ διαίρεσις, καὶ ἣν ὑποτάξομεν, ἐκείνη ἐστὶν ἐπιδιαίρεσις. ὑποδιαίρεσις δέ ἐστιν ἡ ἑνὸς τῶν διαιρεθέντων τομὴ, ὡς ἵνα διέλῃ τις τὸ λογικὸν εἰς θεῖα καὶ ἀνθρώπεια, καὶ τὸ ἄλογον εἰς σαρκοφάγα, ἢ ποηφάγα. ὑποδιαίρεσις οὖν ἐστιν ἡ ἑνὸς τμήματος τῶν διαιρεθέντων τομή.

Τούτων οὕτως προληφθέντων, εἴπωμεν τὴν διαίρεσιν τῆς φιλο-

[1] ἑνὸν Cod.

σοφίας. διαιρεῖται τοίνυν ἡ φιλοσοφία εἰς τὸ θεωρητικὸν καὶ πρακτικόν. ταῦτα δὲ διαφέρουσιν ἀλλήλων καὶ τῷ ὑποκειμένῳ καὶ τῷ τέλει. τῷ μὲν γὰρ θεωρητικῷ πάντα τὰ ὄντα ὑπόκειται εἰς γνῶσιν, τῷ δὲ πρακτικῷ οὐ πάντα ὑπόκειται εἰς κατακόσμησιν, εἰ μὴ μόναι αἱ ἀνθρώπειαι ψυχαί. οὐδὲ γὰρ ἐπαγγέλλεται ὁ φιλόσοφος κοσμεῖν ἵππου ψυχὴν ἢ βοὸς ἢ τινὸς ἄλλου, πλὴν ἀνθρώπου. οὕτως μὲν τῷ ὑποκειμένῳ διαφέρουσιν, ἀλλὰ καὶ τῷ τέλει. ὁ μὲν γὰρ θεωρητικὸς περὶ τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν καταγίνεται, τέλος δὲ ποιεῖται μόνον τὸ ἀληθές. ὁ δὲ πρακτικὸς περὶ τὸ ἀγαθὸν καὶ τὸ κακὸν καταγίνεται, τέλος δὲ ποιεῖται μόνον τὸ ἀγαθόν. θέλει γὰρ γινώσκειν τὸ ἀληθὲς καὶ ψευδὲς, καὶ τὴν διαφορὰν εἰδέναι ἀγαθοῦ καὶ κακοῦ, ὑπὲρ τοῦ τὰ μὲν ἑλεῖν, τὰ δὲ φυγεῖν, τουτέστιν ἵνα μήτε λέγῃ κακόν τι ὁ φιλόσοφος μήτε πράττῃ. ὥσπερ καὶ ὁ ἰατρὸς θέλει γινώσκειν τὰ δηλητήρια, οὐχ ἵνα χρήσηται αὐτοῖς, ἀλλ᾽ ἵνα διὰ τῆς γνώσεως παραιτήσηται αὐτά.

Ἀποροῦσι δέ τινες, ὅτι εἰ τοῦ θεωρητικοῦ τέλος τὸ ἀληθὲς, τοῦ δὲ πρακτικοῦ τὸ ἀγαθὸν, ταυτὸν δὲ ἀληθὲς καὶ ἀγαθὸν, ταυτὸν ἄρα τὸ θεωρητικὸν τῷ πρακτικῷ. ὧν γὰρ τὰ τέλη ταὐτὰ, καὶ αὐτὰ, ταυτά. λεκτέον οὖν ὅτι πολλὴ ἡ ἐν τούτοις διαφορά. πολλάκις γὰρ ψευδόμεθα ἐπ᾽ ἀγαθῷ, καὶ ἀληθεύομεν ἐπὶ κακῷ· οἷον ὑγιαίνων τις παρέθετο ξίφος τινὶ, ἄφνω δὲ μανεὶς, αἰτεῖ τὴν παρακαταθήκην, ἵνα ἢ ἑαυτὸν ἢ ἕτερον τινὰ σφάξῃ· ὁ δὲ ἀρνεῖται καὶ ψεύδεται μὲν, ἐπ᾽ ἀγαθῷ δὲ, ὡς εἴγε ἠλήθευσεν, ἐπὶ κακῷ ἠλήθευεν. δύναται δὲ μερικῶς καὶ ἀληθεύειν ὁ τοιοῦτος. ἄλλος γὰρ ἦν ὑγιαίνων ὁ τὸ ξίφος παραθέμενος, καὶ ἄλλος μαινόμενος. ἵνα δὲ μὴ λάθωμεν ἑαυτοὺς, κακοῦ μαγείρου δίκην, περὶ ἄρθρα τὰς διαιρέσεις ποιούμενοι, ὅπου μὴ ἔστι διφυΐα, ὥσπερ οἱ πρίζοντες τὰ ξύλα, ἡγεμόνι κέχρηνται τῇ μίλτῳ, οὕτως καὶ ἡμεῖς ἡγεμόνι χρησάμενοι τῷ λόγῳ, εἰς ὅσα καὶ οἷα ὑπαγορεύει, οὕτως ποιησόμεθα τὰς διαιρέσεις. ὅπου διφυΐα ἐστὶ πέφυκε διαιρεῖσθαι, τουτέστι καθ᾽ ἑκάστην διαίρεσιν δεῖ ζητεῖν διατὶ εἰς τοσαῦτα καὶ τοιαῦτα διαιρεῖται.

Διαιρεῖται τοίνυν ἡ φιλοσοφία εἰς δύο καὶ οὐχὶ εἰς τρία, ὡς οἱ τὸ λογικὸν αὐτῇ προσνέμοντες. δειχθήσεται γὰρ σὺν Θεῷ ἐν τοῖς ἀναλυτικοῖς, ὅτι ἡ λογικὴ οὐ μέρος τῆς φιλοσοφίας, ἀλλ᾽ ὄργανον.

διότι τὸ μὲν μέρος, συμφυὲς, τὸ δὲ ὄργανον, ἐπείσακτον. εἰς δύο δὲ διαιρεῖται ἡ φιλοσοφία, οὐχ ὥς φασιν αἱ ἐγκύκλιοι ἐξηγήσεις, ὅτι ἐπειδὴ ἡ φιλοσοφία γνῶσις θείων καὶ ἀνθρωπείων ἐστὶ, διὰ μὲν τὰ θεῖα τὸ θεωρητικὸν προεβάλλετο, θεωρητικὸν γάρ φασιν εἴρηται, ὡς τέλος ἔχον τὰ θεῖα ὁρᾷν· διὰ δὲ τὰ ἀνθρώπινα, προεβάλλετο τὸ πρακτικόν. παραλογίζονται γὰρ ἐκ τῆς ὁμωνυμίας τοῦ ἀνθρώπου. ἄλλο γὰρ ἀνθρώπειον ἐν τῷ ὁρισμῷ ἐλαμβάνετο. τὸ γὰρ ἐκ τοῦ τιμιωτέρου κατὰ παντὸς φθαρτοῦ φερόμενον. ἄλλο δὲ ἀνθρώπειον ἐνταῦθα λαμβάνουσιν, τὸ ἐπὶ τοῦ κυρίως ἀνθρώπου. φέρε οὖν εἴπωμεν ἡμεῖς τούτου αἰτίας δύο. πρώτην μὲν τοιαύτην, ὅτι ἡ φιλοσοφία ὁμοία ἐστὶ θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. καὶ ἐπειδὴ ὁ θεὸς καὶ πάντα τὰ ὄντα γινώσκει, καὶ τῶν δευτέρων πρόνοιαν ποιεῖται, εἰκότως καὶ ἡ φιλοσοφία μιμουμένη θεὸν, διὰ μὲν τὴν καθόλου γνῶσιν αὐτῆς, τὸ θεωρητικὸν προεβάλλετο, διὰ δὲ καὶ τῶν δευτέρων προνοεῖν προεβάλλετο τὸ πρακτικόν. αὕτη μὲν ἡ πρώτη αἰτία. δευτέρα δὲ ὅτι ἡ φιλοσοφία, ἰατρικὴ ψυχῶν ἐστίν. ἡ δὲ ψυχὴ διττὰς ἔχει δυνάμεις, γνωστικὰς καὶ πρακτικὰς, ἄμφω δὲ συνουσίωνται ἡμῖν, ὡς δηλοῖ τὸ ἐκ παίδων φιλομύθους ἡμᾶς εἶναι καὶ χαίρειν ἐν τῇ περιεργίᾳ, ὥς φησι Μένανδρος,

> φιλῶ σε Ὀνήσιμε, καὶ σὺ περίεργος εἶ;

καὶ πάλιν,

> οὐδὲν γὰρ γλυκύτερον ἢ πάντα εἰδέναι[1].

ὁμοίως δὲ καὶ Ἀριστοτέλης, "Πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγον-"ται φύσει. σημεῖον δὲ ἡ τῶν αἰσθήσεων ἀγάπησις." ἀλλὰ καὶ τὸ πρακτικὸν συνουσίωται ἡμῖν, ὡς δηλοῖ τὸ ἐν ταῖς ἐρημίαις ἀσχάλλειν ἡμᾶς, καὶ τρίχας τίλλειν, ἢ δακτύλιον περιελίττειν, ἢ κηρὸν μαλάττειν, διὰ τὸ μὴ ἀνέχεσθαι ἡμᾶς παντελοῦς ἀργίας. διὰ τὰς γνωστικὰς οὖν εἰκότως προεβάλετο τὸ θεωρητικόν. διὰ δὲ τὰς πρακτικὰς τὸ πρακτικόν.

Τούτων οὕτως ἐχόντων, εἴπωμεν τὴν ὑποδιαίρεσιν τοῦ θεωρητικοῦ. καὶ ἐνῆν μὲν προτάξαι θάτερον θατέρου· καὶ τὸ θεωρητικὸν

[1] Hanc sententiam tacito auctoris nomine citavit Cicero Ep. ad Att. XV. 11. et ex eo collegit Meineke inter Frag. Anonym. Comic. t. IV. p. 610. quæ nunc Menandro nostri auctoritate restituenda erit.

τοῦ πρακτικοῦ, ὡς πάντα τὰ ὄντα γινῶσκον, τέλος δὲ ἔχον τὸ ἀληθές· καὶ τὸ πρακτικὸν τοῦ θεωρητικοῦ, ὅτι εἰ καὶ μὴ ὑπόκεινται αὐτῷ πάντα τὰ ὄντα εἰς κατακόσμησιν, ἀλλ' ἔχει τέλος τὸ ἀγαθόν, ὅπερ ὡς ἐδείχθη ἐπέκεινα ἐστὶ τοῦ ἀληθοῦς· τὸ γὰρ ἀγαθὸν πρὸς τῷ θεῷ, διὸ καὶ πρόνοια καλεῖται τὸ ἀγαθὸν ὡς πρὸ τοῦ νοῦ ὄν. νοῦ δέ ἐστι τὸ ἀληθεύειν. ἀλλ' ὡς ἐν λογικῇ πραγματείᾳ τὰ καθόλου προτακτέον. διὸ τὸ θεωρητικὸν δεῖ πρότερον ὑποδιελεῖν. διαιρεῖται τοίνυν τοῦτο εἰς τρία, εἰς φυσικόν, μαθηματικόν, θεολογικόν· καὶ εἰκότως. ὁ γὰρ φιλόσοφος πάντα τὰ ὄντα θέλει γνώσκειν. πάντα δὲ τὰ ὄντα τριττά, ἢ πάντη ἔνυλα, ὡς ὀστέα, τρίχες, ὄνυχες, περὶ ἃ καταγίνεται τὸ φυσικόν· ἢ πάντα ἄϋλα, ὡς τὰ θεῖα· ἢ πῇ μὲν ἔνυλα, πῇ δὲ ἄϋλα, ὡς τρίγωνα καὶ τετράγωνα σχήματα ἐν κηρῷ ἢ ἀβακίῳ χαραττόμενα, περὶ ἃ καταγίνεται τὸ μαθηματικόν. ταῦτα γὰρ τὴν μὲν ὑπόστασιν ἐν ἀβακίῳ φέρε εἰπεῖν ἢ κηρῷ ἔχει, δύνανται δὲ ἐπινοηθῆναι ὑπὸ τῆς φαντασίας καὶ χωρὶς τῆς ὕλης, δίκην κηροῦ ἀναματτομένου τὸ εἶδος τοῦ σφραγιστῆρος, καταλιμπάνοντος δὲ τὸν χαλκόν. διὸ καὶ ὁ Πλάτων ἐκμαγεῖον καλεῖ τὴν φαντασίαν, διὰ τὸ ἐκμάττεσθαι καὶ ἀποσυλᾶν τὰ εἴδη ἀπὸ τῆς ὕλης.

Ἀποροῦσι δέ τινες, διατί μὴ καὶ τὰ φυσικὰ λέγομεν μαθηματικά, εἴγε δυνάμεθα καὶ τὸ τῆς σαρκὸς εἶδος ἐπινοῆσαι χωρὶς τῆς ὕλης; πρὸς οὓς ἐροῦμεν ὅτι τὰ μὲν σχήματα ἐπινοῆσαι δυνάμεθα χωρὶς ὕλης, ἐπειδὴ μηδεμιᾶς κράσεως δέονται· σάρκα δὲ ἐπινοῆσαι ἄνευ κράσεως οὐ δυνάμεθα, ἐν ᾗ τὴν ὑπόστασιν ἔχει· ἡ γὰρ κρᾶσις ὕλη ἐστί· δεῖ οὖν πρῶτον τὰ πάντη ἔνυλα καὶ φυσικὰ ἀναλέγεσθαι, μετ' ἐκεῖνα τὰ μαθηματικά, κλίμαξιν ἐοικότα ἢ γεφύραις· οὐδὲ γὰρ ἀθρόον ἀπὸ τῶν πάντη ἐνύλων ἐπὶ τὰ ἄϋλα μετιέναι δεῖ. ταυτὰ γὰρ πησόμεθα τοῖς ἀπὸ ζοφώδους σπηλαίου τολμήσασιν ἀθρόον ἀντωπῆσαι ταῖς ἡλιακαῖς ἀκτῖσιν. δεῖ γὰρ τοὺς τοιούτους πρότερον ἐν οἰκίσκῳ ἔχοντι σύμμετρον φῶς προεθισθέντας, οὕτως ἀντωπῆσαι ταῖς ἡλιακαῖς ἀκτῖσιν. ὡσαύτως οὖν χρὴ καὶ ἀπὸ τῶν πάντῃ ἐνύλων ἀναλογούντων σπηλαίῳ εἰς τὰ μαθήματα ἐγγυμνασθῆναι ἀναλογοῦντα οἰκίσκῳ σύμμετρον ἔχοντι φῶς· καὶ εἶθ' οὕτως χωρεῖν ἐπὶ τὰ ἄϋλα ἀναλογοῦντα ταῖς τοῦ ἡλίου ἀκτῖσιν. οὕτω γάρ φασι καὶ οἱ Πυθαγόρειοι, σχάμα, καὶ

βάμεν, ἀντὶ τοῦ καθ' ἕκαστον σχῆμα, βαθμὸν ἄνιμεν ἐπὶ θεολογίαν, κατὰ μέρος ἐν νῷ λαμβάνοντες τὰ πάντῃ ἄϋλα.

Ἀποροῦσι δέ τινες ὅτι εἰ πάντα μανθάνομεν καὶ τὰ ἄϋλα καὶ τὰ ἔνυλα καὶ τὰ μέσα, διατί μὴ πάντα καλεῖται μαθήματα, ἀλλὰ μόνα τὰ μέσα ἐσφετερίσατο τὸ κοινὸν ὄνομα; καὶ λέγομεν τούτου αἰτίας δύο, μίαν μὲν ὅτι ἔχουσι τὰ μαθήματα τὸ ἀραρὸς τῶν ἀποδείξεων· ταῦτα γὰρ μανθάνομεν ἀκριβῶς, τὰ δὲ ἄλλα εἰκάζομεν μᾶλλον ἢ μανθάνομεν. διὸ καὶ ὁ φιλόσοφος Μαρῖνος ἔφη, "εἴθε πάντα μαθήματα ἦν." δευτέραν δὲ ὅτι ταῦτα ἡδέως μανθάνομεν, πάσχοντες τὸ τῶν λωτοφάγων. γευσάμενοι γὰρ αὐτῶν, οὐ θέλομεν αὐτῶν ἀποστῆναι, ἀλλ' ἐχόμεθα αὐτῶν ὡς λωτοῦ. ᾗ φησι καὶ Πλάτων οὕτως. "ἃ γὰρ ἂν ἑκοῦσα ἡ ψυχὴ λάβῃ, "δυσέκνιπτα καὶ ἀμετάστατα φιλεῖ γίνεσθαι." ὥσπερ γὰρ τοὐναντίον φασίν.

ψυχῆς βίαιον οὐδὲν ἔμμονον μάθημα.

καὶ Ἀρχιμήδης δέ ποτε βαρβάρων ἐπιστάντων ταῖς Συρακούσαις, οὐκ ἔφυγεν, θεώρημά τι γεωμετρικὸν καταγράφων. ἀλλ' ἔφη, "τὰν κεφαλὰν καὶ μὴ τὰν γραμμὰν," τουτέστι παρὰ τὴν κεφαλὴν, καὶ μὴ παρὰ τὴν γραμμήν. ταῦτα ἔχει ἡ πρᾶξις.

Πρᾶξις ια΄.

Τοῦ θεωρητικοῦ εἰς τρία διαιρεθέντος, εἰς φυσικὸν, μαθηματικὸν, θεολογικὸν, μόνου τοῦ μαθηματικοῦ τὴν διαίρεσιν οἱ ἐξηγηταὶ νῦν παραδιδόασιν, ὡς ἂν τούτου συμμέτρως ἔχοντος πρὸς εἰσαγομένους. ἐφ' οἷς εἴπωμεν τὴν ὑποδιαίρεσιν τοῦ μαθηματικοῦ. διαιρεῖται τοίνυν εἰς δ, ἀριθμητικὴν, μουσικὴν, γεωμετρίαν, ἀστρονομίαν. καὶ εἰκότως· ἐπειδὴ ἡ μαθηματικὴ περὶ ἀριθμὸν καταγίνεται καὶ μέγεθος. τοῦ δὲ ἀριθμοῦ τὸ μὲν καθ' αὑτὸ, τὸ δὲ ἐν σχέσει. τοῦ δὲ μεγέθους τὸ μὲν ἀκίνητον, τὸ δὲ κινούμενον. καὶ περὶ μὲν τὸν καθ' αὑτὸ ἀριθμὸν καταγίνεται ἡ ἀριθμητικὴ, ζητοῦσα τὰς φύσεις τῶν ἀριθμῶν καὶ τὰ πάθη· ὡς ὅταν λέγῃ, τῶν ἀριθμῶν οἱ μὲν ἄρτιοι, οἱ δὲ περιττοί. καὶ τούτων τὰ εἴδη· οὐδεμίαν γὰρ ἔμφασιν ἑτέρου ἀριθμοῦ παρέχει. εἰ δὲ εἴπῃ διπλάσιον, τριπλάσιον, ἔμφασιν καὶ ἑτέρου παρέχει, ποῦ μὲν ἡμίσεος, ποῦ δὲ τρίτου.

Ἡ δὲ μουσικὴ περὶ τὸν ἐν σχέσει ἀριθμὸν καταγίνεται, ζητοῦσα ποῖον λόγον ἔχει ἡ ἀπήχησις τῆσδε τῆς χορδῆς πρὸς τήνδε· ἄρα διπλάσιον, πολλαπλάσιον, ἡμιόλιον; διὸ καὶ ἀποροῦσιν ὅτι εἰ ἡ μουσικὴ περὶ συμμετρία, φθόγγων καταγίνεται καὶ ἀσυμμετρίαν, πῶς περὶ τὰς σχέσεις τῶν ἀριθμῶν λέγουσιν αὐτὴν καταγίνεσθαι; καὶ λέγομεν ὅτι μή ποτε τῆς κατὰ Πυθαγόραν μουσικῆς ταῦτα εἴρηται, ὡς ἀϋλοτέρας οὔσης, ἥτις οὐ προσποιεῖται ὕλην ἢ φθόγγους, ἀλλ' αὐτὰς τὰς σχέσεις τῶν ἀριθμῶν θεωρεῖ καταμόνας. φασὶ γὰρ αὐτόν ποτε παριόντα διὰ χαλκείου, ἀκοῦσαι μέλους τινὸς καὶ ἁρμονίας, ἐκ τῶν πληγῶν τῶν σφυρῶν ἀποτελουμένου· καὶ ἐπέτρεψεν αὐτοῖς ἀλλάξαι τοὺς ἄκμονας. τοῦ δὲ μέλους οὐδὲν ἧττον τοῦ αὐτοῦ φυλαχθέντος, ἐπέτρεψε πάλιν αὐτοῖς τὰς σφύρας ἀλλάξαι. τοῦ δὲ μέλους ἐπὶ τούτοις φθαρέντος, ἐστάθμησε καὶ τὰς πρώτας σφύρας καὶ τὰς δευτέρας, ποῖον λόγον ἔσχον πρὸς ἀλλήλας καὶ τὰ μέλη· καὶ ὡς ἁρμονικὸν λόγον ἀπεγράψατο τοὺς λόγους, αὐτοὺς καθ' αὑτοὺς συγκρίνας χωρὶς τῆς ὕλης· ὡς εἴγε συνέβη τοιαύτην ἀναλογίαν ἀριθμῶν ἐν ὀξυβάφοις ἢ αὐλοῖς εἶναι, τὸ αὐτὸ ἂν μέλος ἀπετελεῖτο.

Ἡ δὲ γεωμετρία περὶ ἀκίνητον μέγεθος καταγίνεται καὶ περὶ τὰ σχήματα τῆς γῆς. ἡ δὲ ἀστρονομία περὶ κινούμενον μέγεθος. οὐ μόνον δὲ κινούμενον, ἀλλ' ἀεικίνητον. φαντασίας γὰρ μόνης ἐστιν ἡ δοκοῦσα αὐτῶν εἶναι στάσις. εὗρον δὲ καὶ τὴν μὲν ἀριθμητικὴν Φοίνικες, ἐμπορικώτατοι γὰρ ὄντες, ἐδεήθησαν ψήφων· τὴν δὲ μουσικὴν εὗρον οἱ Θρᾶκες, ὡς ἄγαν πολεμικοὶ ὄντες. ἡ γὰρ ψύξις ἀποκλείουσα τὸ θερμὸν ἐν τῷ βάθει, δριμύτερον αὐτὸ ποιεῖ. ὅθεν καὶ θυμώδεις εἰσὶ καὶ πολεμικοὶ τῇ βίᾳ τοῦ θερμοῦ, καὶ ὀρχηστικοὶ δὲ διὰ τὰς ἑτοίμους ἐπιβουλὰς τῶν βελῶν. ἔστι γὰρ καὶ πυρίχιος παρ' αὐτοῖς ὄρχησις, ὅτι ἔνοπλος κατὰ τὸ εἰρημένον τῷ ποιητῇ Μηριόνι,

τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα.

ἀλλὰ καὶ ἐμβατήρια μέλη ἐστὶ παρ' αὐτοῖς. τὴν δὲ γεωμετρίαν εὗρον Αἰγύπτιοι, ὡς καὶ ἀνωτέρω εἴρηται διὰ τὸ ἀνιόντα τὸν Νεῖλον συγχεῖν τὰ ὁροθέσια αὐτῶν. τὴν δὲ ἀστρονομίαν εὗρον Χαλδαῖοι, ὡς καθαρὸν οἰκοῦντες ἀέρα. ἀνατολικοὶ γὰρ ὄντες τῇ θερμότητι τοῦ ἡλίου ἔχουσι λεπτυνομένην ἑτοίμως τὴν ἀτμίδα. τρί-

του γὰρ κλίματος Ἀλεξάνδρεια, Ἀφρικὴ, καὶ Περσίς. ἐφ' οἷς τούτων λεχθέντων, εἴπωμεν τὴν τάξιν αὐτῶν.

Πρότεραι τοίνυν αἱ περὶ ἀριθμῶν τῶν περὶ μέγεθος καταγινομένων εἰσίν. αὐλότερος γὰρ ὁ ἀριθμὸς τοῦ μεγέθους, ὡς δυνάμενος διάφορα εἴδη σχημάτων δέξασθαι ἀσυγχύτως. ὁ γὰρ αὐτὸς ἀριθμὸς δύναται κύκλος ἅμα καὶ τετράγωνος γενέσθαι. κύκλος δέ ἐστιν ὁ νόμῳ κύκλου ἀπὸ τοῦ αὐτοῦ ἀρχόμενος καὶ εἰς τὸ αὐτὸ λήγων, οἷον ὁ τετράκις ἓξ εἴκοσι τέσσαρες. τετράγωνος δὲ ὁ ἑαυτὸν πολυπλασιάζων, οἷον ὁ τετράκις τέσσαρα, δεκαέξ. ἐξ ἀριθμοῦ γὰρ ἑαυτὸν πολυπλασιάσαντος ἐγένετο. κύκλος δὲ ἅμα καὶ τετράγωνος ὁ ἐξ ἀριθμοῦ ἑαυτὸν πολυπλασιάσαντος γενόμενος, καὶ ἀπὸ τοῦ αὐτοῦ ἀρξάμενος καὶ εἰς τὸ αὐτὸ λήγων, οἷον ὁ ἑξάκις ἓξ, τριακονταὲξ, καὶ ὁ πεντάκις πέντε εἰκοσιπέντε· ἰδοὺ γὰρ ἀπὸ τοῦ αὐτοῦ ἄρχεται, καὶ εἰς τὸ αὐτὸ λήγει. καὶ ἐξ ἀριθμοῦ πολυπλασιάσαντος ἑαυτὸν ἐγένετο. καὶ πολὺ μὲν κύκλοι καὶ τετράγωνοι. κύκλος δὲ ἅμα καὶ τετράγωνος ὁ εἰκοσιπέντε, καὶ ὁ τριακονταὲξ, καὶ πλὴν τούτων τῶν δύο, οὐκ ἔστιν ἄλλος. ἐπὶ τῶν μεγεθῶν τοῦτο οὐκ ἔστι· τὸ γὰρ φθάσαν μέγεθος σχηματισθῆναι οὐκ ἐπιδέχεται ἕτερον σχῆμα ἀσυγχύτως ὡς ἐνυλότερον. οὕτως καὶ δεικνύουσιν οἱ φιλόσοφοι ὅτι ἡ φαντασία ἀσώματος, ὡς πλείονας τύπους δεχομένη ἀσυγχύτως· αὔλου γὰρ τοῦτο.

Προτέρα δὲ ἡ ἀριθμητικὴ τῆς μουσικῆς. ἐπειδὴ ἡ μὲν ἀριθμητικὴ περὶ τὸν καθ' αὑτὸ ἀριθμὸν καταγίνεται, ἡ δὲ μουσικὴ περὶ τὸν ἐν σχέσει, προηγεῖται τὰ καθ' αὑτὸ τῶν ἐν σχέσει. εἴγε πρῶτον γίνεταί τις ἄνθρωπος, εἶθ' οὕτως πατήρ. ἐν δὲ ταῖς περὶ μέγεθος καταγινομέναις, προτέρα ἡ γεωμετρία τῆς ἀστρονομίας· ὅτι ἡ μὲν γεωμετρία περὶ ἀκίνητον καὶ μένον ποσὸν καταγίνεται, ἡ δὲ ἀστρονομία περὶ κινούμενον. οὐ δεῖται δὲ ἡ μονὴ τῆς κινήσεως, ἀλλ' ἡ κίνησις τῆς μονῆς. διότι οὐ δυνατὸν κινεῖσθαί τι ἄνευ μονῆς. οὐδὲ βαδίζειν τίς δύναται ἐν τοῖς ψαμμώδεσι τόποις, μὴ ἔχοντος τοῦ ποδὸς ποῦ μένειν καὶ ἐπερείδεσθαι. πᾶσα γὰρ κίνησις περί τι μένον καὶ ἀκίνητον καταγίνεται. καὶ τὸ οὐράνιον φασὶ σῶμα περὶ μένον κινεῖσθαι, φημὶ δὴ τὴν γῆν, ἥτις τῇ οἰκείᾳ φύσει ἀκίνητός ἐστιν.

Ἀποροῦσι δέ τινες ὅτι εἰ πάντα τὰ μαθήματα δεῖται τῆς τῶν

μουσῶν ἐπινοίας, διατί μία μόνη λέγεται μουσική; πρὸς ὃ φαμεν ὅτι ταύτης μόνης ἔργον πάθη ψυχῆς ἰᾶσθαι καὶ σώματος· διὸ καὶ ἡ φιλοσοφία μεγίστη μουσικὴ, ὡς πάθη ψυχῆς ἰωμένη, ὅθεν καὶ ἰατρικὴ ψυχῶν λέγεται. ὅτι δὲ ἰᾶται ψυχῶν πάθη ἡ μουσικὴ, φασὶ ποτὲ τὸν Πυθαγόραν θεασάμενον παιδάριον ἑπόμενον κόρῃ αὐλούσῃ, ἐπιτρέψαι αὐτῇ στρέψαι τοὺς αὐλοὺς, καὶ τοῦ μέλους διαφθαρέντος, ἔπαυσεν αὐτὸν τοῦ ἐρᾷν. ἀλλὰ καὶ μέχρι τὴν σήμερον ἔχομεν ἐνάσματα[h] μουσικά· ἀκούσαντες γὰρ θεατρικῶν μελῶν ἐκνενευρισμένοι γινόμεθα καὶ ἔκλυτοι· πολεμικῶν δὲ τοὐναντίον. καὶ τὰ βοσκήματα τῇ τοιᾷδε σύριγγι πείθεται εἰς νομὴν ἐξιόντα. καὶ σάλπιγξ[i] ἐν πολέμῳ τοὺς ἵππους παρορμᾷ καὶ διεγείρει. ἀλλὰ καὶ τὸν Ἀγαμέμνονα φασὶ μέλλοντα ἐπιστρατεύειν τῇ Τροίᾳ, μὴ πρότερον ἐξορμῆσαι, πρὶν ἀοιδόν τινα καταλιπεῖν φύλακα τῆς σωφροσύνης τῆς ἰδίας γυναικὸς Κλυταιμνήστρας. ὅθεν ὁ Αἴγισθος ἐθέλων ἐθελούσῃ οὐκ ἠδυνήθη αὐτῇ συγγενέσθαι, πρὶν τὸν ἀοιδὸν διέφθειρεν ἔν τινι νήσῳ ἐρήμῃ καλουμένῃ· καὶ τότε αὐτὴν ἀνήγαγεν εἰς τὸν ἑαυτοῦ οἶκον, ὡς δηλοῖ τὰ Ὁμηρικὰ ἔπη. καὶ Συνέσιος δὲ ὁ φιλόσοφος ὁ γενόμενος ὕστερον Κυρήνης ἐπίσκοπος, βαρβάρων ἐπιστάντων τῇ Κυρήνῃ, διά τινων μελῶν ἔτρεψε τούτους, καὶ φεύγοντες ἔκοπτον ἀλλήλους, μηδενὸς διώκοντος.

ΠΡΑΞΙΣ ΙΒ.

Λεκτέον τὴν διαίρεσιν τοῦ πρακτικοῦ, τοῦτο γὰρ μόνον λείπει τῇ διαιρέσει. διαιρεῖ τοίνυν τοῦτο ὁ Ἀριστοτέλης εἰς τρία, εἰς ἠθικὸν, οἰκονομικὸν, πολιτικόν. ὁ γὰρ προαιρετικὸς φιλόσοφος ἀνθρωπείας ψυχὰς κοσμεῖν ἐπαγγελλόμενος, ἢ ἀφ' ἑαυτοῦ ἄρχεται τοῦ κόσμου, καὶ λέγεται ἠθικός· γελοῖος γὰρ εἴη, εἰ ἄλλους ἐπαγγέλοιτο κοσμεῖν, αὐτὸς ἄκοσμος ὤν. ἢ ὀλίγους κοσμεῖ, καὶ λέγεται οἰκονομικός. ἢ πολλοὺς, καὶ λέγεται πολιτικός.

Ἐγκαλοῦσι δὲ οἱ Πλατωνικοὶ τῇ τοιαύτῃ διαιρέσει δ ἐγκλήματα. πρῶτον ὅτι ἐν οὐδεμιᾷ διαιρέσει τὸ γένος ἑνὶ εἴδει ἑαυτοῦ πάντῃ ταυτόν ἐστι· οἷον τὸ ζῶον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον, καὶ οὐ πάντῃ ταυτόν ἐστι τὸ ζῶον τῷ λογικῷ, ἐπεὶ πῶς ἑαυτὸ τῷ ἀλόγῳ παράσχοι; ἐνταῦθα δὲ ταυτὸν τὸ πρακτικὸν τῷ πολιτικῷ.

[h] ἐνέσματα (αι superscript) Cod. [i] σάλπι Cod.

καὶ ὁ πρακτικὸς γὰρ ἢ ἕνα κοσμεῖ, ἢ ὀλίγους, ἢ πολλούς· καὶ ὁ πολιτικὸς ὁμοίως ἢ ἕνα ἢ ὀλίγους ἢ πολλοὺς κοσμεῖ. δεύτερον ἔγκλημα ὅτι ἐν οὐδεμιᾷ διαιρέσει τὰ εἴδη περιέχει ἄλληλα. αἱ γὰρ διαιρέσεις διακρίσεως χάριν ἐπενοήθησαν. ἐπὰν οὖν τὸ ἕτερον ὑπὸ τοῦ ἑτέρου περιέχεται, οὐκ ἔστι διαίρεσις· οἷον οὐδεὶς διαιρεῖ τὸν Σωκράτην εἰς χεῖρα καὶ δακτύλους, περιέχει γὰρ ἡ χεὶρ τοὺς δακτύλους. πάλιν οὐδεὶς διαιρεῖ τὸ ζῷον εἰς ἄνθρωπον καὶ Σωκράτην, ἀλλὰ διαιρεῖ τὸ ζῷον εἰς ἄνθρωπον καὶ βοῦν, καὶ τὸν ἄνθρωπον εἰς χεῖρας καὶ πόδας, ἃ οὐ περιέχουσιν ἄλληλα τὰ εἴδη· τὸ γὰρ ἠθικὸν περιέχεται ὑπὸ τοῦ οἰκονομικοῦ, καὶ τὸ οἰκονομικὸν ὑπὸ τοῦ πολιτικοῦ· ἐπειδὴ καὶ τὸ ἓν ὑπὸ τῶν ὀλίγων περιέχεται, καὶ ὀλίγα ὑπὸ τῶν πολλῶν· καὶ εἴπερ πᾶσα ἡ πόλις κεκόσμηται, δῆλον ὅτι καὶ οἱ ἐν τῷ οἴκῳ. καὶ εἰ οἱ ἐν τῷ οἴκῳ, δῆλον ὅτι καὶ ὁ καθ' ἕκαστος τῶν ἐν τῷ οἴκῳ. τρίτον ἔγκλημα ὅτι οὐκ ἀεὶ ὁ ὀλίγους κοσμῶν λέγεται οἰκονομικὸς, ὁ δὲ πολλοὺς πολιτικός· τί γὰρ ποιεῖ ἐπὶ τῶν οἴκων τῶν ἐχόντων πλείονας ἀνθρώπους τινῶν πόλεων; ἔσται γὰρ τότε τὸ οἰκονομικὸν, πολιτικόν· καὶ τὸ πολιτικὸν, οἰκονομικόν. τέταρτον ἔγκλημα ὅτι εἰ δῶμεν ἀπὸ τοῦ ποσοῦ τῶν ὠφελουμένων τὰς ἕξεις διαιρεῖσθαι, τὸ ἢ ἕνα ὠφελεῖν, ἢ ὀλίγους, ἢ πολλοὺς, λήσομεν οὕτως πᾶσαν τέχνην καὶ ἐπιστήμην διαιροῦντες. πᾶσα γὰρ τέχνη καὶ ἐπιστήμη σκοπὸν ἔχει, ἢ ἕνα ὠφελεῖν ἢ ὀλίγους ἢ πολλούς.

Ταύτην τὴν διαίρεσιν ὡς κακῶς ἔχουσαν ἀποσεισάμενοι οἱ Πλατωνικοὶ, λέγουσιν ἑτέραν διαίρεσιν. διαιροῦσι τοίνυν τὸ πρακτικὸν εἰς δύο, εἰς νομοθετικὸν, καὶ δικαστικόν. διότι ὁ πρακτικὸς φιλόσοφος, ἠθῶν ὢν ἐπανορθωτὴς, καὶ νόμους τίθησι καθ' οὓς δεῖ ζῆν τοὺς εὖ βιώσοντας, καὶ ἐπιτίμια ὁρίζει. οἷς δεῖ ὑποπίπτειν τοὺς μὴ ἐμμείναντας τοῖς προεκτεθεῖσι νόμοις. ἀλλὰ πόθεν ὅτι Ἀριστοτέλους ἡ εἰς τρία διαίρεσις; πόθεν δὲ ὅτι Πλάτωνος ἡ εἰς δύο; πόθεν δὲ ὅτι οὐ προσίεται ὁ Πλάτων τὴν εἰς τρία τοῦ Ἀριστοτέλους διαίρεσιν; Ἀριστοτέλους τοίνυν ἡ εἰς τρία διαίρεσις, διὰ τὰς γεγραμμένας αὐτῷ τοιαύτας πραγματείας. διὰ μὲν γὰρ τὸ ἠθικὸν, γεγραμμένα αὐτῷ εἰσὶ τὰ ἠθικὰ πρὸς Εὔδημον μαθητὴν, καὶ ἄλλα πρὸς Νικόμαχον τὸν πατέρα, τὰ μεγάλα Νικομάχεια, καὶ πρὸς Νικόμαχον τὸν υἱὸν, τὰ μικρὰ Νικομάχεια. διὰ δὲ τὸ οἰκονομικὸν, γέγραπται αὐτῷ ὁ Οἰκονομικὸς τὸ σύνταγμα.

ἐν ᾧ φησιν ἐκ τεσσάρων σχέσεων συγκεκροτῆσθαι τὸν οἶκον. πατρὸς πρὸς τέκνα, ἀνδρὸς πρὸς γυναῖκα, δεσπότου πρὸς δούλους, εἰσιόντων πρὸς ἐξιόντα· ἵνα μήτε πλείονα τὰ εἰσιόντα τῶν ἐξιόντων, φειδωλία γὰρ τοῦτο καὶ ἀνελευθερία, μήτε πλείονα τὰ ἐξιόντα τῶν εἰσιόντων, ἀσωτία γὰρ τοῦτο, ἀλλ' ἐπίσης. διὰ δὲ τὸ πολιτικὸν γέγραπται αὐτῷ ὁ Πολιτικός. γεγραμμέναι δὲ αὐτῷ εἰσὶ καὶ πολιτεῖαι διακόσιαι πεντήκοντα τὸν ἀριθμὸν, ἃς συνεγράψατο ἐκ τοῦ πολλὴν γῆν συμπεριελθεῖν Ἀλεξάνδρῳ τῷ βασιλεῖ.

Ἀλλὰ καὶ Πλάτωνος ἡ εἰς δύο διαίρεσις, διὰ μὲν γὰρ τὸ νομοθετικὸν γεγραμμένοι εἰσὶν αὐτῷ νόμοι ἐν δεκαδύο διαλόγοις. διὰ δὲ τὸ δικαστικὸν γεγραμμέναι εἰσὶν αὐτῷ, τρεῖς νεκυΐαι· ἡ ἐν Γοργίᾳ, ἐκεῖ γὰρ διαλέγεται περὶ τῶν δικαστῶν, Μίνωος καὶ Ῥαδαμάνθυος καὶ Αἰακοῦ· καὶ ἡ ἐν Φαίδωνι, ἐκεῖ γὰρ λέγει περὶ τῶν δικαστικῶν τόπων, Κωκυτοῦ, Ταρτάρου, Πυριφλεγέθοντος, καὶ Ἀχέροντος· καὶ ἡ ἐν τῷ δεκάτῳ τῆς Πολιτείας, ἐκεῖ γὰρ διαλέγεται περὶ τῶν δικαζομένων ψυχῶν· εἰσάγει γὰρ ἐκεῖ ἥρωα τινὰ πολλὰ πλημμελήσαντα, καὶ δίκας διδόντα τῶν πραχθέντων αὐτῷ. ἀλλὰ πόθεν ὅτι οὐ προσίεται ὁ Πλάτων τὴν εἰς τρία διὰ τοῦ Ἀριστοτέλους διαίρεσιν; τοῦτο οὖν δείκνυμεν ἐκ διαφόρων. ἐν μὲν γὰρ τῷ Γοργίᾳ λέγει, "ἥπερ πόλει καὶ ἰδιώτῃ, αὐτοῦ πρὸς ἑαυτὸν "καὶ πρὸς ἑτέρους," ἀντὶ τοῦ μία ἕξις ἠθικὴ, οἰκονομικὴ, πολιτική. διὰ μὲν γὰρ τοῦ εἰπεῖν, "ἥπερ πόλει," τὸ πολιτικὸν ἐσήμανεν· διὰ δὲ τοῦ εἰπεῖν, "αὐτοῦ πρὸς ἑαυτὸν," τὸ ἠθικόν· διὰ δὲ τοῦ εἰπεῖν "καὶ πρὸς ἑτέρους," τὸ οἰκονομικόν. βούλεται οὖν δεῖξαι ὅτι ἐὰν ἡ πόλις πᾶσα κακῶς βιοῖ, τουτέστι τὸ πολιτικὸν, καὶ ὁ ἰδιώτης κακῶς βιώσει, τουτέστι τὸ ἠθικόν· καὶ διὰ τοῦτο εἴρηκε τὸ "ἥπερ πόλει "καὶ ἰδιώτῃ." τὸ δὲ "αὐτοῦ πρὸς ἑαυτὸν καὶ πρὸς ἑτέρους," δηλοῖ τοὺς ὀλίγους· ταυτὸν δὲ λέγειν τὸ οἰκονομικόν. ἐν δὲ τῷ Ἀλκιβιάδῃ φησιν, "ὅτι ὁ ἕνα πείθων, καὶ ὀλίγους καὶ πολλοὺς πείθει· καὶ τοῦ "αὐτοῦ ἕνα πείθειν καὶ πολλούς." ἀλλ' οὐκ ἀνάγκη φησί τις τὸν πείθοντα πολλοὺς, καὶ ἕνα πείθειν, ἐὰν ᾖ ἰδιώτης ὁ εἷς. καὶ λέγομεν ὅτι ἐάν ἐστι τοιοῦτος οἷον οἱ πολλοὶ, τότε πείθεται. καὶ πάλιν ἐν ἄλλῳ λόγῳ φησὶν ὁ Πλάτων "ὅτι οὐδὲν διαφέρει ἡ ἐν μιᾷ πόλει "δικαιοσύνη τῆς ἐν μιᾷ ψυχῇ, εἰ μὴ ὃ διαφέρει τὰ μικρὰ γράμ-"ματα τῶν μεγάλων." καὶ ταῦτα μὲν περὶ τούτων.

Φέρε δὲ ἡμεῖς εἴπομεν ὑπὲρ Ἀριστοτέλους ὅτι κἂν συνεγράψατο ἠθικὰ ἢ πολιτικά, οὐ διαιρεῖ εἰς ταῦτα τὸ πρακτικόν· ἀλλ' οἶδεν ὅτι νομοθετικὸν καὶ δικαστικὸν διήκει δι' αὐτῶν, ἐπεὶ τοῖς αὐτοῖς ἀτόποις περιπεσοῦνται καὶ οἱ γραμματιασταί. ἐπειδὴ γὰρ διαλέγονται περὶ γραμμάτων, συλλαβῶν καὶ λέξεων, μὴ νομίσῃς ὅτι εἰς τρία τὸ ἐκφωνούμενον διαιροῦσιν, αὐτὸ τοῦτο τί ἐστι διαίρεσις μὴ ἐπιστάμενοι. ἐπίσταται δὲ καὶ τὴν εἰς τὸ νομοθετικὸν καὶ δικαστικὸν διαίρεσιν ὁ Ἀριστοτέλης, εἴπερ ἐστὶ καὶ ἑαυτῷ νομοθετεῖν καὶ δικάζειν· νομοθετεῖν μέν, ὡς ἡνίκα ἐπᾴδομεν ἑαυτοῖς τὰ τῷ ὄντι χρυσᾶ ἔπη Πυθαγόρου· τὸ

πάντων δὲ μάλιστα
αἰσχύνεο σαυτόν,

τοῦτο γὰρ νόμος καὶ κρηπὶς ἀσφαλὴς ἀρίστου βίου. ὁ γὰρ διὰ τὴν πρὸς ἄλλον αἰδῶ τῶν ἀνηκέστων φειδόμενος, λήσας ἐκεῖνον, ἴσως μειζόνως ταῦτα διαπράξεται. ὁ δὲ διὰ τὴν πρὸς ἑαυτὸν αἰδῶ τούτων φειδόμενος, οὐδέποτε πράξει κακόν, ἀναπόστατον αὐτὸν ἑαυτοῦ περιφέρων μάρτυρα. καὶ δικάζειν δέ ἐστιν, ὡς ἡνίκα πάλιν ἐπᾴδωμεν ἑαυτοῖς τὰ αὐτὰ χρυσᾶ ἔπη·

μηδὲ ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων, τρὶς ἕκαστον ἐπελθεῖν,
πῇ παρέβην, τί δ' ἔρεξα, τί μοι δέον οὐκ ἐτελέσθη,
αἰσχρὰ μὲν ἔπρηξας, ἐπιπλήσσεο, ἐσθλὰ δέ, τέρπου.

ἀλλὰ καὶ οἴκῳ ἐστὶ νομοθετεῖν καὶ δικάζειν. νομοθέτης γὰρ καὶ δικαστὴς ὁ κύριος τῆς οἰκίας, τοὺς μὲν πειθομένους τοῖς αὐτοῦ λόγοις ἐκτρέφων, τοὺς δὲ μὴ πειθομένους ἐκβάλλων. ἀλλὰ καὶ πόλει ἐστὶ νομοθετεῖν καὶ δικάζειν. ποῦ γὰρ οἰκειότερον ταῦτα πραχθείη, ἢ ἐν πόλει;

Διαιρεῖται ἡ φιλοσοφία εἰς δύο

εἰς θεωρητικὸν καὶ πρακτικόν.

κατὰ Ἀριστοτέλην.

φυσικόν. μαθηματικόν. θεολογικόν. ἠθικόν. οἰκονομικόν. πολιτικόν.

ἀριθμητικήν. μουσικήν. γεωμετρίαν. ἀστρονομίαν. νομοθετικόν. δικαστικόν.

Προλεγόμενα τῆς εἰσαγωγῆς Πορφυρίου.

Πρᾶξις ιγ.

Ἐπειδὴ ὅλην ὡς ὅλην ἔγνωμεν τὴν φιλοσοφίαν διὰ τῶν ἐξ ὁρισμῶν, καὶ ὡς μέρη ἔχουσαν αὐτὴν διὰ τῶν διαιρέσεων, φέρε καὶ τοῦ παρόντος βιβλίου φροντίδα ποιησώμεθα, τὰ εἰωθότα ὀκτὼ τὸν ἀριθμὸν ὄντα, τὸν σκοπὸν, τὸ χρήσιμον, τὴν τάξιν, τὴν ἐπιγραφὴν, τὸ γνήσιον, τὴν εἰς τὰ κεφάλαια τοῦ βιβλίου διαίρεσιν, τὸν τρόπον τὸν διδασκαλικὸν, καὶ ὑπὸ ποῖον μέρος ἢ μόριον τῆς φιλοσοφίας ἀνάγεται τὸ βιβλίον, ἃ καὶ κεφάλαια εἴρηται, ὡς ἐκ μεταφορᾶς τῆς ἐν τοῖς ζώοις κεφαλῆς· ὥσπερ γὰρ ἐκείνη ἐν βραχεῖ τὴν δύναμιν πᾶσαν τοῦ ζώου περιέχει, οἰκητήριον οὖσα τῶν ε αἰσθήσεων, οὕτως καὶ ταῦτα ἐν βραχεῖ τὸ βούλημα παριστῶσι τῶν λεγομένων· διὸ καὶ παρὰ τοῖς ῥήτορσι τὸ ὡς ἐν κεφαλαίῳ εἴρηται, ἀντὶ τοῦ ἐν βραχεῖ πολλὰ περιλαβεῖν.

Σκοπὸν τοίνυν ἔχει ὁ Πορφύριος ἐνταῦθα πάσας τὰς κατὰ φιλοσοφίαν φωνὰς ὑπὸ πέντε ἀρχὰς καὶ κοινότητας ἀναγαγεῖν, καὶ δεῖξαι ὅτι πᾶσα φιλόσοφος φωνὴ, ἢ γένος ἐστὶν, ἢ διαφορὰ, ἢ εἶδος, ἢ ἴδιον, ἢ συμβεβηκὸς, καὶ ἕκτη παρὰ ταύτας οὐδὲ ἐπινοηθῆναι δύναται. τοῦτο δὲ καὶ ἐκ διαιρέσεως δείκνυσιν, ἣν αἰνίττεται ἐν τῷ περὶ γένους λόγῳ· ἔχει δὲ οὕτως. ἡ φωνὴ ἢ σημαντική ἐστιν ἢ ἄσημος. ἀλλ᾽ αἱ μὲν ἄσημοι χαιρέτωσαν, γραμματικοῖς αὗται μελήσουσιν, παρ᾽ οἷς οὐδὲν διαφέρει τὸ Ὅμηρος τοῦ σκινδαψὸς, σκινδαψοῦ. φιλοσόφοις δὲ, οἷς σημαινομένων καὶ μόνον ἐστὶ φροντὶς, πολλὴν διαφορὰν εἰσάγει τὸ σημαίνειν ἢ μὴ σημαίνειν. εἰ γὰρ μὴ σημαίνει, οὐδὲ διαλέγονται περὶ αὐτῶν. εἰ γὰρ ἦν τὰ πράγματα διδάξαι χωρὶς φωνῶν, οὐκ ἄν ποτε φωναῖς ἐχρήσαντο· ἀλλ᾽ ἐπειδὴ τοῦτο ἀδύνατον, χωρὶς γὰρ φωνῶν οὐ διδάσκεται πρᾶγμα, ἐξ ἀνάγκης διαλέγονται καὶ περὶ φωνῶν· τῶν δὲ σημαντικῶν αἱ μὲν καθόλου, αἱ δὲ μερικαὶ, ἀλλὰ καὶ αἱ μερικαὶ μετὰ τῶν ἀσήμων ἐκβαλέσθωσαν. ποιηταῖς γὰρ αὗται μελήσουσι καὶ ῥήτορσι· τοῖς μὲν διὰ τὰς ἱστορίας, τοῖς δὲ διὰ τὸν φεύγοντα καὶ τὸν διώκοντα. τῶν δὲ καθόλου αἱ μὲν οὐσιώδεις εἰσὶν, αἱ δὲ ἐπεισοδιώδεις[k]. ἐκεῖνα δὲ λέγεται οὐσιώδη ὅσα καὶ

[k] Leg. ἐπουσιώδεις.

πάροντα σώζουσι, καὶ ἀπόντα φθείρουσιν, οἷον τὸ λογικὸν τῷ ἀνθρώπῳ οὐσιωδῶς ὑπάρχει, καὶ παρὸν γὰρ σώζει αὐτὸν, καὶ ἀπὸν φθείρει. ὁμοίως καὶ ἡ θερμότης τῷ πυρὶ, καὶ ἡ ψυχρότης τῇ χιόνι. ἐπεισοδιώδη[l] δὲ λέγεται ὅσα τοὐναντίον μήτε παρόντα σώζει, μήτε ἀπόντα φθείρει. τὸ γὰρ λευκὸν τῷ ἀνθρώπῳ ἐπεισοδιωδῶς[m] ὑπάρχει, οὔτε γὰρ παρὸν σώζει αὐτὸν, οὔτε ἀπὸν φθείρει. τὰ μὲν οὖν οὐσιώδη ἢ ὕπαρξιν δηλοῦσιν ἢ τρόπον ὑπάρξεως. καὶ εἰ μὲν τρόπον ὑπάρξεως, ποιεῖ τὴν διαφοράν. οἷον τὸ λογικὸν, τοῦτο γὰρ τοιόνδε ποιεῖ τὸ ζῶον· εἰ δὲ ὕπαρξιν δῆλοι, ἢ εὐθέως εἰς τὰ ἄτομα διαιρεῖται, Σωκράτην φημὶ καὶ Πλάτωνα καὶ Ἀλκιβιάδην, καὶ λέγεται τὸ διαιρούμενον εἶδος· ἢ πρῶτον εἰς τὰ εἴδη διαιρεῖται, εἶτα διὰ τῶν εἰδῶν εἰς τὰ ἄτομα, καὶ λέγεται γένος τὸ διαιρούμενον.

Τὰ δὲ ἐπεισοδιώδη[n], ἢ μίᾳ μόνῃ φύσει ὑπάρχουσιν καὶ λέγονται ἴδια, ὡς τὸ γελαστικὸν τῷ ἀνθρώπῳ, τὸ χρεμετιστικὸν τῷ ἵππῳ, τὸ ὑλακτικὸν τῷ κυνί· ἢ πολλαῖς, καὶ λέγονται συμβεβηκότα, ὡς τὸ λευκὸν οὐ μόνον ἀνθρώπῳ ὑπάρχει, ἀλλὰ καὶ ἵππῳ καὶ βοῒ καὶ ἀψύχοις. ἢ καὶ ἄλλως. πᾶσα φωνὴ ἢ σημαντικὴ ἢ ἄσημος· καὶ εἰ μὲν σημαντικὴ, ἢ καθόλου ἢ μερική. τῆς δὲ καθόλου, τὰ μὲν οὐσιώδη, τὰ δὲ ἐπεισοδιώδη[o]. τὰ μὲν οὖν οὐσιώδη, ἢ κατὰ διαφερόντων τῷ εἴδει ἢ καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται, καὶ ποιεῖ τὸ γένος· ἢ ἐν τῷ ποῖον τί ἐστι, καὶ ποιεῖ τὴν διαφοράν. ἢ κατὰ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορεῖται, καὶ ποιεῖ τὸ εἶδος· τὰ δὲ ἐπεισοδιώδη[p], ἢ ἀντιστρέφει, καὶ ποιεῖ τὸ ἴδιον, ὡς τὸ γελαστικόν. πᾶν γὰρ γελαστικὸν, ἄνθρωπος· καὶ πᾶς ἄνθρωπος, γελαστικόν. ἢ οὐκ ἀντιστρέφει, καὶ ποιεῖ τὸ συμβεβηκὸς, οἷον τὸ λευκὸν, οὐδὲ γὰρ ἀντιστρέφει, τὸ λευκὸν πρὸς τὸν ἄνθρωπον· οὐδὲ γὰρ εἴτι λευκὸν, ἐκεῖνο καὶ ἄνθρωπος. οὐδὲ εἴτι ἄνθρωπος τοῦτο λευκόν. ὁ γὰρ Αἰθίοψ, ἄνθρωπός ἐστι καὶ οὐ λευκόν.

[l] Leg. ἐπουσιώδη. [m] Leg. ἐποισιωδῶς. [n] Leg. ἐπουσιώδη.
[o] Leg. ἐπουσιώδη. [p] Leg. ἐπουσιώδη.

Πᾶσα φωνή.

ἢ σημαντικὴ	ἢ ἄσημος
ἢ καθόλου	ἢ μερικὴ
ἢ οὐσιώδης	ἢ ἐπεισοδιώδης [q]
ἢ ὕπαρξιν δηλοῖ	ἢ τρόπον ὑπάρξεως διαφόρου
ἢ μία φύσις ὑπὸ ἴδιον	ἢ πολλαῖς συμβεβηκὸς
ἢ εὐθὺς εἰς ἄτομα διαιρεῖται εἶδος	ἢ πρῶτον εἰς τὰ εἴδη· εἶτα διὰ τῶν εἰδῶν εἰς τὰ ἄτομα γένος.
ἢ σημαντικὴ	ἢ ἄσημος
ἢ καθόλου	ἢ μερικὴ
ἢ οὐσιώδης	ἢ ἐπεισοδιώδης [r]
ἢ κατὰ διαφερόντων τῷ εἴδει	ἢ κατὰ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορεῖται καὶ ποιεῖ τὸ εἶδος
ἢ ἀντιστρέφει καὶ ποιεῖ τὸ ἴδιον	ἢ οὐκ ἀντιστρέφει καὶ ποιεῖ τὸ συμβεβηκός.
ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται καὶ ποιεῖ τὸ εἶδος	ἢ ἐν τῷ ποῖον τί ἐστι καὶ ποιεῖ τὴν διαφοράν.

Γένος. Πρᾶξις ΙΔ.

Μετὰ τὸ πρῶτον κεφάλαιον εἴπομεν καὶ τὸ δεύτερον, φημὶ τὸ χρήσιμον. χρησιμεύει τοίνυν τὸ παρὸν βιβλίον, εἰς τὴν ἡμῶν αὐτῶν οὐσίαν, εἰς πᾶσαν φιλοσοφίαν, εἰς τὰς διαλεκτικὰς μεθόδους, εἰς τὰς Ἀριστοτέλους καὶ τὰς ἄλλας κατηγορίας. οὗτοι γὰρ κατὰ ζῆλον τοῦ οἰκείου διδασκάλου ὁμώνυμα συγγράμματα τούτῳ κατέ-

[q] Leg ἐπουσιώδης. [r] Leg ἐπουσιώδης.

λιπον. χρησιμεύει οὖν ἡμῖν εἰς τὴν ἡμῶν αὐτῶν οὐσίαν, ἐπειδὴ κοινωνικὸν ζῶον ὁ ἄνθρωπος· ἀμέλει καὶ ἐν ταῖς ἠρεμίαις ἀσχάλλομεν, ὡς παρὰ φύσιν ζῶντες, καὶ μὴ ἔχοντες ὅτῳ κοινωνήσομεν. κοινωνοῦμεν δὲ ἀλλήλοις διὰ φωνῶν· ὅθεν καὶ φωνὴ εἴρηται ὡς εἰς φῶς ἄγουσα τὰ τοῦ νοῦ γεννήματα· διὸ καὶ φῶς μόνος ὁ ἄνθρωπος λέγεται, ὡς πολὺ τὸ φωτιστικὸν ἔχων καὶ ἐξαγγελτικόν. οὗτος γὰρ καὶ τὰ γνωστικὰ ἑαυτοῦ πάθη ἐξαγγέλει διὰ τῆς φωνῆς τῆς ἐνάρθρου, καὶ τὰ ζωτικὰ διὰ τῆς ἀνάρθρου, οἷον βηχὸς, συρίγματος, στεναγμοῦ· τὰ δὲ ἄλογα διὰ τῶν ἀνάρθρων μόνων, τὰ ζωτικὰ ἡμῖν ἐμφαίνει. εἰ οὖν περὶ φωνῶν διαλέγεται, πῶς οὐ χρησιμεύει ἡμῖν εἰς τὴν ἡμῶν αὐτῶν οὐσίαν; ἀλλὰ καὶ εἰς πᾶσαν φιλοσοφίαν, εἴγε πᾶσαν φιλόσοφον φωνὴν, ἐνταῦθα διδασκόμεθα; ἀλλὰ καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους; τέσσαρες γὰρ αὗται, διαιρετικὴ, ὁριστικὴ, ἀποδεικτικὴ, ἀναλυτικὴ, ἐπειδὴ καὶ τέσσαρα τὰ διαλεκτικὰ προβλήματα, εἰ ἐστὶ, τί ἐστιν, ὁποῖόν τί ἐστι, καὶ διατί ἐστι. καὶ τὸ μὲν εἴ ἐστιν ἀναλογεῖ τῇ διαιρετικῇ. εἰ γάρ ἐστι, πάντως ὑπὸ τὴν διαίρεσιν πίπτει. τὸ δὲ τί ἐστι, τῇ ὁριστικῇ. πᾶσαι γὰρ αἱ ἀποδείξεις τοῦ ὁποῖον τί ἐστι. σπανίως γὰρ ἀμφιβάλλεται τὸ εἴ ἐστι, καὶ ὁρισμοῦ ἀπόδειξις οὐκ ἔστι. τὸ δὲ διατί ἐστιν, ἀναλογεῖ τῇ ἀναλυτικῇ. ἑκατέρα γὰρ αὐτῶν αἰτίας εὕρεσίς ἐστι. καὶ τοσαύτη ἐστὶν ἡ δύναμις τῆς ἀναλυτικῆς, ὡς ἰσχύειν πάσαις ἀντιτάσσεσθαι. τῇ μὲν ὁριστικῇ, ὅτι ἐκείνης τὰ πολλὰ ἓν ποιούσης, αὕτη τὸ ἓν πολλὰ ποιεῖ· τῇ δὲ διαιρετικῇ, ὅτι τῆς διαιρετικῆς τὸ ἓν πολλὰ ποιούσης, καὶ αὕτη τὸ αὐτὸ ποιεῖ· ἀλλὰ καὶ τῇ ἀποδεικτικῇ· τῆς γὰρ ἀποδεικτικῆς ἀπὸ αἰτίων καὶ πρώτων ἀρχομένης, αὕτη ἀπὸ τῶν αἰτιατῶν καὶ δευτέρων ἄρχεται· οὐδὲν γάρ ἐστιν ἀνάλυσις, εἰ μὴ ἀπόδειξις ἀντεστραμμένη, ὅθεν καὶ ἀνάλυσις, ὡς ἀνάπαλιν λύσις οὖσα τοῦ προκειμένου.

Ἴδιον δὲ τῆς μὲν διαιρετικῆς, τὸ τὸ ἓν, πολλὰ ποιεῖν. οἷον τὸ ζῶον διελεῖν εἰς λογικὸν καὶ ἄλογον, θνητὸν καὶ ἀθάνατον. τῆς δὲ ὁριστικῆς τοὐναντίον, τὰ πολλὰ ἓν ποιεῖν. τουτέστι λαβεῖν τὸ ζῶον, τὸ λογικὸν, τὸ θνητὸν, καὶ ὁρίσασθαι τὸν ἄνθρωπον.

Ἴδιον δὲ τῆς ἀποδεικτικῆς, τὸ δεῖξαι ἄλλο ἄλλῳ ὑπάρχον δι' ἄλλου μέσου. οἷον θέλοντες δεῖξαι ὅτι τὸ ἔμψυχον ὑπάρχει τῷ ἀνθρώπῳ, παραλαμβάνομεν μέσον τὸ ζῶον, καὶ συλλογιζόμεθα

οὕτως· ἐὰν τὸ ἔμψυχον ὑπάρχει τῷ ζώῳ, τὸ δὲ ζῶον τῷ ἀνθρώπῳ, πᾶσα ἀνάγκη καὶ τὸ ἔμψυχον ὑπάρχειν τῷ ἀνθρώπῳ. ἢ καὶ ἄλλως· ὁ ἄνθρωπος ζῶον, τὸ ζῶον οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία.

Ἴδιον δὲ τῆς ἀναλυτικῆς, τὸ λαβεῖν σύνθετόν τι πρᾶγμα καὶ ἀναλῦσαι εἰς τὰ ἁπλᾶ, ἐξ ὧν συνετέθη. ὥσπερ ἀναλύεται ὁ λόγος εἰς λέξεις, αἱ λέξεις εἰς συλλαβὰς, καὶ αἱ συλλαβαὶ εἰς στοιχεῖα. πρώτη τοίνυν ἐστὶν ἡ διαιρετικὴ, δευτέρα ἡ ὁριστικὴ, τρίτη ἡ ἀποδεικτικὴ, καὶ τετάρτη ἡ ἀναλυτική. δεῖται γὰρ ἡ ὁριστικὴ τῆς διαιρετικῆς. εἰ μὴ γὰρ προηγήσηται ἡ διαίρεσις, ὁ ὁρισμὸς οὐ γίνεται. πάλιν δὲ εἰ μὴ προκατασκευασθῇ ὁ ὁρισμὸς, οὐ δύναται χρῆσθαι αὐτῷ ἡ ἀπόδειξις. ἡ δέ γε ἀναλυτικὴ σκοπὸν ἔχει ὡς εἴρηται ἕν τι σύνθετον πρᾶγμα λαβεῖν, καὶ τοῦτο ἀναλῦσαι εἰς τὰ ἁπλᾶ ἐξ ὧν συνετέθη. οἷον λαμβάνει ὡς ὅλον τί σύνθετον πρᾶγμα τὸν Σωκράτην, καὶ διαιρεῖ αὐτὸν εἰς χεῖρας καὶ πόδας καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος, χωροῦσα μέχρις αὐτῶν τῶν στοιχείων.

Τούτων οὕτως ἐχόντων συμβάλλεται ἡμῖν εἰς τὴν διαιρετικὴν, ἐπειδὴ τρία τινὰ συγκροτεῖ τὴν διαίρεσιν, τὸ διαιρούμενον, τὸ διαιροῦν, τὰ διαιρεθέντα. οἷον τὸ διαιρούμενον, τὰ ξύλα· τὸ διαιροῦν, ὁ πρίων· τὰ διαιρεθέντα, αἱ σανίδες. οὕτως κἀνταῦθα διαιρούμενον μὲν, τὸ γένος· διαιροῦν δὲ, ἡ διαφορά· τὰ διαιρεθέντα, εἴδη· γένη δὲ, καὶ διαφορὰς, καὶ εἴδη ἐνταῦθα διδασκόμεθα, πῶς οὐκ ἂν εἴη χρήσιμον; καὶ εἰς τὴν ὁριστικὴν δὲ συμβάλλετα ιἡμῖν τὸ παρὸν βιβλίον, εἴγε ἐκ τῶν διαιρέσεων οἱ ὁρισμοί. ἀλλὰ καὶ εἰς τὴν ἀποδεικτικὴν, εἴγε τῶν ἀποδείξεων ἀρχὴ οἱ ὁρισμοί. ἀλλὰ καὶ εἰς τὴν ἀναλυτικὴν, εἴγε ἡ ἀναλυτικὴ, ἀπόδειξίς ἐστι τετραμμένη· οὕτως μὲν εἰς τὰς τέσσαρας διαλεκτικὰς μεθόδους· ἀλλὰ καὶ εἰς τὰς Ἀριστοτέλους καὶ τῶν ἄλλων κατηγορίας. αὗται γὰρ οὔτινος ἂν ὦσι γένη γενικώτατά εἰσι· γένη δὲ γενικώτατα γνῶναι οὐ δυνατὸν, αὐτὸ τοῦτο τί ἐστι γένος ἀγνοοῦντας, γένη δὲ ἐνταῦθα διδασκόμεθα, πῶς οὐκ ἂν εἴη χρήσιμον; ἀλλ᾽ ἐπειδὴ τὰ γένη εἰς εἴδη διαιρεῖται διὰ μέσου τῶν διαφορῶν, διαφορὰς δὲ καὶ εἴδη ἐνταῦθα διδασκόμεθα, πῶς οὐκ ἂν εἴη χρήσιμον τὸ παρὸν βιβλίον; ἀλλ᾽ ἐπειδὴ αἱ κατηγορίαι γένη γενικώτατα οὖσαι οὐχ ὁρίζονται, ἀγαπητὸν καὶ διὰ τῶν ἰδίων αὐτὰς ὑπογράψαι, ἴδιον δὲ ἐνταῦθα

διδασκόμεθα, πῶς οὐ χρήσιμον; ἀλλ' ἐπειδὴ δέκα οὐσῶν κατηγοριῶν, μία μόνη οὐσία, αἱ δὲ λοιπαὶ συμβεβηκότα, πῶς οὐ τὸ πολὺ μέρος εἰς τὸ συμβεβηκὸς συντελεῖ; διαλέγεται γὰρ καὶ περὶ συμβεβηκότος. ταῦτα ἔχει ἡ παροῦσα θεωρία.

Πρᾶξις ιε.

Μετὰ τὸ εἰπεῖν ἡμᾶς τὸν σκοπὸν καὶ τὸ χρήσιμον, ἔλθωμεν καὶ ἐπὶ τὰ λοιπὰ τῶν κεφαλαίων, καὶ εἴπωμεν τὸ τρίτον κεφάλαιον, τουτέστι τὴν τάξιν. δεῖ τὸ παρὸν βιβλίον πρὸ τῶν κατηγοριῶν ἀναλέγεσθαι, εἴ γε ἐνταῦθα τὰς φωνὰς διδασκόμεθα, ἐκεῖ δὲ τὰ γράμματα. προηγεῖται δὲ ἀεὶ ἡ γνῶσις τῶν φωνῶν τῆς γνώσεως τῶν πραγμάτων. αὕτη μὲν ἡ τάξις, ἐφ' οἷς λεγέσθω ἡ αἰτία τῆς ἐπιγραφῆς. ἐπιγέγραπται τοίνυν εἰσαγωγὴ, ἐπειδὴ ἡ γνῶσις τῶν φωνῶν εἰσαγωγή ἐστι τῆς γνώσεως τῶν πραγμάτων. χρὴ δὲ ζητῆσαι τίνος χάριν φιλοσοφίαν γράφων εἰσαγωγὴν, ἀπροσδιορίστως ἐπέγραψε, μὴ δηλώσας τίνος ἐστὶν εἰσαγωγή. καὶ λέγομεν τούτου δύο αἰτίας, μίαν μὲν ὅτι πρέπει τοῖς ἐξέχουσι τῶν πραγμάτων τὸ ἀπροσδιόριστον. οὕτω γοῦν ὁ ποιητὴς ἀκούσαντες Ὁμήρου ἔννοιαν ἔχομεν ὡς προὔχοντος τῶν ἄλλων. καὶ ὁ ῥήτωρ ἀκούσαντες, Δημοσθένους ἔννοιαν λαμβάνομεν. δευτέραν δὲ ὅτι εἰσαγωγὴ οὖσα φιλοσοφίας ἡ παροῦσα πραγματεῖα, τῆς τεχνούσης τὰς ἄλλας τέχνας καὶ ἐπιστήμας, πάσης τέχνης καὶ ἐπιστήμης κοινῶς ἐστιν εἰσαγωγὴ, αὕτη μὲν ἡ αἰτία τῆς ἐπιγραφῆς. ἐφ' οἷς εἴπωμεν τὸ γνήσιον. γνήσιον τοίνυν πολυειδῶς ἐστι Πορφυρίου τὸ παρὸν βιβλίον, ἐκ τῶν ἐνθυμημάτων, καὶ ἐκ τῆς πρὸς ἄλλας πραγματείας ὁμοιότητος. οὐ γὰρ μόνον ἡ παροῦσα πραγματεία αὐτῷ γέγραπται πρὸς Χρυσαόριον, ἀλλὰ καὶ ἄλλαι, οἷον τὸ περὶ διαστάσεως Πλάτωνος καὶ Ἀριστοτέλους. παιδεύοντος γὰρ τοῦ Πορφυρίου ἐν Ῥώμῃ τὸν Χρυσαόριον τὰ μαθηματικὰ, τὰ πρῶτα φέροντα τῆς ἐκεῖσε γερουσίας, ἀπόγονος γὰρ ἦν Συμμάχου ἐκείνου, εἰς ὃν εἴρηται

Σύμμαχε Συμμαχίδη πολυσίμμαχε, σίμμαχε Ῥώμης.

καὶ ἀποδημήσαντος αὐτοῦ Πορφυρίου ἐν Σικελίᾳ διὰ τοὺς ἐν τῇ Αἴτνῃ τοῦ πυρὸς κρατῆρας, διότι δεῖ τὸν φιλόσοφον φιλοθεάμονα εἶναι τῶν τῆς φύσεως ἔργων, σχολάσας ὁ Χρυσαόριος ἀπὸ τῶν

μαθημάτων ἐνέτυχε ταῖς Ἀριστοτέλους κατηγορίαις, καὶ μὴ δυνηθεὶς νοῆσαι αὐτὰς, ἐπιστέλλει τῷ Πορφυρίῳ, ἢ τὴν ταχίστην ἐπανελθεῖν, καὶ ἐξηγήσασθαι αὐτῷ τὰς αὐτὰς κατηγορίας, ἢ γράψαι αὐτῷ ὑπόμνημα· καὶ αἱρεῖται ὁ Πορφύριος τὸ δεύτερον, καὶ γράφει αὐτῷ τὴν παροῦσαν πραγματείαν, οἷον ὑπόμνημα οὖσαν τῶν κατηγοριῶν, ἐφ' οἷς εἴπωμεν τὴν εἰς τὰ κεφάλαια τοῦ βιβλίου διαίρεσιν. διαιρεῖται τοίνυν τὸ παρὸν βιβλίον εἰς τρία, καὶ ἐν μὲν τῷ πρώτῳ τμήματι, τὴν οὐσίαν τῶν ε φωνῶν ὑπογράφει, ἐν δὲ τῷ δευτέρῳ κοινῶς τὰς διαφορὰς αὐτῶν λέγει καὶ τὰς κοινωνίας, καὶ ἐν τῷ τρίτῳ ἰδίᾳ ἑκάστην συγκρίνει ταῖς λοιπαῖς, παραδιδοὺς τοῦ γένους καὶ τῆς διαφορᾶς τὰς κοινωνίας καὶ τὰς διαφορὰς, εἶτα τοῦ γένους, καὶ τοῦ εἴδους, καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως. μετὰ ταῦτα ὁ τρόπος λεγέσθω τῆς διδασκαλίας. παντὶ τοίνυν κέχρηται τρόπῳ, ὁριστικῷ μὲν, ὑπογράφων τὰς φωνὰς, διαιρετικῷ δὲ διαιρῶν αὐτὰς εἰς τὰ οἰκεῖα σημαινόμενα, ἀποδεικτικῷ, ἡνίκα ἀποδείκνυσι τὰς διαφορὰς δυνάμει οὔσας ἐν τῷ γένει, καὶ οὐκ ἐνεργείᾳ. ἀναλυτικῷ δὲ, ὅτε τὰς διαφορὰς τῶν πέντε φωνῶν λέγει. ἡ γὰρ διαφορὰ διάκρισίς ἐστι καὶ οἷον ἀνάλυσις. ἀνάγεται δὲ ὑπ' οὐδὲν μέρος τῆς φιλοσοφίας, ἀλλ' ὑπὸ τὸ ὄργανον αὐτῆς, φημὶ τὴν λογικὴν, ὡς δειχθήσεται σὺν Θεῷ ἐν τῇ ἀποδεικτικῇ.

CODEX 1938.

ΑΡΧΗ ΣΥΝ ΘΕΩ ΤΩΝ ΠΡΟΛΕΓΟΜΕΝΩΝ ΤΩΝ ΠΕΝΤΕ ΦΩΝΩΝ ΑΠΟ ΦΩΝΗΣ ΔΑΒΙΔ ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ ΚΑΙ ΘΕΟΦΡΟΝΕΣΤΑΤΟΥ.

ΜΕΛΛΟΝΤΕΣ σὺν Θεῷ ἄρχεσθαι τοῦ παρόντος συγγράμματος, τὰ εἰωθότα ὑπὸ τῶν ἐξηγητῶν ζητῆσαι κεφάλαια, ὀκτὼ τὸν ἀριθμὸν ὄντα, ζητήσωμεν. κεφάλαια δὲ ταῦτα λέγονται διότι τὸ κῦρος πάντος τοῦ λόγου ἐπέχουσιν. ὥσπερ γὰρ ἡ κεφαλὴ τὸ κῦρος παντὸς τοῦ ζώου ἐπέχει, διότι ἐν αὐτῇ εἰσὶν αἱ αἰσθήσεις, ἢ διότι τὴν βασιλεύουσαν τῶν αἰσθήσεων, φημὶ δὴ τὴν ὅρασιν, αὐτὴ ἔχει, τὸν αὐτὸν τρόπον καὶ ταῦτα τὰ λεγόμενα κεφάλαια, τὸ κῦρος παντὸς τοῦ λόγου ἐπέχουσιν. εἰσὶ δὲ ὡς εἴρηται τὰ ὀκτὼ ταῦτα κεφάλαια, οἷον ὁ σκοπὸς, τὸ χρήσιμον, τὸ γνήσιον, ἡ αἰτία τῆς ἐπιγραφῆς, ἡ εἰς τὰ κεφάλαια διαίρεσις, ἡ τάξις, ὁ διδασκαλικὸς τρόπος, ἡ ὑπό τι μέρος ἀναφορά.

Οὐ περιττὸν δέ τι ποιοῦντες ταῦτα ζητοῦσιν, ἀλλὰ βουλόμενοι προθυμοτέρους τοὺς ἀναγινώσκοντας ἀπεργάσασθαι. καὶ γὰρ τὸν σκοπὸν ζητοῦσιν, ἐπειδὴ ὁ σκοπὸς ἐν συντόμῳ περιέχει τὰ πάντα, τὰ ἐν τῷ λόγῳ λεγόμενα, καὶ ἕξιν τινὰ ἐν τῷ ἀναγινώσκοντι τίθησι. δηλονότι πάντα τὰ ἐν τῷ λόγῳ λεγόμενα δεῖ πρὸς τὸν σκοπὸν ἀπευθύνεσθαι. ὁ γὰρ τὸν σκοπὸν ἀγνοῶν, ὀκνηρότερος ἐπὶ τὸ σύγγραμμα ἔρχεται. ὥσπερ οἱ μακρὰν ὁδὸν ἀπιόντες καὶ ἀγνοοῦντες ποῦ ἀπέρχονται. καὶ ἁπλῶς εἰπεῖν ὁ τὸν σκοπὸν ἀγνοῶν ἔοικε τυφλῷ βαδίζοντι, καὶ πολλὰ μοχθοῦντι. καὶ γὰρ ὁ τὸν σκοπὸν ἀγνοῶν οὐκ ἐπίσταται τί ἀναγινώσκει, ἀλλὰ νομίζει πάντα τὰ ἐν τῷ λόγῳ λεγόμενα μάτην λέγεσθαι. εὐλόγως δὲ καὶ τὸ χρήσιμον

ζητοῦσιν. ἐπειδὴ ἐὰν γινώσκῃ ἕκαστος τὸ ἐκ τοῦ συγγράμματος ἀναφυόμενον χρήσιμον, προθυμοτέρως ἀναγινώσκει τὸ σύγραμμα. καὶ τὴν αἰτίαν δὲ τῆς ἐπιγραφῆς, εὐλόγως ζητοῦσιν. ἐπειδὴ εἰ καὶ θέλει ἡ ἐπιγραφὴ σύμφωνος εἶναι τῷ σκοπῷ, καὶ τὸν σκοπὸν ἐν συντόμῳ περιελεῖν, οἷον ὥσπερ ἐπιγέγραπται περὶ οὐρανοῦ σκοπὸν ἔχει διαλαβεῖν, ἀλλ᾿ οὖν πολλάκις ἀσαφὴς εὑρίσκεται ἡ παραγραφὴ, ὥσπερ Ἀριστοτέλης ἐπέγραψεν ἀναλυτικὰ, βουλόμενος περὶ συλλογισμῶν ἐπιγράψαι, ἐπειδὴ περὶ συλλογισμῶν διαλαμβάνει ἐκεῖ. ἐπειδὴ οὖν πολλάκις ἀσαφὴς εὑρίσκεται ἡ ἐπι παραγραφὴ[a] εὐλόγως ζητεῖται ἡ αἰτία τῆς παραγραφῆς[b].

Εὐλόγως δὲ καὶ τὸ γνήσιον ζητεῖται· ἐπειδὴ γινώσκοντες ὅτι γνήσιόν ἐστι τοῦ ἀνδρὸς τὸ σύγγραμμα, διὰ τὸ ἀξίωμα τοῦ ἀνδρὸς προθυμοτέρως αὐτὸ ἀναγινώσκομεν. καὶ γὰρ πολλοὶ οὐκ εἰσὶν ἱκανοὶ κρίναι, εἴτε καλῶς ἔχουσιν τὰ ἐν τῷ συγγράμματι κείμενα, εἴτε οὔ. ἀλλ᾿ ἀγαπητὸν ἡγοῦνται τὸ ἀκολουθῆσαι τῇ δόξῃ τοῦ ἀνδρός· ἢ διὰ τοῦτο ζητεῖται τὸ γνήσιον, ἐπειδὴ εἰσὶ καὶ νόθα συγγράμματα.

Γίνεται δὲ νόθον σύγγραμμα κατὰ τέσσαρας τρόπους, ἢ γὰρ δι᾿ ὁμωνυμίαν, καὶ ταύτην διττήν. ἢ γὰρ δι᾿ ὁμωνυμίαν τῶν συγγραψαμένων, ἢ δι᾿ ὁμωνυμίαν τῶν συγγραμμάτων. καὶ δι᾿ ὁμωνυμίαν τῶν συγγραψαμένων, ὡς ὅταν εὑρεθῶσι δύο τινὲς ὁμωνύμως λεγόμενοι, καὶ ποιήσει ὁ μὲν εἷς σύγγραμμα περὶ ψυχῆς, ὁ δὲ ἕτερος σύγγραμμα περὶ οὐρανοῦ, τότε γὰρ διὰ τὴν ὁμωνυμίαν τῶν συγγραψαμένων, νόθεια γίνεται τῶν συγγραμμάτων· νομίζεται γὰρ τὸ τούτου ἐκείνου εἶναι, καὶ τὸ ἐκείνου τούτου. δι᾿ ὁμωνυμίαν δὲ τῶν συγγραμμάτων, καὶ ὡς ὅταν εὑρεθῶσι τινὲς διαφόρῳ ὀνόματι λεγόμενοι, καὶ ποιήσωσιν ἀμφότεροι συγγράμματα τὸν αὐτὸν σκοπὸν ἔχοντα, οἷον ἀμφότεροι περὶ ψυχῆς, καὶ μὴ ἐπιγράψωσι τὰ οἰκεῖα ὀνόματα, ἀλλὰ μόνου τὸ τοῦ συγγράμματος ὄνομα, τότε διὰ τὴν τῶν συγγραμμάτων ὁμωνυμίαν, νόθον γίνεται. νομίζεται γὰρ τὸ ἐκείνου τὸ ἄλλου εἶναι, καὶ τὸ ἄλλου τὸ ἐκείνου.

Κατὰ δεύτερον δὲ τρόπον γίνεται νόθον σύγγραμμα, διὰ φιλοτιμίαν ἤτοι κενοδοξίαν, ὡς ὅταν τὶς ἀφανὴς καὶ εὐτελὴς βουλό-

[a] Sic. [b] In marg. ἐπιγραφῆς.

μενος ποιῆσαι τὸ οἰκεῖον σύγγραμμα ἀναγινώσκεσθαι, ἐπιγράψῃ ὄνομα ἀρχαίου καὶ ἐνδόξου ἀνδρός. ἵνα διὰ τῆς ἀξιοπιστίας τοῦ ἀνδρὸς, δεκτὸν τὸ παρὸν αὐτοῦ φαίνηται σύγγραμμα.

Κατὰ τρίτον δὲ τρόπον γίνεται νόθον σύγγραμμα δι' αἰσχροκέρδειαν. ὡς ὅταν τίς βουλόμενος πόρον ἑαυτῷ περιποιήσασθαι, ποιήσει σύγγραμμα καὶ ἐπιγράψῃ ἀρχαίου τινὸς ὄνομα. ὅπερ καὶ ἐπὶ τοῦ Πεισιστράτου φασὶ γενέσθαι. καὶ γὰρ λέγουσιν ὅτι ὁ Πεισίστρατος χύδην φερομένους τοὺς Ὁμήρου στίχους ἠβουλήθη συναγαγεῖν αὐτοὺς [c], καὶ δὴ ὥρισε μισθόν τινα τοῖς φέρουσιν αὐτῷ Ὁμηρικοὺς στίχους. καὶ λοιπὸν οἱ πολλοὶ δι' αἰσχροκέρδειαν ἐπλάττοντο στίχους, καὶ ὡς Ὁμήρου ὄντας ἀπέφερον αὐτῷ, κέρδος ἐντεῦθεν προσκτώμενοι.

Κατὰ τέταρτον δὲ τρόπον γίνεται νόθον σύγγραμμα, δι' εὔνοιαν τοῦ οἰκείου διδασκάλου. καὶ γὰρ πολλοὶ ποιοῦσι συγγράμματα, καὶ διὰ τὴν εὔνοιαν τὴν πρὸς τὸν διδάσκαλον, τὸ ὄνομα τοῦ οἰκείου ἐπιγράφουσι διδασκάλου. ὅπερ καὶ οἱ Πυθαγόρειοι ἐποίησαν· καὶ γὰρ αὐτοὶ ποιήσαντες τὰ χρυσᾶ ἔπη ἐπέγραψαν πρὸς τιμὴν τοῦ οἰκείου διδασκάλου τὸ ὄνομα αὐτοῦ. ἐπειδὴ οὖν ὡς εἴρηται πολλά εἰσι νόθα συγγράμματα, τούτου χάριν ζητεῖται ἀναγκαίως τὸ γνήσιον, ἵνα γνῶμεν εἰ ἄρα αὐτοῦ εἰσὶν ἢ ἄλλου.

Διακρίνονται δὲ τὰ γνήσια συγγράμματα τῇ τε ὕλῃ καὶ τῷ εἴδει. τῇ ὕλῃ μὲν, τῇ φράσει, ἤγουν ταῖς λέξεσι. τῷ εἴδει δὲ, τουτέστι τοῖς θεωρήμασι. καὶ γὰρ διὰ τῆς φράσεως καὶ τῶν θεωρημάτων γινωσκόμενα [d], εἰ ἄρα αὐτοῦ εἰσὶ τοῦ ποιήσαντος ἢ οὔ. εἰ γὰρ εὕρωμεν τὴν φράσιν καὶ τὰ θεωρήματα συνήθη τῷ ἀνδρὶ, γινώσκομεν ὅτι αὐτοῦ ἐστὶ τὸ σύγγραμμα.

Εὐλόγως δὲ καὶ ἡ εἰς τὰ κεφάλαια διαίρεσις ζητεῖται. ἐπειδὴ γινώσκοντες τὰ ἐν τοῖς κεφαλαίοις λεγόμενα, ἀκριβῶς τὸ ὅλον γινώσκομεν. καὶ γὰρ ὥσπερ γινώσκοντες ἐκ ποίων μερῶν συνίσταται ὁ ἄνθρωπος ἀκριβῶς, τὸ ὅλον γινώσκομεν, οὕτω καὶ τὰ ἐν τοῖς κεφαλαίοις λεγόμενα γινώσκοντες, ἀκριβῶς τὸ ὅλον γινώσκομεν. εὐλόγως δὲ καὶ ἡ τάξις ζητεῖται, ἵνα μὴ τὰ ὀφείλοντα πρῶτον ἀναγινώσκεσθαι τελευταῖα ἀναγνῶμεν· ἢ καὶ τὸ ἐναντίον, τὰ ὀφεί-

[c] Corrector αὐτός.

[d] Sic.

λοντα τελευταῖα ἀναγινώσκεσθαι πρῶτα ἀναγνῶμεν. εὐλόγως δὲ καὶ ὁ διδασκαλικὸς τρόπος ζητεῖται, ἵνα γνῶμεν ποίῳ διδασκαλικῷ τρόπῳ κέχρηται. καὶ γὰρ ὡς ἐν τοῖς ἑξῆς μαθησόμεθα, πολλοὶ εἰσὶ διδασκαλικοὶ τρόποι. εὐλόγως δὲ καὶ ἡ ὑπό τι μέρος ἀναφορὰ ζητεῖται, ἵνα μὴ νομίσωμεν τὰ μὲν ὑπὸ τὸ θεωρητικὸν ἀναγόμενα, ὑπὸ τὸ πρακτικὸν ἀνάγεσθαι, τὰ δὲ ὑπὸ τὸ πρακτικὸν, ὑπὸ τὸ θεωρητικόν. ἐν οἷς σὺν Θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις β.

Μαθόντες τὰ εἰωθότα κεφάλαια λέγεσθαι, ἔλθωμεν καὶ ζητήσωμεν αὐτὰ καὶ ἐπὶ τοῦ παρόντος συγγράμματος ὀκτὼ τὸν ἀριθμὸν ὄντα. ἀλλὰ πρῶτον περὶ τοῦ σκοποῦ διαλάβωμεν. Ἰστέον ὅτι ὁ σκοπὸς καὶ συμπεφώνηται καὶ διαπεφώνηται· καὶ συμπεφώνηται μὲν, ἐπειδὴ πάντες ὁμολογοῦσιν ὅτι σκοπὸν ἔχει περὶ τῶν πέντε φωνῶν διαλαβεῖν, ἤτοι περὶ γένους, καὶ εἴδους, καὶ περὶ διαφορᾶς, περὶ ἰδίου, περὶ συμβεβηκότος. καὶ τοῦτο πιστοῦται ἐξ αὐτοῦ. καὶ γὰρ αὐτὸς λέγει ἐν τῷ προοιμίῳ ὅτι ἀναγκαῖον ἐστὶν εἰπεῖν τί γένος, καὶ τί εἶδος, καὶ τί διαφορὰ, καὶ τί ἴδιον, καὶ τί συμβεβηκός. διαπεφώνηται δὲ ἐπειδὴ οἱ μὲν λέγουσιν ὅτι οὐ δι' ἄλλο τι λαμβάνει περὶ τῶν πέντε φωνῶν εἰ μὴ δι' αὐτὸ, τουτέστι τὸ παραστῆσαι ἡμῖν τὸ ἐξ αὐτῶν ἀναφυόμενον χρήσιμον.

Ἕτεροι δὲ λέγουσι διὰ τὰς κατηγορίας Ἀριστοτέλους διαλαμβάνει περὶ αὐτῶν. ἐπειδὴ γὰρ ὁ Ἀριστοτέλης ἐν ταῖς κατηγορίαις περὶ πάντων τῶν ὄντων διαλαμβάνει, εἰς δὲ τὴν τῶν ὄντων διδασκαλίαν συμβάλλονται ἡμῖν αἱ φωναί. διὰ γὰρ τῶν φωνῶν δηλοῦνται τὰ πράγματα, τούτου χάριν περὶ τῶν πέντε φωνῶν διαλαμβάνει, ἐπειδὴ αὗται συμβάλλονται ἡμῖν εἰς πᾶσαν φωνὴν ὑπὸ τὴν φιλοσοφίαν οὖσαν. ὥσπερ γὰρ οἱ γραμματικοὶ ἐπενόησαν τὰ ὀκτὼ μέρη τοῦ λόγου ὑφ' ἃ πᾶσα λέξις Ἑλληνικὴ ἀνάγεται, καὶ ὥσπερ οἱ ῥήτορες ἐπενόησαν τὰς δεκατρεῖς στάσεις ὑφ' ἃς πᾶν πολιτικὸν ζήτημα ἀνάγεται, καὶ ὥσπερ ὁ Ἀριστοτέλης ἐπενόησε τὰς δέκα κατηγορίας, ὑφ' ἃς πάντα τὰ ὄντα ἀνάγεται, οὕτω καὶ πᾶσα φωνὴ ὑπὸ τὴν φιλοσοφίαν οὖσα ὑπὸ τὰς πέντε φωνὰς ἀνάγεται. ἢ γὰρ γένος ἐστὶν, ἢ εἶδος, ἢ διαφορὰ, ἢ ἴδιον, ἢ συμβεβηκός.

Ὅτι γὰρ πέντε εἰσὶν αἱ φωναὶ, δείκνυται ἐκ διαιρέσεως τοιαύτης. ἡ φωνὴ διττή ἐστιν. ἢ γὰρ ἔναρθρος ἐστὶν ἢ ἄναρθρος. καὶ ἔναρθρος μὲν ἡ ἐκ διανοίας προβαλλομένη, ὥσπερ ἡ τοῦ ἀνθρώπου. ἄναρθρος δὲ ὥσπερ ἡ τῶν ἀλόγων ζώων. καὶ ὁ ἦχος ὁ ἀπὸ λίθου ἢ ξύλου γινόμενος. καὶ ἑκατέρα δὲ τούτων διττή ἐστιν. ἢ γὰρ σημαντική ἐστιν ἢ ἀσήμαντος. καὶ ἔναρθρος μὲν καὶ σημαντικὴ ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου καὶ ἵππου. αὗται γὰρ ἔναρθροί εἰσι καθὸ εἰσὶν ἀνθρώπων φωναὶ, καὶ σημαντικαὶ καθὸ κατὰ πραγμάτων τίθενται. ἔναρθρος δὲ καὶ ἀσήμαντος, ὡς ἐπὶ τοῦ ἱπποκενταύρου, τοῦτο γὰρ ἀσήμαντόν ἐστιν, ἐπειδὴ οὐ τίθεται κατὰ πράγματος· οὔτε γάρ ἐστιν ἱπποκένταυρος. ἄναρθρος δὲ καὶ σημαντικὴ, ὡς ἐπὶ τῆς ὑλακῆς τῶν κυνῶν. αὕτη γὰρ ἄναρθρός ἐστι, καθὸ οὐκ ἔστιν ἀνθρώπου φωνή· καὶ σημαντικὴ καθὸ δηλοῖ παρουσίαν ἢ ξένου ἢ φίλου. ἄναρθρος δὲ καὶ ἀσήμαντος, ὡς ἡ ἐπὶ τοῦ ἤχου τοῦ λίθου ἢ ξύλου γινομένη. αὕτη γὰρ ἡ φωνὴ ἀσήμαντός ἐστιν. οὐ γὰρ τίθεται κατὰ πράγματος.

